2735

DE RE
MELITAR

3178

2-B-3
BIBLIOTECA
DEL
Rey N. Señor.
VII D 3
3178

.10.

Oviedo 12.

Leonis Romanorum Imperatoris
De ~~ordinibus~~ ordinationibus
Militaribus seu de Re militari.

311.

N.o 12.

·A·

# Λέοντος ἐν χ(ριστ)ῷ τῷ θ(ε)ῷ αὐτοκράτορος ῥωμαίων, τῶν ἐν πολεμικοῖς τακτικῶν σύντομος παράδοσις :

## Πίναξ πολεμικῶν παραδόσεων


Διάταξις α′ :
Περὶ τακτικῆς στρατηγοῦ :

Διάταξις β′ :
Περὶ τοῦ οἷον δεῖ εἶναι τὸν στρατηγόν :

Διάταξις γ′ :
Περὶ διαιρέσεως στρατοῦ καὶ καταστάσεως ἀρχόντων :

Διάταξις δ′ :
Περὶ τοῦ πῶς χρὴ βουλεύεσθαι :

Διάταξις ε′ :
Περὶ ὅπλων :

Διάταξις ϛ′ :
Περὶ ὁπλίσεων καβαλλαρικοῦ καὶ πεζικοῦ :

Διάταξις ζ′ :
Περὶ γυμνασίας καβαλλαρικῆς καὶ πεζικῆς :

Διάταξις η′ :
Περὶ στρατιωτικῶν καὶ ἐπιτιμίων :

Διάταξις θ′ :
Περὶ ὁδοιπορίας :

Διάταξις ι′ :
Περὶ τούλδου καὶ ἀπλήκτου :

Διάταξις ια′ :
Ὅτι καβαλλαρικὴ καὶ ὅλη πεζική :

Διάταξις ιβ′ :
Περὶ πολιορκίας :

Διάταξις ιγ′ :
Περὶ τῶν μετὰ τὸν πόλεμον :

Διάλεξις ιδ:

Περὶ ἐφόδων ἀδοκήτων:

Διάλεξις ιε:

Περὶ μάχης διαφόρων ἐθνικῶν καὶ ῥωμαϊκῶν παρατάξεων:

Διάλεξις ιϛ:

Περὶ ναυμαχίας:

Διάλεξις ιζ:

Περὶ διαφόρων γνωμικῶν κεφαλαίων:

Διάλεξις ιη:

Ὑπόθεσις περὶ στρατηγημάτων:

# Λέοντος ἐν Χριστῷ τῷ θεῷ αὐτοκράτορος τῶν ἐν πολέμοις τακτικῶν σύντομος παράδοσις :—

## Προοίμιον :—

Οὐ βασιλικὴ δορυφορία καὶ ἐξουσία, οὐ τῆς ἐξουσίας δυναστεία ἢ περιουσία, οὐ τῆς περιουσίας ἐπίδειξις καὶ ἀπόλαυσις· οὐδὲν ὅσα τῶν ἐν αὐτοῖς ἐπιθυμητῶν καὶ τιμίων τὴν ἡμετέραν οὕτως εὐφραίνει βασιλείαν· ὡς ἡ τῶν ὑπηκόων εἰρήνη καὶ ἀσφάλεια· καὶ τῶν πολιτικῶν πραγμάτων ἡ διὰ παντὸς ἐπὶ τὸ κρεῖττον κατάστασις. ὥσπερ τὸ ἐναντίον οὐδὲν οὕτως τὴν ἡμῶν καρδίαν ἀνιᾷ καὶ λυπεῖ· ὡς ἡ τῶν ἐπ' ὀλίγον βραδὺς πραγματεία· ἐὰν περὶ αὐτοὺς ἀγαθῶν ἢ δι' ἀμελείας ἥττωσις ἢ κατάπτωσις. εἰ γὰρ ἑνὸς ἀνδρὸς τῆς ἡμῶν ἠξιωμένου προνοίας ἡ ἐπὶ τὸ κρεῖττον ἀνάνευσις, ἄφατον ἡμῖν εὐφροσύνην ἐργάζεται· ἡ δὲ ἐπὶ τὸ χεῖρον ἀπόνευσις, ὀδύνην ψυχῆς ἀνυπέρβλητον· τί οὖν ἂν πάθοιμεν τοσούτων μυριάδων τῆς ἡμετέρας ἐκ θεοῦ κρεμαμένων προνοίας· ὧν τὴν φροντίδα ταύτην ἐπιμελεῖσθαι ἀγωνιοῦντες· νυκτὸς μὲν ἐπαγρυπνοῦντες, ἡμέρας δὲ διαμελετῶμεν· πάσης μὲν ἀηδίας καὶ βλάβης ἐλευθέρους διατηρεῖσθαι· πάσης δὲ χαρᾶς, καὶ δημοσίᾳ προσηκόντως ἐπαπολαύειν· ἀλλὰ τῶν μὲν ἄλλων περὶ τὴν πολιτείαν πραγμάτων, μικρὰ τινὰ δεξαμένων ἴσως ἥττωσιν· οὐ τοσαύτην κατανοοῦμεν τὴν βλάβην. τῆς δὲ στρατηγικῆς μεθόδου διαπεσούσης τοῖς Ῥωμαίοις συγκλᾶται καὶ τὰ πάντα πράγματα· ὅθεν ἡ πεῖρα τῷ χρόνῳ πᾶσιν ἅπαντα καὶ ὀφθαλμοῖς ὁρώμενα πλεῖστοι, πρόδηλα· ἐθνῶν ἀνθρώπους ἅπαντας, ὁ κοινὸς θεὸς καὶ λόγῳ τετιμημένους τὴν εἰρήνην ἀσπάζεσθαι καὶ τὴν εἰς ἀλλήλους περιθάλπειν ἀγάπην· καὶ μὴ φονικὰς χεῖρας κατ' ὁμοφύλων καθοπλίζειν :—

Ἐπειδὴ δὲ ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολος, καὶ τοῦ γένους ἡμῶν ἐχθρὸς διὰ τῆς ἁμαρτίας ἰσχυρᾶς μὲν τῆς ἰδίας φύσεως ἀντιστρατεύεσθαι τοὺς αὐτοῖς προσκρούσασι· πάσῃ ἀνάγκῃ ταῖς αὐτοῦ γινομέναις διὰ τῶν αὐτῶν μηχαναῖς, ἀνθρώπους ἀντιστρατεύεσθαι· καὶ τοῖς ἐθέλουσι πολεμεῖν ἔθνεσι, μὴ ἀμελοῦντες καθέζεσθαι· ἀλλὰ ταῖς στρατηγικαῖς μεθόδοις τὴν σπουδὴν ποιεῖσθαι· ἐν ταύτῃ φυλάττεσθαι μὲν ἀπὸ τῶν ἐπερχομένων πολεμίων, περιτρέπειν δὲ κατ' αὐτῶν ὅσα ἐκεῖνοι παθεῖν εἰσὶν ἄξιοι· ὡς ἂν ἐκκόπτοντες τοῦ διὰ τῶν πονηρῶν ἔργ

ρουμένου κακοῦ, καὶ πάντων τὴν οἰκείαν βασιλείαν ἀσπαζομένων, ἡ εἰρή-
νη πρὸ πάντων ἀγαθῶν καὶ πολιτεύεται :—

Ἐπεὶ δὲ οἱ ῥωμαϊκοὶ πολέμοι δι' ἀταξίαν ἐλείποντο, τὴν θέαν ἀπήλαυε βοηθοῦ τὸ κράτος· νῦν δὲ τῆς τακτικῆς καὶ στρατηγικῆς καταστάσεως, ἐπὶ χρόνους οὐκ ὀλίγους ἀμελουμένης· ἵνα μὴ μὲν καὶ εἰς παντελῆ περιελθούσης λήθην, ὡς μηδ' αὐτὰ πρόχειρα τοὺς στρατηγοὺς ἐγχειροῦντας ἐπίστασθαι· πολλὰ δ' ὑμεῖς διαφόρως ὁρῶμεν συμβαίνοντα. τῆς γὰρ πολλῶν ἀγαθῶν προξένου ἐπιστήμης διαπεσούσης, ὅσον διὰ ταύτης ἡ ῥωμαίων πάλαι πολιτεία διεκρίρισε· τὸ ἐναντίον ὁρῶμεν τὴν θέαν ἀποδῶναι διαμένουσαν, καὶ τὴν συνήθη τῆς ῥωμαίων πολιτείας νίκην ὑπ' ἀλλων νικωμένων ἀφαιρουμένην. οἱ μικροὶ γὰρ ἀμελουμένης τῆς περὶ πολέμους ἀσκήσεως καὶ γυμνασίας, συνεμπίπτει δὲ τῷ ἀσεβείᾳ ἡ δυστυχία. ἄλλα ποτὲ μὲν αἰτιώμεθα ἀγυμνασίαν, ἢ ἀνανδρείαν στρατιωτῶν· ποτὲ δὲ ἀπειρίαν ἢ δειλίαν καταμεμφόμεθα στρατηγῶν. πολλάκις δὲ τὴν τῶν ἀρχαίων τακτικῶν διαλύσαντες, ὡς ἀσαφῆ καὶ δύσκολον περὶ φράσιν. ταύτην οὖν ἀφήσαντες τὴν ἐπιστήμην ἀναλαβέσθαι σπουδῇ, ὅσον ἀποστερηθέντων τῆς ῥωμαϊκῆς πολιτείας ἀνακαλέσασθαι βουλόμενοι. οὐκ ὀκνήσαμεν σπουδῇ ταύτῃ ἀναδέξασθαι τὸν ἴδιον πόνον· κοινὴν δὲ τοῖς ὑπηκόοις χαρίσασθαι τὴν ὠφέλειαν. τοῖς γὰρ ἀρχαίοις καὶ τοῖς νεωτέροις στρατηγικοῖς τε καὶ τακτικοῖς φιλοπόνως συλλέγοντες μεθόδοις, καὶ τὰς ἄλλας ἱστορίας ἀνακαλέσασθαι βουλόμενοι· οὐκ ὀκνήσαμεν σπουδῇ ταύτῃ ἀναδέξασθαι τὸν ἴδιον πόνον, κοινὴν δὲ τοῖς ὑπηκόοις χαρίσασθαι τὴν ὠφέλειαν. τοῖς γὰρ ἀρχαίοις καὶ τοῖς ὑστέροις στρατηγικοῖς τε καὶ τακτικοῖς φιλοπόνως συλλέγοντες μεθόδοις, καὶ τὰς ἄλλας ἱστορίας ἀνερευνῶντες καὶ τὰ ἐγγίστησαν ἐσχεδὸν ἐν πολέμοις ἀναγκαῖα, ὅσα δὲ ἐπιλεξάμενοι. καὶ ὅσα διὰ πολιτείας πείρας ἐπὶ τῶν ἔργων αὐτῶν ἀνευράθησαν ἐν τῷ καθ' ἡμᾶς καιρῷ, καὶ τῇ νεωτέρᾳ καταστάσει προσφορά τε καὶ ἁρμόδια. ταῦτα ἡμῶν ἐν συντόμῳ συνθέντες ἐπὶ τὴν ὠφέλειαν ἐπὶ τῶν πραγμάτων ἔχοντα, εἰς ἄλλον πρόχειρον νόμον ἀσφαλῆ δύναμιν. ἐν πράξεσι μᾶλλον ἢ λέξεσι τὸ σεμνὸν καὶ χρήσιμον [illegible] μενα, ὅσον ἔσθ' ἕνα τακτικὴν τοῖς ἀρχαῖοις ὑποστρατήγοις καὶ τὰς πολιτικὰς ἐμπεπιστευμένοις ἀρχάς. δι' ὑμῶν διαφόρως ἔχοντες ὡς εὔκολον ἐθέλειν εἶναι τοῖς βουλομένοις καὶ ἐπὶ τὰ μείζονα διὰ παντὸς ἐκείνων τακτικῶν καὶ ἀρχαίων τάξιν καὶ βαθμῷ προχωρεῖν· κάλλους δὲ λόγου, ἢ

δεξιὰν φροντίδα ποιησάμενοι· περὶ πλείονος δὲ μᾶλλον καὶ συντόμου καὶ ἁ-
πλοῦ διηγήσεως φροντίσαντες· διὰ τοῦτο καὶ τὰς πολλὰς λέξεις τὰς τακτικὰς,
ἑλληνικάς τε ἐσαφηνίσαμεν· ῥωμαϊκὰς δὲ διερμηνεύσαμεν, καὶ ἑτέραις λέξεσιν
ἐξηγησάμεθα. συμφέρον ἡγησάμενοι τὰ λεγόμενα πρὸς τὸ εὔκολον εἶναι τὴν διά-
νοιαν τοῖς ἐντυγχάνουσιν. ἀλλ᾽ εἴ τι ἄξιον ἐστι τῶν παρ᾽ ἡμῶν ῥηθησομένων φανεῖται,
χάρις τῷ πάντων ἀγαθῶν δοτῆρι χριστῷ τῷ βασιλεῖ τοῦ παντὸς καὶ θεῷ ἡμῶν· δι᾽ ἧς
τοῖς ἡμετέροις λόγοις διαρκεστάτην τὴν χάριν. εἰ δέ τις καὶ ἕτερος διὰ τῆς τ…
ἐπιμελοῦς κρείττονα τούτων ἐφεῦρον, χάρις καὶ οὕτω τῷ παρασχόντι θεῷ :-

Συνιστᾶσι δὲ ἡμῖν τῆς περὶ τούτων σπουδῆς ἕνεκεν, πάντας χρή· ὅτι δὲ ἐπὶ πλέον, ὅτι δ᾽ ἐπὶ κατ
τοὺς βουλομένους στρατηγεῖν· ταῖς τακτικαῖς τε καὶ στρατηγικαῖς ἐνδιατρίβειν με-
λέταις. οὐ γὰρ ὡς ὑπολαμβάνουσί τινες, διὰ τοῦ ἀπείρου, διὰ πλήθους ἀνδρῶν καὶ
θράσους οἱ πόλεμοι κρίνονται· ἀλλὰ διὰ φυλακῆς θεοῦ καὶ στρατηγίας καὶ τάξεως
ἧς μᾶλλον ἐπιμελεῖσθαι χρή, ἢ συλλογῆς πλήθους ἀκαίρου. ἡ γὰρ τάξις καὶ ἀσφαλὲς
καὶ εὔθετον ἐστι τοῖς κατ᾽ αὐτὴν κεχρημένοις. ἡ δὲ καὶ συμβαίνειν καὶ ἐπιζήμιον
δαπάνην· ὥσπερ γὰρ οὐκ ἔστι πλοῖον πηδαλίου διαπερᾶν χωρὶς κυβερνητικῆς ἐπιστή-
μης· οὕτως οὐδὲ πολεμίους καταγωνίζεσθαι τάξεως καὶ στρατηγίας ἄνευ. δι᾽ ἧς
οὐ μόνον τοῦ ἴσου πλήθους τῶν πολεμίων περιγίνεσθαι συμβαίνει δυνατόν ἐστιν, ἀλ-
λὰ καὶ τοῦ πολλῷ πλείονος. ὥσπερ οὖν ἄλλον τινὰ πρὸ ἡμῶν νόμον ἡμῖν ἔστερξε
στρατηγικὸν τὴν παροῦσαν πραγματείαν ἐπαγορεύοντες πρός τε ἡμᾶς καὶ ἐπὶ πόνοις
ἀκούειν ἡμᾶς … ἀκολουθοῦμεν … πρὸς τὸν … ὑποσημαίνειν τὴν ἐν πολέ-
μοις τακτικήν. καί τις ἐστι στρατηγός. εἶτα τίνα καὶ ὁποῖον στρατηγὸν εἶναι δεῖ· καὶ
ὅπως δέον βουλεύεσθαι. ἑξῆς δὲ τινὰς ἄρχοντας καὶ ἀρχομένους τοῦ στρατοῦ
διαθεῖναι διαίρεσιν τήν τε ἄλλην ἀποσκευὴν καὶ τῶν ὅπλων κατασκευὴν τῶν
ἑκάστου μαχομένων ὅπλισιν. πρὸς τούτοις, τὴν πρὸς τὸν ἀληθινὸν ἀγῶνα τοῦ
στρατιώτου γυμνασίαν. εἶτα δὲ καὶ τὰ κείμενα, ἐπαγαγεῖν δεῖν ἐπιτίμια. εἶ-
τα περὶ ὁδοιπορίας εἰπεῖν τῆς τε ἐν τῇ ἰδίᾳ, καὶ τῆς ἐν τῇ πολεμίᾳ. περί τε τοῦ λε-
γομένου τούλδου καὶ περὶ ἀπλήκτων. τῆς τε προπαρασκευῆς καὶ παρατάξεως, ἔ-
τι δὲ γίνεσθαι πρὸ τῆς τοῦ πολέμου ἡμέρας· καὶ ὅσα ἐν τῇ τοῦ πολέμου ἡμέρᾳ
ἐπιτελεῖται. καὶ ἔτι περὶ πολιορκίας. εἶτα καὶ τί μετὰ τὸν πόλεμον διαλύεσθαι.
καὶ τὰς διηγκριμένων ἀπροσδοκήτους ἐφόδους. τῶν τε ἡμετέρων ἐθνῶν πολε-
μίων. καὶ ἐπὶ τούτοις διαφόρων παρατάξεων … ἐθνικῶν τε ἔθ…
ικῶν. εἶτα ἐπὶ τοῖς εἰρημένοις. καὶ περὶ ναυμαχίας εἰπεῖν. ἔπειτα τούτοις-

γυμνασίας τινὰς τακτικάς τε καὶ στρατηγικὰς ἐκθεῖναι. ἀφ' ὧν ὁρμώμενον τὸ
φρονοῦν ὀξύτερα καὶ ὀξέως ἡ διάνοια τοῦ στρατηγοῦ τὸ φρόνιμον γενέ-
σθαι ἐπιτήδειον. καὶ πρὸς τὸν τῆς ἀρχαίου ἐν
λεῦθεν :—

## Τῶν αὐτοῦ πολεμικῶν παρασκευῶν Διάταξις πρώτη:—

### Περὶ τακτικῆς καὶ στρατηγοῦ:—

Τακτική ἐστιν ἐπιστήμη πολεμικῶν κινήσεων. κινήσεις δὲ πολεμικαὶ δύο. αἱ
μὲν κατὰ γῆν. αἱ δὲ κατὰ θάλασσαν. τακτικὴ δέ ἐστι τέχνη. στρατηγικὴ περὶ τάξεων
καὶ ὁπλισμοῦ καὶ κινήσεων στρατιωτικῶν. στρατηγικὴ δέ ἐστι, στρατηγοῦ ἀγα-
θοῦ συνάσκησις ἤγουν μελέτη καὶ γυμνασία τῶν στρατηγημάτων ἤτοι τῶν παιαν-
ζωαθεισμοῦ. σκοπὸς τῆς τακτικῆς διὰ τῶν ἐνδεχομένων ἐπιβουλευμάτων πράξε-
ων, νικῆσαι τοὺς πολεμίους ἀξιόχρεων δέ ἐστιν ἡ τακτική. τὸ δι' ἀκινδυνοτέρως
συμπλέκεσθαι τοῖς πολεμίοις. τέλος τῆς τακτικῆς καὶ τὸ ἐνδεχόμενον, ἀμέμ-
πτως διατάξαι τὸ στράτευμα. αἱ δὲ εἰς τοὺς πολεμίους ἰέναι προετοιμασίαι,
δύο εἰσίν. ἡ μὲν κατὰ γῆν πεζική. ἡ δὲ κατὰ θάλασσαν ναυτική. περὶ μὲν οὖν τῆς
ναυτικῆς, ὕστερον ἐροῦμεν. τοῦ δὲ μὲν τῶν ἐπὶ πολέμους ἀθροιζομένων ἀνδρῶν
τὸ πλῆθος, τὸ μέν ἐστι μάχιμον ἤγουν πολεμικόν. τὸ δὲ διὰ τὰς τούτου χρείας
συνερχόμενον ἄμαχον, καὶ πολεμικὸν μὲν τὸ παραταττόμενον πρὸς τοὺς πολε-
μίους στρατιωτικόν. ἄμαχον δὲ τὸ λοιπόν. οἷοι ἰατροί. δοῦλοι. ἔμποροι. καὶ
ἄλλοι ὅσοι διὰ τὰς ὑπηρεσίας ἐπακολουθοῦσι. τοῦ δὲ μαχίμου μέρους. ἤγουν
πολεμικοῦ στρατοῦ. τὸ μέν ἐστι πεζικόν. τὸ δὲ καβαλλαρικόν. καὶ τὸ μὲν ἴδιον
πεζικόν, τὸ ἐπὶ γῆς ἱστάμενοι. τὸ δὲ καβαλλαρικόν, τὸ ἐπὶ τῶν ἵππων ὀχούμε-
νον. ἦν δέ ποτε καὶ ἐπὶ ἁρμάτων ἁπλῶν, καὶ ἐπὶ ἁρμάτων δρεπανηφόρων,
καὶ ἐπὶ ἐλεφάντων πύργους φερόντων πλήρεις ἀνδρῶν. ἀλλὰ τούτων οὐδεὶς ἡ-
μῖν λόγος νῦν. διὰ τὸ τὴν ἀχρηστίαν, καὶ τὴν παντελῆ ἀργίαν τῶν τοιούτων πα-
ρασκευῶν. τῆς τακτικῆς οὖν μετρίως ὅσον ὑπογραφείσης. δεῖ καὶ τὸν στρατη-
γὸν ἀναδειχθῆναι τίς ἐστιν, καὶ τίς ὅτις τοιαύτης ἐγχειρήσεως ἄξιος :—

Στρατηγός τοίνυν ἐστὶν ὅτις ὑπ' αὐτοῦ ἁπάσης ἐπαρχίας μείζονα, πάντων ἐξ

ὅταν ἔχων μετὰ τὸν βασιλέα στρατηγός ἐστιν, ὁ τοῦ ὑπὸ χεῖρα στρατιωτικοῦ θέματος κο-
ρυφαῖος ἄρχων, ἐκ βασιλέως τε προχειριζόμενος. τοὺς δ' ὑπ' αὐτὸν ἄρχοντας, τοὺς
μὲν ψήφῳ τῇ αὐτοῦ ἐκ βασιλέως καταπεμπομένους. τοὺς δ' ἐξουσίᾳ ἰδίᾳ προ-
βαλλόμενος. ἴδιον δὲ στρατηγοῦ, τὸ κρείττω πάντων εἶναι τῶν ὑπὸ χεῖρα. φρόνησιν δὲ
ἀνδρείᾳ καὶ δικαιοσύνῃ, καὶ σωφροσύνῃ, τό τε αὐτὸν ἀναφέρεσθαι τῆς καὶ αὐτὸν
ὑπαρχίας τὰς διοικήσεις. ὅσαι τε στρατιωτικαὶ. καὶ ὅσαι ἰδιωτικαὶ καὶ δημόσιοι.
τὸ προσαγαγόντα στρατὸν ἄτακτον ἐκτάξαι δεόντως, ὥστε ἁρμόζουσαν τῷ καιρῷ ταχθῆ-
ναι διάταξιν. σκοπὸς δὲ στρατηγοῦ, τὸ μὲν ὑπ' αὐτὸν θέμα αὔξειν, καὶ ἀβλαβὲς ἀ-
πό τε πολεμίων καὶ τῶν ἄλλων ἀδικημάτων καὶ ἀταξιῶν, καὶ στάσεων διαφυλά-
ξαι. τοὺς δὲ πολεμίους παντὶ τρόπῳ, ἢ πολέμῳ, ἢ ἐφόδοις ἀδοκήτοις ταπει-
νῶσαι καθάπερ ποιοῦσι τῶν ἐχθρῶν. τοῦτο φυλάξασθαι μὴ παθεῖν ἀπ' αὐτῶν. τέ-
λος δὲ στρατηγοῦ τὸ δοκιμασθῆναι διὰ πάντων. τέλειος θείας καὶ βασιλικῆς ἀπο-
λαύσῃ εὐνοίας, ἢ καθολικωτέρῳ τῶν πρεπόντων καὶ ἁρμοζόντων πραγμά-
των, τὰ ἐναντία παθεῖν. ὅστις τοίνυν καὶ τῆς τοῦ στρατηγοῦ προϋποθέσεως ἐχόμενος,
δεῖ καθάπερ διὰ γραμμάτων ἡμᾶς ἀναζωγραφῆσαι τὴν
τούτου ποιότητα, καὶ δεῖξαι φανερῶς τίς ἐ-
ποταπὸς εἶναι ὀφείλει ὁ εἰς
τὴν τοιαύτην ἐξουσίαν
προχειριζό-
μενος:-

## Τῶν αὐτοῦ πολεμικῶν τῶν ἐν συντόμῳ διάτα-ξις δευτέρα:-

## Περὶ τοῦ ὁποῖον δεῖ εἶναι τὸν στρατηγόν:-

Κελεύομεν τοίνυν εἶναι τὸν στρατηγόν, σώφρονα περὶ τὸ σῶμα, περὶ τὴν δίαιταν
ἐγκρατῆ. νηφάλιον καὶ ἐπίπονον. λιτὸν περὶ τὰς χρείας. ὑπομένοντα τοὺς πό-
νους. νοήμονα καὶ φρόνιμον. μισοῦντα φιλαργυρίαν. ἔνδοξον. μήτε νέον. μή-
τε γέροντα. ἱκανὸν δὲ καὶ πρὸς τὸ λέγειν ἀπὸ στόματος εὐμεταβλήτου. αὐτόχει-
ρα δὲ καὶ πρὸ παίδων. μὴ πραγματείας ἀπατηλάς, ἢ τοιούτων. μηδὲ μικρόψυχον.
ὡς καὶ τῶν μικρῶν πραγμάτων ἐπιθυμεῖν, καὶ ἁπλῶς δεινὴν τὴν ψυχήν. ἐ-
δυνατὸν καὶ τὸ σῶμα. καὶ ὑπὲρ πᾶσι μεγαλόψυχον. σωφρονοῦντα, ἵνα μὴ ταῖς τ

φύσεως κατασυρόμενος ἡδοναῖς· ἀπολείπῃ τὴν τῶν ἀναγκαίων φροντίδα
καὶ ἐπιμέλειαν· ἐγκρατῆ δὲ, ἐπειδὴ τηλικαύτης ἀρχῆς μέλλει τυγχάνειν· αἱ γὰρ ἀ-
κρατεῖς καὶ ἀκολάστοις ὁρμαὶ, ὅταν προσλάβωσι δύναμιν τοῦ ποιεῖν κατ' ἐξου-
σίαν ἃ βούλονται, ἀκρατέστεροι γίνονται πρὸς τὰς ἐπιθυμίας. νηφάλιον δὲ καὶ ἐγ-
κρατέστερον, ὅπως ἐπαγρυπνῇ ἐν ταῖς μεγίσταις πράξεσιν· ἐν νυκτὶ γὰρ ὅταν ἡ
ψυχὴ ἠρεμῇ μάλιστα πολλάκις ἡ τοῦ στρατηγοῦ γνώμη καὶ ἀπευθύνεται καὶ τε-
λειοῦται· λιτὸν δὲ, ἐπεὶ τὰς τρυφάς· καὶ γὰρ καταδαπανῶσιν αἱ πολυτελεῖς καὶ
πολλαὶ θεραπεῖαι, καὶ ἄγουσιν ἀπεράντους καὶ ἀναγκαίας ἐξόδους εἰς τὴν τῶν ἀφ-
θόνων τρυφήν. ἐπομένοντα τοὺς πόνους, ἵνα μὴ πρῶτος τῶν στρατευομένων τὰς
ἀναπαύσεις ἐπιζητῇ· ἀλλὰ γίνεται αὐτοῖς μᾶλλον ἐκεῖνο πρὸς τὸ γενναίως ὑπο-
φέρειν τοὺς πόνους. νοήμονα δὲ καὶ φρόνιμον· ὀξὺ γὰρ εἶναι δεῖ τὸν στρατηγόν·
πανταχοῦ περιφέρειν τὸν σκοπὸν διὰ ταχύτητα ψυχῆς· πολλάκις γὰρ ἀνυπονό-
ητοι ταραχαὶ προσπεσοῦσαι· πρυτανεύειν τὸ συμφέρον ἐπινοεῖν ἀναγκάζουσιν. ἀ-
φιλάργυρον δὲ· καὶ γὰρ ἡ ἀφιλαργυρία τοῦ στρατηγοῦ δοκιμάζεται, ὅταν ἀδωρο-
δοκήτως καὶ μεγαλοφρόνως προΐσταται τῶν πραγμάτων. καὶ δι' ἀρετὴν μόνην δω-
ρεὰς προβάλλεται τὰς ἀρχὰς τοῦ ἐπ' αὐτὸν θέματος. πολλοὶ γὰρ καὶ ἀνδρεῖοι-
τοι τῇ ψυχῇ καὶ ῥωμαλέοι τῷ σώματι καὶ τῶν ἐχθρῶν· ἀλλ' ὅταν ἀντιβλέψωσι
πρὸς χρυσὸν, ἀμαυροῦνται καὶ σκοτίζονται· δεινὸν γὰρ ὅπλον στρατηγοῦ φιλαργυ-
ρία, καὶ ἐνεργέστατον εἰς τὸ νικᾶσθαι τοῦτον καὶ καταβάλλειν. οὔτε δὲ νέον εἶναι οὔ-
τε γέροντα· ἐπειδὴ ὅτε νέος ἄπιστον ἔχει καὶ ἄστατον τὸ φρόνημα διὰ τὴν νεότη-
τα· ὁ δὲ γέρων ἀσθενὴς ἐστὶ τῷ σώματι, καὶ οὐδὲ αὐτὸ διὰ σοφίας. ὅτι, ἵνα μὴ
πταίσῃ διὰ τὴν ἀνόητον τόλμαν ἀπὸ θράσους· ὁ δὲ γέρων ἵνα μὴ διὰ τὴν φυσι-
κὴν ἀσθένειαν ἐλλείπῃ εἰς τὰ δέοντα τῶν πραγμάτων. κάλλιστα δὲ ἐκλογὴ τοῦ μέ-
σου μήτε νέου ὄντος μήτε γέροντος. καὶ γὰρ τὸ δυνατὸν καὶ ἰσχυρὸν ἐν τῷ μὴ πα-
γεγηρακότι. τὸ δὲ φρόνιμον καὶ σταθερὸν ἐν τῷ μὴ πάνυ νεάζοντι. οἵτινες γὰρ ἰσχὺν
σώματος ἄνευ φρονήσεως θαυμάζουσι τέχνης· ἡ πολλὴ ψυχὴ φρονίμου ἄ-
νευ σωματικῆς δυνάμεως οὐδὲν ὠφέλησεν· ἡ δύναμις στρατοῦ ἄφρονος,
οὐδὲν ἐλύσωσε. καὶ ἀταπείνωτον δὲ πρὸς τὴν ὑπηκόων τοῦ στρατηγοῦ· δέδοικα
μὴ πρὸς ὀλιγωρίαν γίνεσθαι, οὐ γὰρ ἄνοι φιλοῦσι, τοῦτο ἐπιτάττοντες, τεχνῆ-
θονται. χεῖρον δὲ καὶ ὑπηρετουμένῳ οὐκ ἔπεσονται, κινδυνεύουσι δὲ ζημιοῦ-
σθαι. τοῦτο γὰρ ἡ ἀγάπη, τὸ κεῖναι τὴν ψυχὴν ἐπὶ τοῦ φιλουμένου. πατέ-
ρα δὲ παίδων προκρίνοιμι μᾶλλον· οὐ δὲ τὸν μὴ ἔχοντα παῖδας παραιτούμενοι, ἐὰν

ἐστὶν ἀγαθός· καὶ γὰρ ὁ παῖδας ἔχων στρατηγός, ἐὰν μὲν νήπιοι, θερμότερος γίνεται
πρὸς τὴν σπουδὴν τῶν ὅλων βίου, πραγματεύων ὑπὲρ τῆς τῶν παίδων φιλίας καὶ τῆς
πατρίδος ἀγωνιζόμενος· ἐὰν δ' ἤδη τὴν ἡλικίαν, σύμβουλοι καὶ συστράτηγοι
καὶ πρὸς ὑπηρεσίαν γινόμενοι, συνεπανορθοῦσι πρὸς τὰ μεγάλα χειριζόμενα ὑπὲρ
κοινῆς σωτηρίας πράγματα· διὸ καὶ μᾶλλον δοκεῖ μοι παῖδας μὴ ἔχοντος, ὁ παῖ
δας μὴ ἔχων προτιμότερος εἶναι· λέγειν δὲ καὶ διαρκῶς ἱκανόν. ἡγοῦμαι γὰρ
τὰ μέγιστα ὠφελεῖσθαι καὶ διὰ τούτου τὸ στράτευμα. ἐάν τε γὰρ παρατάσσηται πρὸς
μάχην στρατηγὸς διὰ τῆς τοῦ τροπαίου(?) παρακελεύσεως, δεινῶν γὰρ θάνατον(?) πολλάκις, καὶ
αὐτοῦ τοῦ θανάτου ποιεῖ καταφρονεῖν· δι' ἡ κινδύνου(?) καὶ γλυκέων ἐπιθυμεῖν. οὐχ
οὕτως γὰρ σάλπιγξ ἐγείρουσα ταῖς ἀκοαῖς ἐγείρει ψυχὰς εἰς μάχην, ὡς λόγος μὲν
φρονήσεως λεγόμενος προτρέπεται εἰς ἀρετήν, καὶ διανίστησι ποιεῖ τοὺς ἀκού
οντας· καὶ ἐξανίστα πρὸς τὰ δεινὰ τὴν διάνοιαν. ἐὰν δὲ συμβῇ πταῖσμά τι περὶ
τὸ στρατόπεδον, ὁ τοῦ λόγου παραμυθία τὰς ψυχὰς ἀναρρωννύει, καὶ πολὺ χρη
σιμώτερος ἐστὶ στρατηγοῦ λόγος δυνατός, ὥστε παραμυθεῖσθαι στρατοπέδου —
συμφορὰς μᾶλλον, τῶν ἐπιμελουμένων τὰ πράγματα ἰατρῶν. οἱ μὲν γὰρ ἐκείνους
μόνους τοὺς τραυματίας θεραπεύουσι τοῖς ἰάμασι καὶ διὰ λόγου(?) τάχα
πλεῖστον(?)· ὁ δ' ἀθυμοῦντας καὶ τοὺς πονοῦντας, καὶ τοὺς κάμνοντας εὐθυμοτέρους
ποιεῖ, καὶ τοὺς ἰσχυροὺς ἀνιστᾷ πρὸς ἀνδρείαν καὶ εὐψυχίαν. ἔνδοξον δὲ λέγομεν,
ἐπειδὴ ἀγανακτεῖ τὸ πλῆθος τοῖς ἀδόξοις ὑποτασσόμενον· οὐδεὶς γὰρ θέλει ὑπο
μένειν τὸν χείρονα κρείσσων αὐτοῦ ἀναδέξασθαι καὶ ἡγεμόνα. δοκεῖ δέ μοι ὅτε πάν
τα ἀνάγκη τὸν τοιοῦτον ἐκλεγόμενον στρατηγὸν ὥστε ἔχειν ἀρετὰς ταύτας ὅ
σας εἰρήκαμεν, καὶ ἔνδοξον εἶναι· ἡ γὰρ τοιαύτη ἀρετὴ ἀφανὴς καὶ ἄγνωστον
αὐτὸν διαμένειν, ὃ ἐπὶ πολὺ οὐ καταλαμβάνει. λέγομεν δὲ μήτε πλούσιον προκρί
νεσθαι στρατηγὸν διὰ τὰ χρήματα, ἐὰν μὴ ἔχῃ ταύτας τὰς ἀρετάς· μήτε πένη
τα ἀποδοκιμάζεσθαι διὰ τὴν πενίαν, ἐὰν ᾖ ἀγαθός· οὐκ ἀποβαλλόμεθα δ' οὔτε τὸν
πλούσιον ἕνεκεν τοῦ πλούτου αὐτοῦ, ἀλλ' ἐὰν τὰς τῶν στρατηγῶν πρεπούσας μὴ
κέκτηται ἀρετάς· οὐδὲ τὸν πένητα προκρίνομεν ὅτι ἐστὶ πένης· ἀλλ' ὅτι στρατηγ
ικός τε καὶ γενναίαν ἔχει ψυχήν. οὐδένα γὰρ διὰ τὴν τύχην ἀποβαλλόμεθα· ἀλλὰ —
μᾶλλον διὰ τὴν ἀρετὴν ἀμφοτέρους προσαγόμεθα. ὁ δὲ πλούσιος ἀγαθὸς
ἂν τούτου διαφέρῃ τοῦ γενναίου πένητος, ὅσον αἱ διάχρυσοι καὶ καταλό
γοι πανοπλίαι τῶν καταλοχισμῶν καὶ στερεῶν· αἱ μὲν γὰρ τῷ λυσιτελεῖ κόσμου —
πλεονεκτοῦσι· αἱ δ' ἐν αὐτῷ τῷ ἀναγκαίῳ διαγωνίζονται· πένητα δὲ λέγω γενναῖ,

ἐὰν μὴ ἔστι δωρολήπτης. μὴ δὲ κερδαίνειν ἀπὸ κακῶν πόρων βουλόμενος. τὸ γὰρ τοιοῦτον οὐδὲ ἐὰν ᾖ ἔστι πλουσιώτατος συμφέρει ποτὲ προχειρίζεσθαι στρατηγόν. ἀλλὰ μὴ δὲ καταπεφρονημένον τοῦ οἰκείου λαοῦ, καὶ περὶ τὰ κέρδη σπουδάζοντα. ἀνάγκη γὰρ τὸν τοιοῦτον μικρόφρονα εἶναι καὶ περὶ τὸ κέρδος σπουδάζοντα, καὶ περὶ τὴν συλλογὴν τῶν χρημάτων, μηδὲν ἀγαθοῦ ἐπιμελεῖσθαι. ἐὰν δὲ προγόνων ἔστι λαμπρῶν καὶ ἐνδόξων, ἀγαπᾶν γε δεῖ καὶ τοῦτον. οὐ πάντως δὲ ἐπιζητεῖν τοιαύτην εὐγένειαν. ἐὰν μὴ προσέστιν, οὐδὲ διὰ ταύτην ἀνάξιον κρίνειν τὸν στρατηγόν, ἐὰν δὲ στρατηγεῖν καλῶς κέκτηται. ὥσπερ γὰρ τὰ ζῶα ἀπὸ τῶν ἰδίων πράξεων ἐξετάζομεν, εὐγενῆ ἢ δυσγενῆ. οὕτως χρὴ σκοπεῖν καὶ τὴν τῶν ἀνθρώπων εὐγένειαν, οὐκ ἀπὸ τῶν προγόνων, ἀλλ' ἐκ τῶν ἰδίων πράξεων ἐ κατορθωμάτων. καὶ πῶς γὰρ οὐκ ἀπρεπὲς καὶ ἀπαιδεύτων. τοὺς μὲν λοιποὺς στρατιώτας διὰ τὰς ἀριστείας, καὶ τὰ ἀνδραγαθήματα τιμᾶν. καὶ οὐ τοὺς ἐκ προγόνων λαμπρῶν, ἀλλὰ τοὺς ἔργον τι λαμπρὸν πεποιηκότας. τοὺς δὲ μὴ στρατηγοὺς διὰ τοὺς προγόνους ἐπιλέγεσθαι, κἂν ὦσιν ἀνάξιοι. ἀλλὰ μὴ διὰ τὴν ἰδίαν αὐτῶν ἀρετήν, κἂν μὴ ἀπὸ τοῦ γένους λαμπρύνωνται. προτιμᾶν μὲν δὴ τοῦτο καὶ προγόνων λαμπρῶν, εἰ τύχοι ὁ στρατηγός. ἀπολείπων δὲ τὴν ἀρετὴν καὶ περὶ τὰ ἄπρακτος, τάχα δὲ μᾶλλον ἧττον καὶ κρείττονας ἔσεσθαι στρατηγούς, τοὺς οὐκ ἔχοντας ἀπὸ τῶν προγόνων σεμνύνεσθαι. οἱ μὲν γὰρ ἐπὶ γονεῦσι δοξαζόμενοι, καὶ τὴν ἀπ' ἐκείνων ἔχοντες ἐλπίδα, πολλάκις ἀθυμότεροι καὶ ἀμελέστεροι διάκεινται. οἱ δὲ μὴ ἐνδοξίαν δόξαν προγόνων ἔχοντες, τοῦτο τὴν τῶν προγόνων ἀδοξίαν ἀναπληροῦσθαι θέλοντες τῇ ἰδίᾳ προθυμίᾳ. φιλοκινδυνότεροι ἐπὶ τὰς πράξεις ἔρχονται, καθάπερ οἱ πένητες. ἐπιπονώτεροι μᾶλλον τῶν εὐπορωτέρων ἐπὶ τὴν τοῦ βίου κτῆσιν ὁρμῶνται, τὸ ἐλλεῖπον ἀναπληροῦσθαι τῇ τέχνῃ σπουδάζοντες. οὕτω οἱ μὴ ἐκ προγόνων κληρονομεῖν τὴν δόξαν, διὰ τῶν οἰκείων πράξεων σπουδάζουσιν οἰκειοῦσθαι δόξαν. διὰ ταῦτα τοίνυν προαιρεῖσθαι στρατηγὸς ἀγαθός, εὐγενής, πλούσιος, μὴ ἀποβάλλεσθαι δὲ πένης τὴν ἀρετήν, εἰ καὶ μὴ ἀπὸ λαμπρῶν καὶ ἐνδόξων προγόνων κατάγει τὸ γένος:—

Κεφάλαιον δ΄ ὅτι δεῖ τὸν στρατηγὸν ἐθισθῆναι ἐστὶ καὶ τὸ ἦθος πρέπει καὶ ἀνδρεῖον καὶ φιλόπονον, καὶ ὀξύτατον, καὶ τὴν γνώμην γενναῖον, ἀποδόξον, καὶ φιλοκίνδυνον, καὶ μάλιστα θεοσεβῆ. καὶ περὶ τὰ στρατεύματα ἐπιμελέστατον. ἐσθίειν δὲ τὰ βρώματα εὐτελῆ τὴν δὲ γνώμην ἀπληστοῦντες ἀκόρεστον ἐπὶ τὴν ἐργασίαν τῶν ἀγαθῶν πράξεων. διανοεῖσθαι δὲ τὸ σπουδ-

νοῦν τε καὶ ὀξέως ἐκ τῶν φαινομένων τὰ κεκρυμμένα εὐστόχως στοχαζόμενον·
ἐμπειρίαν δὲ, τάξαι στρατὸν καὶ ὁπλίσαι καὶ κοσμῆσαι· δυνατὸν δὲ, ἀγνοοῦντα δὲ
γὰρ τὰ πεπτωκότα φρονήματα τοῦ στρατοῦ, καὶ ἢ πρὸς δέον ἐμπλῆσαι θάρσους,
καὶ ἑτοίμους πρὸς τοὺς κινδύνους παρασκευάσαι, καὶ τὰ ζητούμενα δὲ ἢ
ὁμολογούμενα φυλάξαι βεβαιότερον· μὴ παρασύρεσθαι δὲ ὑπὸ τῶν ἐν λόγοις δυνα-
τῶν, διὰ τῶν ἐκεῖνοι παρῄνεσαν αὐτὸν τοῦ προσήκοντος ἀκούειν, ἀλλ᾽ εἶναι διὰ
σφαλῆ· χρημάτων δὲ, εἰς μὲν τὰς ἑαυτοῦ ἡδονὰς φειδόμενος, καὶ ἐν ὀλίγοις ἀρ-
κούμενον· εἰς δὲ τὸ εὐεργετεῖν τοὺς ὑπ᾽ αὐτόν, καὶ μάλιστα εἰς τὴν ὑπὲρ τοῦ κοινοῦ
δαπάνην· ἄφθονόν τε καὶ ἡπλωμένον, τοιοῦτον τοίνυν ὄντα τὸν προχειριζόμε-
νον στρατηγόν· οἷον ὁ λόγος ὑπέγραψε τῇ τε φύσει καὶ τοῖς ἤθεσι καὶ ἐπιτηδεύμα-
σι· δεῖ εἰς τὴν ἀρχὴν προχειρισθέντα, καὶ ἔτι ἀγαθὸν εἶναι, δεῖ προσεῖναι, ἔτι
μὴν, ἀτάραχον μὴ οὕτως ἐπιεικῆ καὶ πρᾶον, ὥστε καταφρονεῖσθαι· μήτε οὕ-
τως φοβερόν, ὥστε μισεῖσθαι, ἵνα μήτε διὰ τὴν ἀμέλειαν ἐκλύσῃ τὸ στράτευμα
καὶ εἰς καταφρόνησιν ἀγάγῃ, μήτε διὰ τὸν φόβον μισεῖν αὐτὸν παρασκευά-
σῃ· τὰ δὲ ἄλλα ὅσα προσήκει τοῦτον ἐπιτηδεύειν ἐν ταῖς παρεμπιπτούσαις
διοικήσεσι, καὶ ὅσα παραφυλάττεσθαι χρή· νῦν μὲν διὰ τὸ πλῆθος ἐάσωμεν·
ἐν δὲ τῷ πλάτει τῆς παρ᾽ ἡμῶν ἐκτιθεμένης τακτικῆς καθ᾽ ἕκαστα μαθησό-
μεθα ὅση δύναμις, τοιοῦτον δὲ ὄντα, καὶ οὕτως διαιρούμενον· τὸν πα-
ρὰ τῆς βασιλείας προχειριζόμενον στρατηγόν, ἡ πίστις αὐτὸν καὶ τῆς τοῦ θεοῦ ἀπο-
λαύειν εὐνοίας, καὶ τῆς ἡμετέρας εὐνοίας, καὶ τῆς τοῦ κοινοῦ σωτηρίας, καὶ τῆς
περὶ τὰ πάντων εὐφημίας, καὶ τῆς κατὰ τὸν βίον εὐημερίας, ἐν χάριτι θεοῦ μονάρχου
καὶ ἀδελφοῦ ἡμῶν βασιλέως· ἀκολούθως δέ, καὶ τὴν τοῦ στρατηγοῦ κατάστασιν ἡγησάμενοι
τε· φέρε τοῦτον ὥσπερ πρὸ ὀφθαλμῶν τῆς ἡμετέρας παραστησάμενοι βασι-
λείας, τὰ πρέποντα καὶ ἁρμόζοντα τῇ στρατηγικῇ καὶ τακτικῇ ἐπιστήμῃ, διὰ τῶν
ἐφεξῆς ἡμῶν παρακελεύσεως παραινέσομεν:

Παρακελευόμεθα δέ σοι ὦ στρατηγέ, πρῶτον ταύτην παρακέλευσιν καὶ παραίνε-
σιν· ὥστε πρὸ τῶν ἄλλων ἁπάντων θεοσεβείας καὶ δικαιοσύνης ἐπιμελεῖσθαι,
καὶ τὸν θεὸν ἔχειν πρὸ ὀφθαλμῶν καὶ φοβεῖσθαι αὐτόν, καὶ ἀγαπᾶν ἐξ ὅλης τῆς καρ-
δίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ τὰς αὐτοῦ ἐντολὰς ἐκτελεῖν, καὶ τὴν ἐκεί-
νου εὐμένειαν ἐκ τούτου προσλαμβάνεσθαι· ἵνα ἐν καιρῷ πειρασμῶν ὡς φίλος
φίλῳ, εἰ καὶ τολμηρόν, κοινῷ δεσπότῃ θαρρῶν προσεύχῃ, καὶ τῆς θείας τὰς
ἐλπίδας εἰς αὐτὸν ἔχων τὴν αὐτοῦ βοήθειαν ἐπισπεύσῃ· ἀψευδὴς γὰρ ἐστιν

ὃ εἶπον. δεῖγμα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δειλίας αὐτῶν ἐλέγξουσι καὶ ὅσοι αὐτούς. γίνωσκε γὰρ ὅτι οὐκ ἔστι καλῶς κατορθοῦναι βουλὴν χωρὶς τῆς ἰδίας ἐπιμελείας τε καὶ ἐγκρατείας. κἂν φρόνιμος εἶναι δόξῃς, οὐκ ἔστι πολεμίων περιγενέσθαι. καὶ ἀσθενεῖς ἐκεῖνοι νομίζονται διὰ τὸ πάντα σὺν τῇ τοῦ θεοῦ κεῖσθαι προνοίᾳ, καὶ παρ' αὐτοῦ διοικεῖσθαι. καὶ αὐτὸ τὸ μάλιστα ὥσπερ γὰρ κυβερνήτης κἂν πάνυ ἄριστος ἐστι τῶν ἀνέμων καλῶς μὴ πνεόντων, ἄπρακτον ἔχει τὴν τέχνην. ἐὰν δὲ τούτους προσλάβηται, ἔχει δὲ καὶ τὴν τέχνην συνεργοῦσαν αὐτῷ, διπλοῦν τὸν δρόμον τοῦ πλοίου σὺν ἀσφαλείᾳ ποιεῖται· οὕτως οὖν καὶ ἄριστος στρατηγός. ἐὰν τὴν τοῦ θεοῦ φιλανθρωπίαν ἔχῃ καὶ τὴν βοήθειαν, τάξει δὲ καλῶς τὸ στράτευμα, καὶ σὺν ἀγρυπνίᾳ καὶ ἐπιμελείᾳ τὰ στρατηγικὰ ἐργάσηται, καὶ τὸν πιστευόμενον αὐτῷ στρατὸν ἀσφαλῶς διοικήσει. ἐν τῇ ποικίλῃ τῶν ἐχθρῶν γνώμῃ ἀντιστρατεύεσθαι δυνήσεται. ἡ γὰρ τοῦ θεοῦ πρόνοια τὰ μὲν διδάξει πρὸς τὸ συμφέρον, τὰ δὲ πρὸς ἀγαθὸν τέλος ἀποτελέσει: ς

Τοιοῦτον εἶναι εὐσεβῆ μὲν περὶ τὴν πίστιν, δίκαιον δὲ περὶ τὰς πράξεις ὑπάρχοντα, ὥσπερ θεμέλιον ἀγαθὸν καὶ ἀσφαλῆ, καὶ τὰ ἄλλα ἀγαθὰ ἐποικοδομεῖν. πρᾶος γενοῦ καὶ ἀτάραχος τοῖς ἐντυγχάνουσι. τὸ γὰρ ἄξιον τοῦ ἤθους, καὶ μισεῖται καὶ ἀποστρέφεται. λιτός τε καὶ ἁπλοῦς περὶ τὴν τροφὴν καὶ τὴν ἔνδυσιν. ἡ γὰρ πολυτέλεια καὶ ποικιλία τῶν βρωμάτων καὶ ἐνδυμάτων, τὰς ἀναγκαίας δαπάνας εἰς μάταιον καταναλίσκει. ἀγρύπνως δὲ καὶ ἐπιμελῶς τοῖς ἀναγκαίοις πράγμασιν ἐγχείρει καὶ μὴ ῥαθύμως καὶ ἀμελῶς. ἡ γὰρ ἐπιμέλεια καὶ ἐπιμονή, καὶ τὰ πάνυ δυσχερῆ τῶν πραγμάτων εὐκόλως κατορθοῖ. ὁ καταφρονῶν πράγματος καταφρονηθήσεται ὑπ' αὐτοῦ. μηδὲν δὲ τῶν μεγάλων καὶ ἀναγκαίων πραγμάτων χωρὶς βουλῆς θεῖν καὶ δόξαν εἶναι συμφέρον συντόμως ἐπιτήδευε καὶ ἀσφαλῶς ὡς δυνατόν. ἀλλὰ καὶ τοῖς ὑποχειρίοις πᾶσιν ἐπίσης πρόσφερε, μηδὲν κατὰ προσωποληψίαν ἐργαζόμενος, ἀλλὰ πᾶσιν ἴσος κατὰ τὴν δικαίου φύσιν ὑπεξερχόμενος. μηδὲ χαύνως καὶ ῥαθύμως διάκεισο ἐπὶ τοῖς ἁμαρτήμασι τοῖς ἀπὸ κακίας ἢ ἀμελείας ἁμαρτανομένοις, διὰ τὸ δοκεῖν εἶναι χρηστός. οὐδὲ γὰρ καλόν ἐστι τὸ συνεργεῖν τῇ ῥαθυμίᾳ καὶ τῇ κακίᾳ, μάλιστα ἐπὶ τῶν μεγάλων καὶ ἀναγκαίων πραγμάτων. μηδὲ πάλιν δι' ἔνδειξιν αὐστηρίας προπετῶς καὶ ἀδιακρίτως τὰς ἐπεξελεύσεις ποίει. ἑκάτερον γὰρ παρὰ φρόνησιν καὶ ἀπάθειαν φέρει. τὸ δὲ μέσον θέλοτον. ὁ γὰρ μὴ δικαζόμενος φόβος, καὶ μετὰ τὴν φανέρωσιν τῆς αἰτίας δῆλος

ἐπεξέλευσις· οὐ κόλασις, ἀλλὰ σωφρονισμὸς τοῖς κακῶς φρονοῦσι λογίζεται
πρὸ πάντων γὰρ ἐπὶ πολέμους ὁπλιζόμενος, ἀπέβλεπε δικαίαν εἶναι τὴν
ἀρχὴν τοῦ τοιούτου πολέμου· καὶ μὴ χεῖρας ἀδίκους ἐπιβάλλειν τῶν πολεμίων.
εἰ μὴ πρότερον ἐκεῖνοι διὰ τῆς συνήθους αὐτῶν ἀσεβείας ἐκστρατεύσειν ἀπαρ
ξάμενοι, τὴν ἡμετέραν χώραν καταδράμωσιν· ἡμῶν γὰρ ἀεὶ τὴν εἰρήνην ἀσπα
ζομένων, καὶ πρὸς τοὺς ὑπηκόους, καὶ πρὸς τοὺς βαρβάρους διὰ τὸν τῶν ὅ-
λων βασιλέα καὶ θεόν. ἐὰν καὶ τὰ ἔθνη ταῦτα ἀγαπῶσι τοῖς ἰδίοις ὅροις ἐμ-
μένοντα, καὶ μηδὲν ἀδικεῖν ἐπαγγελλόμενα, καὶ αὐτὸς σὺ κατ' αὐτῶν τὰς χεῖρας
σύστελλον, καὶ αἵμασι τὴν γῆν μήτε ἐμφυλίοις, μήτε βαρβαρικοῖς καταμόλυνε.
ἃ γὰρ ἐγκαλεῖς σὺ τοῖς ἐχθροῖς ἀδικοῦσι, μηδὲν ἀδικουμένοις ὑπὸ σοῦ· ταῦ
τα καὶ αὐτοὶ μηδὲν ἐναντίον ποιοῦντες κατὰ τῶν ὑπηκόων τῆς βασιλείας ἡμῶν εἰ
ρηνεύοντες ἐγκαλέσουσί σοι· διὰ γὰρ ἡμᾶς ἀεὶ τοὺς ὑπὲρ πάντων ἀνθρώπων εἰρηνεύον
τας. εἰ δὲ ὡς ἂν τὸ ἐξ ἡμῶν τοῖς εἰρηνεύειν βουλομένοις ἔθνεσι, καὶ μηδὲν
ἀδικεῖν τοὺς ὑποχειρίους ἡμῶν, εἰς τὴν εἰρήνην ἀεὶ τῶν ἄλλων προτιμῶντας-
ἁπάντων, συντηρήσειν ἐκείνοις καὶ πολέμων ἀπέχεσθαι· εἰ δ' οἱ ἐναντίοι μὴ
σωφρονοῦσιν, ἀλλ' αὐτοὶ ἀδικίας ὑπάρχουσι, τὴν ἡμετέραν γῆν καταβλάπτον
τες· τότε εὐλόγου καὶ δικαίας αἰτίας προκειμένης ὡς ἀδίκου πολέμου πα
ρὰ τῶν ἐναντίων ἀπαρχομένου, θαρσαλέως καὶ μετὰ προθυμίας τοῦ κατ' αὐ
τῶν ἀπάρχου πολέμου. ὡς ἐκείνων τῆς αἰτίας παραδιδομένων, καὶ ἀδί
κους χεῖρας κατὰ τῶν ὑποχειρίων ἡμῶν ἀραμένων. καὶ θάρσει τότε ὡς καὶ τὸν τῆς
δικαιοσύνης θεὸν ἕξεις βοηθόν, καὶ τοὺς ὑπὲρ ἀδελφῶν ἀναδεχόμενος ἀγῶνας
τὴν στρατείαν νικήσεις. διὰ τοῦτο οὖν προτρέπομαί σε τὴν σὴν ἐνδοξότητα, διὰ
πάντων τὸ ἀποσκοπεῖν δικαίας ποιεῖσθαι τὰς ἀρχὰς τοῦ πολέμου. καὶ τότε
τὰς χεῖρας ὁπλίζειν κατὰ τῶν ἀδικούντων, διὰ πάντων γὰρ καὶ ἐν ἅπασι κρείττονα
σεαυτὸν τῶν ὑποχειρίων ἀναδεῖξαι ἀγωνίζου καὶ κατεξαίρετον. εἴς τε τὴν εἰς
θεὸν πίστιν καὶ τὴν εὐσέβειαν, καὶ τὰς λοιπὰς ἀρετάς. τοῖς γὰρ τῶν ἀρχόντων φρο
νήμασιν ἀεί πως συνδιατίθεται τὸ ἀρχόμενον, ὥσπερ κατὰ τὴν παροιμίαν μὴ
ἔλαφοι λεόντων ἄρχωσιν, ἀλλὰ λέοντες ἐλάφων· καὶ ταῦτα μέν σοι ὦ στρατηγέ,
ὡς ἐν συντόμῳ τῆς ἡμῶν διατάξεως παρατίθεμαι· ἐπεὶ τὸ τῆς συντομίας χρει
ῶδες ἐπὶ πλέον τέως οὐ συγχωρεῖ παρεκτείνειν. ἔξεστι δέ σοι ταῖς τε παρ' ἡμῶν
ἰδίᾳ ἐκτεθείσαις γνώμαις ἐν τούτῳ τῷ συντάγματι, καὶ προσέτι ταῖς κατὰ πλά
τος συντεθεισομέναις ἡμῖν ἐν τῷ παραλλήλῳ τῶν τακτικῶν μονοβίβλῳ τὴν

ἐκεῖθεν τῶν ἐξητασμένων πλέονα καὶ ἀρκοῦντα συναγαγεῖν ἀφῆσαν. τὰ μὲν
οὖν ἐχόμενα· αὔξεις καὶ προστιθέναι τοῖς ἀγαθοῖς ἔργοις προθυμηθείης, ἵνα
ἐπαυξάνων τῇ σπουδαίᾳ συνέσει τὰ κηρυσσόμενα· πρὸς τὰς θεοῦ χάριτας
ἐπαγγελίαν τῶν πράξεων, ἐπεὶ δὲ καὶ τὸ ἡμέτερον κρά-
τος μείζονας ἐπαξίας τῶν πόνων ἐξ ἀμοιβῆς
φοβερῶν κομιζόμενος:~

## Τοῦ αὐτοῦ διάταξις τετάρτη:~

## Περὶ διαιρέσεως στρατοῦ καὶ καταστάσεως ἀρχόντων:~

Κελεύομεν τοίνυν τῇ σῇ ἐνδοξότητι, ἵνα ἄνωθεν καὶ ἐξ ἀρχῆς συναθροίσαν
τοὺς στρατιώτας καὶ τοὺς ἄρχοντας αὐτῶν ἐπιλέξασθαι οὓς ἂν δοκιμάσῃς
ἱκανοὺς εἶναι πρὸς τὴν τοῦ πολέμου χρείαν. ἐκλέξει δὲ στρατιώτας ἀπὸ παντὸς
τοῦ ὑπὸ σὲ θέματος· μήτε παῖδας, μήτε γέροντας, ἀλλὰ ἀνδρείους, ἰσχυρούς,
εὐψύχους, εὐπόρους· ὥστε αὐτοὺς ἐν ταῖς ἐκστρατείαις, ἤγουν ἐν τῇ συναγωγῇ
τοῦ φοσσάτου εἰς τὴν ἰδίαν στρατείαν ἀκολουθουμένους. ἔχειν ἐν τοῖς ἰδίοις οἴ-
κοις ἑτέρους τοὺς γεωργοῦντας, καὶ τὰ πρὸς ἀπαρτισμὸν καὶ ἐξόπλισιν τοῦ
στρατεύοντος χορηγεῖν δυναμένους. ἐλευθέρους δηλονότι τοὺς οἴκους ἔχοντας,
τῶν ἄλλων πασῶν τῶν δημοσίου δουλειῶν. οὐ γὰρ βουλόμεθα τοὺς ἡμετέρους συ-
στρατιώτας· οὕτως γὰρ κατὰ τὸ ἀρεστὸν μέλλοντα ὑπάρχειν τῆς ἡμῶν βασιλείας,
καὶ τῆς φιλοχρίστου τῶν Ῥωμαίων πολιτείας, ἐν τοῖς τοῦ πολέμου ἔργοις. πλὴν
μόνου τοῦ δημοσίου τέλους, ἑτέρᾳ ὑποκεῖσθαι οἱαδήποτε δουλείᾳ. διαι-
ρείσθω τοίνυν ὁ πᾶς ὑπὸ σὲ στρατὸς εἰς τάγματα, ἤγουν τὰ λεγόμενα βάνδα
διάφορα καὶ ἔτι ὑποδιαιρείσθω εἰς δεκαρχίας, καὶ καταστήσωσαν εἰς τὰ λε-
γόμενα κουβέρνια. ταῦτα δὲ γινέσθωσαν, καὶ ἀπὸ πέντε πολλάκις καὶ ἀ-
πὸ δέκα ἀνδρῶν, ἤγουν κατὰ δεκαρχίαν ἢ ἐν κουβερνίοις, ἢ δύο. καὶ ὁ μὲν
στρατὸς ὅλος διαιρείσθω οὕτως, εἰς τάγματα καὶ εἰς δεκαρχίας. ἐπιστάτωσαν
δὲ αὐτοῖς ἄρχοντες κατὰ βάνδα καὶ δρουγγους, καὶ τὰς ἄλλας δεούσας ἀρχὰς
ἱκανώτατοι. ἤγουν ὅσοι καὶ πιστοὶ καὶ δυνάμενοι φαίνονται τῇ ῥωμαϊκῇ πο-
λιτείᾳ ἡμῶν, μαρτυρούμενοι καὶ ἀνδρεῖοι. οὐδὲν δὲ κωλύει καὶ εὐπόρους τούτους
αὐτοὺς εἶναι καὶ εὐγενεῖς, κατά τε τὸ γένος καὶ τὴν τῆς ψυχῆς ἀρετήν. τιμῆς ἐν

γενναῖον ἐλπίζοντα ὥστε πρότερον ἐν ὀξύτητι καιροῦ περὶ τὰς κηδομένας αὐτοῖς
πράξεις. τὴν δὲ εὐποιΐαν ἵνα διασώσωσι τοῖς στρατιώταις ἐν περιουσίᾳ πολλάκις ἐκ
δεσποτικῶν χορηγεῖν. καὶ γὰρ ὀλίγη δόσις ἀπὸ τῶν ἀρχόντων πρὸς τοὺς ὑποχειρίους
γινομένη, εὔνοιαν καὶ ἀγάπην τοῦ πλήθους ἀπεργάζεται, καὶ συναγωνίζεσθαι
καὶ μέχρι θανάτου ἐν τοῖς κινδύνοις παρασκευάζει. οἱ δὲ μείζονες αὐτῶν καὶ ἐν
προβούλοις καὶ συγκαθέδροι ἔστωσαν τοῦ στρατηγοῦ, οἱ δὲ καὶ κοινωνοὶ τυγχανέτωσαν αὐτῷ
πάσης βουλῆς μυστικῆς τε καὶ ἀπορρήτου, κἂν γὰρ ἄριστος ᾖ τέλεια ὁ στρατηγὸς
ἐν νοῦ μέτρῳ καὶ βουλεύεσθαι ἀξιώτατος. τὴν δὲ ἰδίαν βουλὴν βεβαιωθῆναι οὐ δύναται.
γνώμη γὰρ εἷς ἀβοήθητος οὖσα, σφάλλεται περὶ τὴν ἰδίαν αἵρεσιν. ἡ δὲ καὶ ὑπὸ ἄλ-
λων πολλῶν ἐπιμαρτυρηθεῖσα πιστοῦται καὶ ἀναφαίνεται, μηδὲν ἔχουσα τὸ σφαλερόν.
πρέπον δέ ἐστι μήτε οὕτως ἄστατον τὴν διάνοιαν εἶναι τοῦ στρατηγοῦ, ἵνα αὐτὸς
ἑαυτὸς ἑαυτῷ παντελῶς ἀπιστῇ. μήτε οὕτως αὐθάδη ὡς μὴ βούλεσθαι παρ' ἑτέρου
κάλλιόν τι νοηθὲν ἀναμαθεῖν. ἀνάγκη γὰρ αὐτὸν ἢ πᾶσι τοῖς ἄλλοις κατὰ πάντα
προσέχοντι, καὶ κατὰ μηδὲν ἑαυτῷ πιστεύοντι, πολλάκις καὶ ἀσύμφορα πράτ-
τεσθαι εἰ μὴ δὲ ὀλίγων ἀκούονται, πάντα δὲ αὐτῷ καταπιστεύοντι, πολλὰ πολλάκις
καὶ μεγάλα διαμαρτάνειν. τούτων δὲ οὕτως ἐχόντων προθέσθαι χρὴ τῶν ὀνομάτων
τὰ ἁπλῶς τοὺς καθισταμένους ἄρχοντας. εἶτα οὕτως καὶ τὰ γνωρίσματα αὐτῶν
ὡς ἐν συντόμῳ ἐκτιθέντες διορισόμεθα πρώτη κεφαλή :—

Ὁ στρατηγὸς καὶ μετ' αὐτὸν οἱ μεράρχαι. εἶτα δουκιάριοι. εἶτα οἱ κόμητες, ἤγουν
οἱ τῶν λεγομένων βάνδων ἄρχοντες. εἶτα οἱ κένταρχοι. ἐφεξῆς οἱ δέκαρχοι, ἤ-
γουν οἱ πρῶτοι τῶν λεγομένων ἀκιῶν. εἶτα οἱ πένταρχοι. καὶ ἑξῆς οἱ τετράρχαι.
οἵτινες καὶ διὰ τὸ ἐσχάτους τοῦ στίχου ἤτοι τὸ βάθος τῆς παρατάξεως τάσσεσθαι
αὐτούς, καὶ οὐραγοὶ ἐκλήθησαν. ὁ γὰρ ἔσχατος τοῦ ὅλου στίχου ἤγουν τῆς ἀκιῆς, ὡς
ἐπὶ τῆς οὐρᾶς αὐτῆς οὕτως ἵσταται. καὶ αὗται μὲν αἱ ὀνομασίαι τῶν ἀρχόντων. εἰσὶ
δὲ καὶ ἕτεροι καθ' ἕκαστον τάγμα ἤτοι βάνδον διωρισμένοι, οἷον βανδοφόροι
σαλπιγκταὶ ἤτοι βουκινάτορες. θεραπευταὶ ἰατροί, καὶ δεποτάτοι, καὶ μανδά-
τορες καὶ παρακλήτορες οἱ διὰ λόγων διεγείροντες τὸν στρατὸν πρὸς τοὺς ἀγῶ-
νας. καὶ ἕτεροι τινὲς πρὸς τὰς ἀναγκαίας χρείας ἀφωρισμένοι, οἷον σκρί-
βωνες καὶ οἱ λοιποί. ταῦτα γὰρ τῇ νῦν πολιτείᾳ γνωρίζεται τὰ ὀνόματα τῶν πα-
λαιῶν στρατευόντων. στρατηγὸς τοίνυν προσαγορεύεται ὁ τοῦ παντὸς στρατοῦ κορυφαῖ-
ός τε καὶ ἡγεμών :—

Ὑποστράτηγος δέ, ὁ τὴν δευτέραν τοῦ τάξιν ἀναπληρῶν. ὑπολαμβάνω δὲ ὡς οἱ

παλαιότεροι ἡμῶν· ὑποστρατήγους δὲ ἐκάλουν τοὺς στρατηγοὺς διὰ τὸ (τῶν) στρατηγὸν (τὸν)
ἁπάντων κυρίως εἶναι τὸν βασιλέα, ἐκ προσώπου δὲ αὐτοῦ εἶναι (ἔθη) καθ᾽ ἕκα-
στον θέμα τὸν στρατηγόν· καὶ διὰ ταύτην τὴν αἰτίαν ὁ στρατηγὸς ὑποστράτηγος
ἐκλήθη. στρατηγὸς δὲ κυρίως λέγεται, ὁ ἐκ προσώπου τοῦ βασιλέως ὁ ἐπὶ πάν-
των κεφαλὴ ἀποστελλόμενος. ἔχων ὑποστρατήγους τοὺς τῶν θεμάτων στρατηγούς,
ὅπερ ἐστὶν ἄριστον· νῦν δὲ ὑποστράτηγος οὐ λέγεται, εἰ μὴ ὁ καλούμενος με-
νάρχης ἤτοι ὁ τοῦ μέρους τῆς ἀρχῆς ἐμπεπιστευμένος. δρουγγάριος δὲ λέ-
γεται ὁ μιᾶς μοίρας ἄρχων, ἥτις ὑπὸ τοῦ μέρους τοῦ τουρμάρχου τάσσεται.
μέρος γάρ ἐστιν ἡ τοῦρμα τὸ ἐκ τριῶν μοιρῶν ἤτοι δρουγγῶν συνιστάμενον
ἄθροισμα· μοῖρα δέ ἐστιν ἤτοι δροῦγγος, τὸ ἐκ ταγμάτων ἤτοι ἀριθμῶν τῶν
λεγομένων κομήτων συνιστάμενον πλῆθος. κόμης δέ ἐστιν, ὁ ἑνὸς τάγματος
ἤτοι βάνδου ἀφηγούμενος. κένταρχος δέ ἐστιν, ὁ ἑκατὸν ἀνδρῶν ἄρχων, ἤτοι
ἑκατόνταρχος· ὅστις καὶ ὑπὸ τὸν κόμητα τέτακται. δέκαρχος δέ ἐστιν ὁ τῶν δέκα
πρῶτος, ὥσπερ πεντάρχος ὁ τῶν πέντε, ὅστις καὶ μέσος ἵσταται τῆς ἀκίας. τετάρ-
χης δέ ἐστιν, ὁ καὶ φύλαξ ὁ λεγόμενος οὐραγὸς καὶ τελευταῖος ἱστάμενος τῆς
ἀκίας· ὁ γὰρ πυκνότερος τῶν ἀρχόντων διαμερισμός, καὶ πλέονας δύνα-
ται τοὺς γενναίους καὶ ἀνδρείους στρατιώτας, καὶ εὐχερῶς ὑπακούειν, καὶ ἐκτελεῖν
ποιεῖ τὰ κελευόμενα· καὶ βανδοφόρος μέν ἐστιν, ὁ τὸ σημεῖον τοῦ βάνδου βαστά-
ζων. διποτάτοι δὲ προσαγορεύονται παλαιοί, οἱ νῦν λεγόμενοι σκρίβωνες, οἵ-
τινες παρακολουθοῦντες τῇ παρατάξει τοὺς ἐν τῇ μάχῃ τραυματιζομένους ἀ-
ναλαμβάνονται ὡς ἰατροί, καὶ περιποιοῦνται. μανδάτορες δέ εἰσιν οἱ τὰ μαν-
δάτα ἀπὸ τῶν ἀρχόντων πρὸς τοὺς στρατιώτας ὀξέως διακομίζοντες. λοχαγὸς
δὲ λέγεται ὁ πρῶτος τοῦ στίχου, ἤτοι τοῦ ὀρδίνου κατὰ τὸ βάθος. ὁ αὐτὸς δὲ λέ-
γεται καὶ πρῶτος καὶ πρωτοστάτης. οὐραγὸς δὲ ὁ ὄπισθεν τοῦ ὅλου στίχου, ἤτοι τῆς
οὐρᾶς τοῦ ὀρδίνου ἱστάμενος. κούρσορες δὲ λέγονται, ἤτοι πρόμαχοι οἱ προ-
τρέχοντες τῆς παρατάξεως ἐν τῇ συμβολῇ τοῦ πολέμου, καὶ τοῖς φεύγουσι
ἐχθροῖς ὀξέως ἐπιτιθέμενοι, οὓς καλοῦσι προκλάστας. δεφένσορες δὲ οἱ τού-
τοις ἐπακολουθοῦντες, μὴ ἐκτρέχοντες δὲ καὶ λύοντες τὴν τάξιν, ἀλλὰ σωμα-
τικῶς περιπατοῦντες πρὸς ἐκδίκησιν τῶν κουρσόρων. ὁ γὰρ αὐτὸς ὡς εἰκὸς
τὰ πλεῖστα συμβῇ, οὓς προδικαίως ἄντες καλοῦσιν ἐκδίκους. μίνσορες δὲ λέ-
γονται, ἤτοι οἱ τὰ φοσσᾶτα μετροῦντες καὶ καθιστῶντες, οὓς μινσουράτορας ἐπο-
νομάζοντες ἰδίως οὕτως ὀνομάζουσιν. οὗτοι δὲ εἰσὶν οἱ προλαμβάνοντες αὐτάς

ὁδοιπορείαις καὶ τὰς ἐπιτηδείους ὁδοὺς καὶ τοὺς τόπους ἀνερευνῶντες, ἐν οἷς
τὰ ἀπλίκτα γίνεσθαι ὀφείλουσιν, καὶ ταύτας ὁποῖαι εἰσὶ κατανοοῦντες. σκουλ-
κάτορες δὲ οἱ κατάσκοποι λέγονται, οἵτινες μανθάνοντες τὰ τῶν ἐχθρῶν ἀπαγγέλ-
λουσι. πλαγιοφύλακες δὲ εἰσὶν οἱ πρὸς φυλακὴν τῶν πλαγίων τῆς πρώτης τά-
ξεως ταττόμενοι. ὑπερκερασταὶ δὲ οἱ πρὸς τὸ περιβαλεῖν τὸ τῶν πολεμίων κέρας
ταττόμενοι. ἔνεδροι δὲ οἱ πρὸς τὰ ἐξ ... ματα κατὰ τῶν ἐχθρῶν ἐπιταξό- τῆς παρατάξεως
μενοι. νωτοφύλακες δὲ οἱ ὄπισθεν τῆς παρατάξεως πάσης ταττόμενοι περιπατεῖν.
καὶ τοῦλδον ἐστὶν ἡ ἀποσκευὴ καὶ χρεία πᾶσα τῶν στρατιωτῶν, τουτέστιν παῖ-
δές τε καὶ ὑποζύγια, καὶ τὰ λοιπὰ ζῷα, καὶ πᾶν ἕτερον πρᾶγμα πρὸς ὑπηρεσί-
αν τοῦ φοσσάτου ἐπιπορεύεται. ἔστι δὲ καὶ ἡ τοῦ στρατηγοῦ προέλευσις εἰς τινας ἄρ-
χοντας διαιρουμένη· οἷον τὸ ἐκκόμματα τῆς κόρτης αὐτοῦ καὶ τοῦ θέματος. ὁ δο-
μέστικος καὶ ἁπλῶς εἰπεῖν εἰ τοὺς λοιποὺς ἐξ ἔθους τῆς προελεύσεως αὐ-
τοῦ ὑπηρέτας, οὓς περισσὸν ἡγούμεθα καταριθμεῖν. ὁ γὰρ πρωτονοτάριος τοῦ
θέματος, καὶ ὁ χαρτουλάριος, πρὸς δὲ καὶ ὁ πραίτωρ ἤγουν ὁ τοῦ θέματος
δικαστής. ὁ μὲν τῆς πολιτικῆς ἐστι διοικήσεως ὁ ἄρχων, ὁ δὲ πρὸς τὴν τοῦ στρατι-
ωτικοῦ καταγραφήν τε καὶ ἀναζήτησιν, ὁ δὲ τὰς δίκας τῶν δικαζομένων διαγινώσκει.
οὓς εἰ καὶ τῷ στρατηγῷ αὐτόσε ὑποτάσσεσθαι χρή· ἀλλ' οὖν τοὺς λόγους τῶν ἰ-
δικῶν αὐτῶν διοικήσεων πρὸς τὴν βασιλείαν ἡμῶν ἀναφέρειν, ὥστε δι' ἑαυτῶν
μανθάνειν τάς τε τῶν πολιτικῶν πραγμάτων καταστάσεις καὶ διοικήσεις, ἀσφα-
λέστερον ἡγούμεθα. δεῖ μέντοι σε τὸ στρατὸν ὅλον ὡς στρατηγὸν διαιρέσεις εἰς διάφο-
ρα τάγματα, καὶ ἐπιστῆσαι αὐτοῖς ὡς ἔρρηται ἄρχοντας φρονίμους καὶ ἀν-
δρείους καὶ ἁρμόζοντας αὐτοῖς, ἤτοι ταξιάρχας ἐπιλέγου φρονίμους, γενναί-
ους. εἶτα τοὺς δεκάρχας καὶ αὐτοὺς γενναίους καὶ ἐμπείρους, εἰ δυνατὸν ἐκ
τοῦ τοξεύειν εἰδότας. καὶ μετὰ τοὺς δεκάρχας τοὺς πεντάρχας καὶ τετράρχας ὁμοί-
ως. καὶ τότε τοὺς φύλακας τῶν ἀκιῶν, ἤγουν τῶν κατὰ τὸ πάχος τῆς παρατάξεως
ὀρδίνων, οἳ καὶ δεκαρχίαι καλοῦνται· δύο ἀπὸ ἑκάστης ἀκίας ὡς γίνεσθαι
τοὺς ἐπιτασσομένους ὀρδινοῦσθαι εἰς τὰς ἀκίας παλαιούς τε καὶ νέους ἀναμί-
κτους. ὅτι αἰεὶ εἰσὶ κατὰ τὸ μέσον τοῦ πλήθους τοῦ στρατοῦ, στάσεις δὲ καὶ τούτοις
ἀπονέμοντες. τότε τοὺς ἐπιλέκτους ἐπὶ τὸ ἄγον κατὰ διαφορὰν πρὸς τὴν ἑκάστου
ποιότητα, ἤγουν φόβον καὶ δειλίαν. τοὺς μὲν δὲ λοιποὺς ὁμοίως ἐπιταθέν-
τες καὶ διατάξαι. δύο δὲ μανδάτωρας ἀγρύπνους καὶ φρονίμους ἐπι-
λέγεσθαι δέον, καὶ δύο βανδοφόρους ἀπὸ ἑκάστου τάγματος. τὴν δὲ τοιαύτην

ὁπλοτέρων καὶ ὀρδινεύειν ποιεῖσθαι ἐν τοῖς κονδουβερνίοις, τουτέστιν ἐν ταῖς ἀ-
κίαις· καὶ ἔνθα ὡς εἰκὸς παῖδες οὐκ εἰσὶ τοὺς ὑποδεεστέρους τῶν στρατιωτῶν
εἰς τὰ ταγμάτια ἀφορίζειν, τουτέστιν εἰς τρία, ἢ εἰς τέσσαρα ταγμάτια ἄνδρα
ἕνα, καὶ ἐπιτήδεια τῶν ἐκλοχίμων ἐξ αὐτῶν στρατιωτῶν ἀρίστων τῶν σπουδαίων
ἐφ' ἑνὶ τῶν ὅλων τῶν ἄλλων ἀκολουθεῖν ὀφείλουσιν· ὁ εἰσὶν δὲ καὶ τὰς ἀκίας πόσαι
καὶ ποῖαι ὀφείλουσι δεξιᾷ τοῦ βάνδου τάττεσθαι. καὶ πόσαι καὶ ποῖαι ἀρι-
στερᾷ αὐτοῦ. τάξεις δὲ καὶ τὰ κονδουβέρνια, ἢ κατὰ πέντε ὡς εἴρηται, ἢ δέκα ἄν-
δρας, ἢ κατὰ τέσσαρας ἢ ὀκτώ, ἢ δεκαέξ, ὡς ἂν τοῦτ' ἐνδοκῇ τῷ κατὰ καιρὸν ἀρίστῳ·
ἵνα τῇ συνηθείᾳ δεσμούμενοι, καὶ ὑπὲρ ἀλλήλων ἐν ταῖς μάχαις ἀγωνιζόμε-
νοι ἀρισταμάχοι πρὸς ἀνδρείαν γένωνται· ἔχειν δὲ αὐτοὺς κοινὴν καὶ τὴν σκη-
νὴν καθ' ἕκαστον κονδουβέρνιον, ὡς ἤδη προδιωρισάμεθα, φιλικώτερον ἐποι-
ήσεις· ἐὰν τάξῃς ἀδελφοὺς μετ' ἀδελφῶν, καὶ φίλους μετὰ φίλων μάλιστα ἐν
ταῖς τῆς μάχης παρατάξεσιν· ὅταν γὰρ ἔστι τοῦ κινδυνεύοντος ὁ πλησίον περι-
λέσαντος, ἀνάγκη τὸν ἀγαπῶντα φιλοκινδυνότερον ὑπὲρ τοῦ πλησίον καὶ φί-
λου ἀγωνίζεσθαι. καὶ δὴ αἰσχυνόμενος μὴ ἀποδοῦναι χάριν τοῦ φίλου ὧν
πέπονθε, φιλεῖ αἰσχύνεσθαι καταλιπεῖν τὸν εὐεργετήσαντα καὶ προδότης φανῆναι.
τὰ δὲ κονδουβέρνια ὡς εἴπομεν διατάττε ἀπὸ παλαιῶν καὶ νέων στρατιωτῶν
συνίστασθαι, ἵνα μήτε οἱ παλαιοὶ καθ' ἑαυτοὺς ταττόμενοι ἀσθενεῖς ὦσι καὶ
ἀδύνατοι· μήτε οἱ νεώτεροι ἅπαντες εὑρεθῶσιν ὡς ἄπειροι· οἱ μὲν γὰρ καὶ τε-
ευόντες, ἀλλὰ πεπειραμένοι· οἱ δὲ καὶ ἀκμάζοντες καὶ ἀνδρεῖοι, ἀλλὰ ἄπειροι
εἰσίν. οὕτως οὖν τῶν ταγμάτων ἤτοι βάνδων διαιρουμένων, χρὴ ἐπιστῆναι
αὐτοῖς ἄρχοντας τοὺς λεγομένους κόμητας. συνίστασθαι δὲ ἕκαστον τάγμα ἀπὸ
ἀνδρῶν τῶν κατὰ τὸν μέτριον τόπον. μὴ ἔτι δὲ πλέον τετρακοσίων ἀνδρῶν τὸ τάγμα
ἔχειν δεῖ, κἂν πάνυ πολὺν στρατὸν ἔχῃς. μήτε ἔλαττον τῶν διακοσίων,
κἂν ἔστιν ὀλίγος ὁ στρατός. ταῦτα δὲ τὰ ταγμάτια συντάξεις εἰς χιλιαρχίας ἢ
τὰς μοίρας τὰς λεγομένας δρούγγους, καὶ ἐπιστήσεις αὐτοῖς μοιράρχας ἀρίσ-
τους ἀνδρείᾳ καὶ φρονήσει καὶ τάξει, εὐδοκίμους καὶ στερροὺς καὶ ἀποδεί-
α διαφέροντας, τοὺς λεγομένους δρουγγαρίους, οὓς πάλαι χιλιάρχους ἐκά-
λουν οἱ παλαιοί. τὰς δὲ μοίρας ταύτας ἤτοι τοὺς δρούγγους, συντάξεις εἰς μέρη
ἤτοι τούρμας, καὶ ἐπιστῆσαι αὐτοῖς γνώμης τῆς βασιλείας ἡμῶν μεράρχας,
οἱ λεγόμενοι πάλαι καὶ στρατηλάται, νῦν δὲ τῇ συνηθείᾳ καλούμενοι τουρμάρ-
χαι. καὶ τούτους φρονίμους καὶ δεδοκιμασμένους εἶναι, καὶ ἐναρέτους καὶ ἐμπει-

ρους, εἴδη κατὰ τοὺς στύλους καὶ γράμματα. καὶ μάλιστα τὸ τοῦ μεσομέρους τὸ λεγόμενον ὑποστρατήγου, ὀφείλοντα ἐξηλλαγμένα εἶναι ἐν πᾶσι τὸ τοῦ στρατηγοῦ τόπον ἀναπληροῦν. ταῦτα δὲ τὰ μέρη τινὰ συνίστανται ἐφ' ὧν καὶ ἄρχοντες ἐπεστάτουν τουρμάρχαι, εἷς ἑκάστου ἰδίου μέρους ἄρχων. ὥστε εἶναι τοῦ παντὸς στρατεύματος τὴν πρώτην καὶ μεγίστην διαίρεσιν. τὰ μέρη ἰσάριθμα, ἤγουν τούρμαι. τουτέστι μέσον ἀριστερόν τε καὶ δεξιόν. τοῦτο δὲ ποιεῖν τὴν πᾶσαν τὴν ὑπὸ σὲ στρατιὰν τεταγμένοι χρὴ δὲ ὡς ἔπραττον. μὴ τάγμα πλέον τετρακοσίων ἀνδρῶν γίνεσθαι, ἤγουν τὸ τοῦ κόμητος βάνδον. μήτε δρούγγοι πλέον τῶν τρισχιλίων, μήτε τούρμαν πλέον τῶν ἑξακισχιλίων. εἰ δὲ συμβῇ πλέον τοῦ λεχθέντος μέτρου εἶναι τὸν στρατόν, κάλλιόν ἐστιν ἔξωθεν τῶν μερῶν, ἤτοι τῶν τουρμαρχιῶν ἐνδεύτερα τάξιν καθίστασθαι. ἤγουν ἐν τῇ ὄπισθεν τῆς προμάχου τάξεως παραταγῇ ἐν ὑποβοηθείᾳ καὶ εἰς φυλακὴν τῶν πλαγίων μερῶν, καὶ εἰς νωτοφύλακας, καὶ εἰς ἐνέδρας, ἤτοι ἐγκρύμματα, καὶ εἰς κυκλώσεις τῶν πολεμίων. καὶ μήτε τὰς τούρμας, μήτε τοὺς δρούγγους μείζονας ποιεῖν. ἵνα μὴ ὡς μεγάλα καὶ ἐπὶ πολὺ κινούμενα ἀπειθῆ πρὸς τὰ παραγγέλματα, καὶ συγκεχυμένα εὑρεθῶσιν. ἀλλὰ καὶ ἐκεῖνό σοι ἄξιόν ἐστι μὴ παραινέσαι, ὥστε μὴ πάντα τὰ τάγματα ἤτοι βάνδα ἐπὶ μιᾶς δόσεως πάντως ἴσα ποιεῖν, ἵνα μὴ ἐκ τῆς ἀριθμήσεως τῶν βάνδων διαριθμητὸς ὁ στρατὸς γένηται. ὅπερ πολλάκις μεγάλας προξενεῖ τὰς βλάβας, ἀλλὰ τοῦτο φυλάττειν. μήτε τῶν τ' ἀνδρῶν ὡς ἔφημεν πλέον, μήτε τῶν διακοσίων ἀνδρῶν ὀλιγώτερα γίνεσθαι αὐτά. διὸ πολλάκις καὶ καθ' ἕκαστον τάγμα. ἐὰν δύο βάνδα διπρεπῆ ἀναφαίνεσθαι ἐν τῷ καιρῷ τῆς τοῦ πολέμου συμβολῆς, οὐκ ἄχρηστον εἰς τὸ καταπλῆξαι τοὺς πολεμίους. χρὴ δὲ ἀφορισθῆναι ἀπὸ ἑκάστου βάνδου εἰς τὰς ἀναγκαίας χρείας ὡς ἔπραττον τοὺς μανδάτορας ἀγρύπνους καὶ γοργοὺς καὶ ἐντρεχεῖς, καὶ νηφαλίους. γινώσκοντας εἴδη κατὰ τὸ καὶ γλώσσας διαφόρους λαλεῖν, καὶ βουκινάτορας· οἵτινες ἐν καιρῷ τὰ σημάδια σαλπίζουσι, ἀρμάτορας, τοξοποιούς, σαγιττοποιούς, καὶ τοὺς λοιποὺς πρὸς τὴν ἐξ ἔθους διατύπωσιν. ἀφορίσαι δὲ καὶ τινὰς τοὺς ὀφείλοντας τὰ διεσκορπισμένα τῶν ἀπολυμένων συνάγειν, καὶ ἀποδιδόναι τοῖς κυρίοις αὐτῶν, ὥσπερ ἐπὶ τοῦ τούλδου τῶν καβαλλαρίων ἀναγκαῖον δεῖ εἶναι τοὺς ὀφείλοντας ἐπιστῆναι ἄρχοντας. οὕτω καὶ ἐπὶ τοῦ τούλδου τῆς πεζικῆς τάξεως ἀφορίσαι τινάς, οἳ ὀφείλουσι προΐστασθαι τοῦ λεγομένου καραγοῦ, ἤτοι τῶν ἁμαξῶν. καραγὸς δὲ λέγεται, ὁ διὰ τῶν ἁμαξῶν καὶ τειχῶν καὶ τῶν ἄλλων μηχανῶν γινόμενος περιορισμὸς

ὥς

εἰς ἀσφάλειαν τοῦ στρατοῦ, καὶ καθ᾽ ἕκαστον μέρος· ἵνα πρὸ τῶν τοῦ ἄρχοντος φέροντα καὶ σημεῖον ὡς ἐπὶ τῶν ἱππέων συντεθῆναι εἰς τὰς τοῦ ἰδίου ἑκάστου ἀριθμοῦ, ἵνα ἐκ τῆς χρόας τοῦ σημείου φανερὰ τοῖς ἰδίοις ἕκασται γίνοιντο. κηρύξει δὲ καὶ τῆς πεζικῆς τάξεως ἐπεσημάνθημεν. δεῖ γὰρ καὶ ταύτης τὴν διαίρεσιν ὑποτετάχθαι, καὶ τοὺς ἐν αὐτῇ τασσομένους ἄρχοντάς τε καὶ ἄλλους ἡγεμόνας μικρούς τε καὶ μεγάλους καταστῆσαι, καὶ τὰς αὐτῶν δηλῶσαι ὀνομασίας. ὡς περὶ αὐτῆς ἐκ τῶν παλαιῶν τακτικῶν παρελάβομεν. καὶ ὡς οἱ νεώτεροι τὴν αὐτῶν τάξιν καὶ κατάστασιν μέχρις ἡμῶν παραπέμψαντο· οἱ γὰρ ἀρχαῖοι πολὺ πλῆθος ἔχοντες στρατευμάτων τῶν πολεμιζομένων ὁπλιτῶν, νῦν δὲ σκουτάτων καλουμένων· μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ ὀνόματος διὰ τὴν παντελῆ ἀμέλειαν τῆς τακτικῆς πράξεως μικροῦ παραπαντελῶς ἀγνοουμένου. ταῦτ᾽ οὖν τὰ τάγματα τῶν σκουτάτων ἀπὸ ιϛ ἀκιῶν, ἤτοι λόχων ἐποίουν ἀνδρῶν σις. τουτέστιν ἑκάστην ἀκίαν ἀνδρῶν ιϛ ὑποτεταγμένων ἀριθμοῦ δὲ εἰς οἰκεῖ δὲ ἐκείνοις ἡ φάλαγξ, ἀνδρῶν πεζῶν δ ϛ ς. ἣν ἐκάλουν στρατηγίαν, καὶ τὸν ταύτης ἡγούμενον στρατηγόν. τὴν δὲ ὅλην παράταξιν ἐποίουν, ταγμάτων ξδ· ἀκιῶν χιλίων κδ· ἀνδρῶν μυρίων ἑξακισχιλίων τετρακοσίων πδ· ψιλῶν δὲ τῶν λεγομένων τοξοτῶν καὶ ἀκοντιστῶν καὶ σφενδονιστῶν, ἀνδρῶν ὀκτακισχιλίων ἑκατὸν ϟβ· ἤτοι ἡμίσειαν εἶναι τῶν ψιλῶν τὴν τάξιν τῶν λεγομένων ὁπλιτῶν ἤτοι σκουτάτων. τῶν δὲ συνάντως παρατασσομένων ἱππέων, ἤτοι συμμαχούντων τῇ πεζικῇ τάξει ἀνδρῶν καβαλλαρίων δ ϛ ς. καὶ τούτων ἡγούμενος ἦγε τοῖς στρατιώταις, καὶ ταῦτα ἐμμέτρως οὕτως. τὰ δὲ τάγματα τῶν σκουτάτων ἔμπροσθεν εἰς πρόμαχον τάξιν παρέταττον κατὰ τῶν ἐναντίων, καὶ ταύτην εἰς δ μέρη· ἵνα ἐποίουν δεξιὸν, ἀριστερὸν, μέσον δεξιόν. τὰ δὲ τῶν ψιλῶν τάγματα ἰδίᾳ διὰ τὸ γυμνοὺς εἶναι καὶ ἐλαφροὺς ἢ ἔμπροσθεν εἰς ἐπίδειξιν τῶν ἐχθρῶν ἔταττον, ἢ εἰς πλάγια, ἢ ὄπισθεν τῆς πρώτης παρατάξεως, ἢ ὡς ἡ χρεία ἀπῄτει, περὶ οὗ ἐν τῷ ἁρμόζοντι τόπῳ ἐροῦμεν· τοὺς δὲ καβαλλαρίους εἰς δύο μέρη διαχωρίζοντες κατὰ τὰ πλάγια τῆς τῶν πεζῶν πάσης τάξεως ἔταττον βοηθούς, καὶ ὀξέως ἐπιτιθεμένους τοῖς ἐναντίοις. ἵνα αὐτὰ νῦν τε μηδὲ παρὰ τινος τῶν στρατευομένων γινώσκεσθαι τὰ ἀναγκαιότερα καὶ σαφέστερα καὶ συντομώτερα λέξω, ἐπειδὰν τὰ γὰρ τάγματα τῶν καβαλλαρίων διατάγματα καὶ τὰ τῶν πεζῶν πλήθους τὴν στρατιάν· ὥστε καὶ τοὺς εὐγενεῖς καὶ γενναίους κατὰ ἀνδρείαν δείκνυσθαι στρατεύοντας. νῦν δὲ ὁ στρατηγὸς ὀλίγον ὅλον καὶ μηδὲ

τοῦ ἔχοντος τὸ μέσον, ἀλλὰ πολὺ ἧττον· οὐκ ἔστιν δὲ καλὸν ὁρίζεσθαι τὸ μέσον τοῦ
τάγματος, οὔτε ἐν τοῖς καβαλλαρίοις, οὔτε ἐν τοῖς πεζοῖς· ἵνα μὴ εἰς δῆλος ἢ πεσ-
σοῦντες τοῦ τόπου τῶν ͵ϛυς ἀνδρῶν ἀρχήσωσι· ἢ πάλιν ἐὰν ἄλλοις τάγμασι προ-
τεθῶσιν εἰς ἄτακτοι, ἀλλὰ τὰ ἓξ τάγματα ποιεῖν εἰς ἕκαστον ἀριθμόν· ὡς ἁπλ-
οῦς ἄρτια καὶ ὑποδότης τῶν τελειῶν ἀνδρῶν κατὰ τὴν δύναμιν τοῦ παρόντος ὑπο-
κειμένου λαοῦ· καὶ βάνδον ἔχειν ἴδιον ἕκαστον αὐτῶν, καὶ ἄρχοντα ἤτοι κόμητα
γενναῖον καὶ ἔμπειρον καὶ ἀνδρεῖον, καὶ ἀρχηγὸς δυνάμενον συνέχεσθαι· τὰς μέντοι
ἀκίας ἑκάστου τάγματος τῶν πεζῶν, ἀπὸ ιϛ ἀνδρῶν ὁρίζουσιν εἰς τὸ τῆς μά-
χης κάταβον· τὴν δὲ παράταξιν περὶ τὸ μέρος τοῦ συνισταμένου στρατοῦ ποιεῖν·
ταύτην δὲ εἰς τρία μέρη διαιρεῖσθαι, ἐξ ὅλων τῶν ἀπαντήσεων ταγμάτων καὶ ἀκι-
ῶν, καθὼς ἀνωτέρω εἴρηται· τουτέστιν εἰς δεξιὸν οὗ ἄρχει ὁ δεξιὸς μεράρχης, ἤτοι
στρατηλάτης ὃν δουρμάρχην καλοῦσιν· εἰς ἀριστερὸν οὗ ἄρχει ὁ ὁμώνυμος δουρμάρ-
χης, καὶ εἰς τὰ ἕτερα δύο μέρη ὁμοίως ἐν οἷς ἵστανται καὶ τὸ τοῦ στρατηγοῦ βάνδον:

Δέον ἐστὶν ὄπισθεν τοῦ τῆς παρατάξεως φυλάττειν ὀλίγους καὶ σκουτάτους καὶ
ψιλοὺς ἐν ὑποβοηθείᾳ ἄρχοντα ἔχοντας ἴδιον· ἢ παρὰ τοῦ τεταγμένου, ἵνα
ἐὰν χρεία γένηται εἰς τὰ ἄκρα τῆς παρατάξεως ἔξωθεν τῶν καβαλλαρίων, ἢ εἰς
τὰς ἁμάξας, ἢ εἰς ἑτέρους τόπους μετὰ τῶν ἰδίων αὐτῶν ἀρχόντων ἐπιτρέχοντες
βοηθῶσι· χρὴ δὲ ἐὰν ὀλιγώτερος ὑπάρχῃ ὁ στρατὸς κδ χιλιάδων πεζῶν, μὴ ποι-
εῖν τὰ τέσσαρα μέρη τῆς παρατάξεως, ἀλλὰ γ· ἐν δὲ τῷ μέσῳ μέρει τάσσεσθαι τὸ τοῦ
στρατηγοῦ βάνδον, ἀφεῖναι καὶ πίπτειν τὰ λοιπὰ βάνδα ὀφείλουσιν· ἐὰν δέ πως
ὑπὲρ τὰς κδ χιλιάδας ὦσιν οἱ στρατευόμενοι, τὸ ἥμισυ μέρος χωρεῖσθαι εἰς
ψιλοὺς τοὺς εἰς βίγλας ἐξόδους, ἢ καὶ μάλιστα δυναμένους τοξότας καὶ ἱκανοὺς
ἱκανοὺς πεζοὺς ὅπου βούλονται· εἰ δὲ ὀλιγώτεροι τῶν κδ χιλιάδων εἰσί, τὸ ἕν
τρίτον μέρος ἐν ἑκάστῳ ἀριθμῷ, καὶ τὸ ἐκδρομεῖς εἶναι αὐτοὺς εἰς δεκάρχην, καὶ ἐ-
πιστῆναι αὐτοῖς δεκάρχας χρησίμους· καὶ ἄρχοντας ἕνα τὸν λεγόμενον ἀρχιτα-
ξιάτορα, ἤτοι τουρμάρχην τοξοτῶν· τὸ δὲ ὑπολειπόμενον δίμοιρον μέρος ἥμισυ
διαιρεῖσθαι εἰς ἀκίας ἀνδρῶν ιϛ, παλαιῶν τε καὶ νέων· ἀκίαις λέγονται τὰ λεγό-
μενα κοντουβέρνια· καὶ τοὺς ἐκ δύο αὐτῶν τοὺς ὑποδεεστέρους ἑκάστης ἀκίας
εἰς τὰς ἁμάξας, καὶ εἰς ἑτέρας χρείας ἀφορίζεσθαι· τοὺς ιϛ ἵστασθαι ἐν τῇ παρα-
τάξει, καὶ ἐπιστῆναι αὐτοῖς τοὺς λοχαγοὺς λεγομένους γενναίους καὶ χρησί-
μους· ἐκ τούτων δὲ τῶν ιϛ χρησιμωτέρους ὀκτὼ ἐμπεσεῖσθαι καὶ ὄπισθεν τοῦ
λόχου καταστῆσαι· τινὲς γὰρ τῶν ιϛ ἀνδρῶν ἀκίαν λόχον ἐκάλουν οἱ παλαιοί· στῆναι

δὲ αὐτοὺς εἰς τὸν πρῶτον τόπον καὶ εἰς τὸν δεύτερον, καὶ εἰς τὸν τρίτον καὶ εἰς τὸν τέταρτον, καὶ εἰς τὸν ἑξκαιδέκατον, καὶ εἰς τὸν πεντεκαιδέκατον· ἵνα καὶ μέχρι τῶν τεσσάρων ἀνδρῶν μειουμένου τοῦ βάθους, ἤγουν τοῦ πάχους τῆς ἀκίας, ἐνδυνάμως ὑπάρχῃ ἡ οὐραγία τοῦ μετώπου. τοὺς δὲ λοιποὺς τοὺς ὑποδεεστέρους, ἐν τῷ μέσῳ αὐτῆς τάξαι. τούτους δὲ τοὺς ιϛ ὀνομάζει ἕνα πρὸς ἕνα, ἀπὸ πεζῶν καὶ σκουτάτων, ἤγουν πρωτοστάτην καὶ ἐπιστάτην. τοὺς δὲ δύο ἐν αὐτοῖς, ἀπὸ τοῦ ἔχειν ὀνομάζειν. καὶ τὸν μὲν πρῶτον καλεῖσθαι λοχαγὸν καὶ πρωτοστάτην. τὸν δὲ δεύτερον, δεκάρχην καὶ ἐπιστάτην. ὥστε εἶναι τὸν ὅλον στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν συγκείμενον· ἵνα δὲ καὶ ἄρχεσθαι εὐκολωτέρως καὶ ἁρμοζόντως συνδιάγειν ἀλλήλους. κάλλιον ἐστὶ μᾶλλον τούτους εἰς τὸ μόνα κοντουβέρνια γίνεσθαι, ἵνα οἱ μὲν πρωτοστάται ὦσι μετὰ τοῦ λοχαγοῦ. οἱ δὲ ἐπιστάται ἐν τῷ δεκάρχου, καὶ γὰρ ἐν τῇ ἀπλήκτῳ διαιρούμενοι εἰσίν. ἀλλ' ὅτι ἐν τῇ παρατάξει ἡνωμένοι ὄντες οἱ ιϛ τῇ βουλῇ καὶ γνώμῃ τοῦ λοχαγοῦ πείθονται. ἐντεῦθεν γὰρ καὶ ἡ τάξις φυλάσσεται, καὶ εὐκόλως ἄρχεσθαι δύνανται. χρήσιμον δὲ ἐστὶν ἐὰν δέχηται μὴ μόνον τὴν ἀνδρείαν ὁρμηνεύειν τοὺς ιϛ, ἀλλὰ καὶ τὴν ἡλικίαν· ἵνα οἱ μικρότεροι ἔμπροσθεν τασσόμενοι, φοβερωτέραν τὴν παράταξιν ἀποδείξωσιν. εἰ δὲ μὴ ἐνδέχεται καὶ τὴν ἡλικίαν καὶ τὴν ἀνδρείαν τούτους τάσσεσθαι, πάντως ὡς εἴπομεν τοὺς προθυμοτέρους καὶ γενναιοτέρους ἑκάστης ἀκίας εἰς τοὺς ἔμπροσθεν καὶ ὄπισθεν τόπους τάσσεσθαι. τοὺς δὲ ὑποδεεστέρους εἰς τὸ μέσον αὐτῶν κατὰ τὸν τόπον εἰρήκαμεν. διὰ τοῦτο δὲ καὶ οἱ ἀρχαῖοι ἀπὸ ιϛ ἀνδρῶν πεζῶν τὸ βάθος τῶν ὀρδίνων ὥρισαν τό. ἐπεὶ καὶ τὸ μέτρον ἁρμόζον ἐστιν. ὅπερ βαθύνεσθαι καὶ ἐν ταῖς χρείαις διπλῶς μειοῦσθαι καὶ λεπτύνεσθαι, μέχρις ἑνὸς ἀνδρός. τοῦτο δὲ κατὰ τοσοῦτον καὶ περὶ τῆς τοῦ στρατοῦ διαιρέσεώς τε καὶ καταστάσεως. καὶ τῶν ἐπὶ τούτοις τεταγμένων ἀρχόντων μικρῶν τε, καὶ μεγάλων διωρίσαμεθα:

## Τοῦ αὐτοῦ διάταξις τετάρτη:
## Περὶ τοῦ πῶς δεῖ βουλεύεσθαι:

Ἐπειδὴ δὲ πρὸ πάσης πράξεως καὶ βουλὴν ἡγεῖσθαι δεῖ, ἡ γὰρ προβεβουλευμένη
διοίκησις οὐκ ἀσφαλὴς καὶ κατευθύνεις ζητήσεις τὸ κατορθοῦν· τὸ ἅμα
καὶ βουλεύσασθαι, καὶ πρᾶξαι, ἀλλ' οὐ νόμος τὸ σπάνιον· διὰ τοῦτο καὶ πρὸ
τῶν ἄλλων παρακελευόμεθά σοι πάσης ἀναγκαίας πράξεως, καὶ μάλιστα πο-
λεμικῆς βουλεύεσθαι πρότερον σὺν τῶν δοκούντων σοι ἱκανῶν ἐν ταῖς βουλαῖς
τῶν ὑπ' ἀρχόντων· οἷον τουρμαρχῶν καὶ τῶν λοιπῶν· ἐπειδὴ καὶ τὸ κινούμε-
νον τὸ βουλευθὲν ὡς συμφέρον ἐστί· τὸ τέλος τῆς σπουδῆς καὶ τῆς κατορθώσεως ταύτην
ἀσφαλῶς ἤδη σοι διατάξομαι· βουλή ἐστι διάσκεψις περὶ τοῦ πρᾶξαί τι, ἢ μὴ
πρᾶξαί πως. καὶ εἰ δεῖ πρᾶξαι, ὅτι τὸ βουλευθέν. εἰ δὲ πρᾶξαι, πῶς πρᾶξαι. ἤγουν τοῦ τρόπου τῆς πράξεως
ἤγουν τοῦ καιροῦ τῆς πράξεως τί πρᾶξαι· ἤγουν τοῦ καιροῦ τῆς πράξεως τὸ πρᾶγμα ποῦ πρᾶξαι· πότε πρᾶξαι.
τὸ πραττόμενον τίς πράξει· ἤγουν τὸ μέλλον πρόσωπον τὴν βουλὴν εἰς τέλος ἀ-
γαγεῖν· διὰ τί πρᾶξαι, ἤγουν τὴν αἰτίαν δι' ἣν ἡ πρᾶξις ὀφείλει γενέσθαι. ὁ δὲ βου-
λευόμενος καθ' ἑαυτὸν ἐξ ἀνάγκης πρὸ τῶν τὴν διάνοιαν ἐλευθέραν ἐχέτω παν-
τὸς τῶν ἄλλων· μάλιστα δὲ τῶν ἀνηκόντων εἰς τὸ πρᾶγμα περὶ οὗ βουλεύεται·
ὅτε ἔχθρας, ἢ φιλίας, ἢ ἄλλου τινὸς πάθους. εἰ γὰρ μὴ δὲ μόνον τὸ δοκοῦν σοι
καλὸν ἐκλέγου, καὶ τούτῳ πρόσεχε· ἀλλὰ πάντα τὰ δυνατὰ γενέσθαι προ-
βλέπε ἴσως τῶν πραγμάτων αὐτῶν τὴν ἔναρξιν ὑποβαλλομένων, καὶ ἄλλων ὑ-
ποβαλλόντων, καὶ ἄλλα τινὰ συμφέροντα ἀπὸ παρήγησις. εἰ δὲ μὴ ἰδίως βουλεύ-
σασθαι θέλεις, ἀλλὰ καὶ ἑτέρους παραλαβὼν πρὸς τὴν διάσκεψιν· σεαυτὸν τοσοῦτοι-
ως ἐκτίμαβε ἀπαθῶς καθὼς εἴρηται· ὡς πρὶν καὶ καθ' ἑαυτὸν ἐβουλεύσω.
τοὺς δὲ συμβούλους παραλάμβανε ἐμπείρους τοῦ πράγματος, προσεκτικοὺς
καὶ στοχαστικούς. συμπαθεῖς καὶ ὀξεῖς εἰς τὸ νοῆσαι καὶ ἀσφαλεῖς· οὔτε τὰ τῷ βου-
λευομένῳ ὑπήκοντας πρὸς χάριν, οὔτε τὸ κύριον πράγματος, οὔτε ἀλλήλοις.
λέγοντας δὲ τὸ φαινόμενον ἀληθῶς αὐτοῖς τὰς γνώμας καὶ μὴ πρὸς πάθος τινάς,
καὶ μηδεμίαν ἐξ αὐτῶν παρέχοντας ἐπιβολήν· ἀλλὰ τῇ ὥρᾳ τὸ συμφέρον προ-
τείν δοκιμάσαντας. εἰσὶ γάρ τινες ἢ ἴδιον ἑαυτοῖς συμφέρον προορῶντες,
ἢ ἑτέρους ἀγαπῶντες καὶ πολλάκις οὐκ ἐνδιδόντες παρατρέπουσι τὴν βου-
λὴν τοῦ βουλομένου. ὅπερ δὲ τῶν κρυπτῶν καὶ μυστικῶν πραγμάτων, καὶ πιστοὺς

παραλάμβανε καὶ ἐκράτει τοὺς καὶ μυστηρίων φύλακας, καὶ μὴ ὑπὸ ἑτέρων ἐξου-
σίαν ὄντες. πλὴν οὐδὲ ἀρεστὰ αὕτη πλέονος δέεται διὰ τὸ μυστικωτέρα εἶναι.
καὶ βουλεύου μὲν βραδέως ἐὰν μέλλῃς ἄριστα καὶ ἐπιτηδείως συντόμως βουλεύεσθαι.
τὰ δὲ βουλευθέντα δι' ὃ μηδὲν ἐμποδίζῃ ταχέως ἐπιτέλει. καιροῦ γὰρ ὡς εἴρηται
καὶ τόπον ἐκλέγου, καὶ κατασκεύαζε τὸ πρᾶγμα τὸ οἰκεῖον. πλὴν τὴν περὶ τού-
των κρίσιν, μὴ ἐπὶ τὸ μόνῳ ἀνάφερε· ἀλλ' ἐπὶ πάντας τοὺς κοινωνοῦντας τοῦ
πράγματος ἅμα σοί. καὶ τὰ μὲν δέουσι πρᾶξαι, σκόπου καὶ μετὰ πλειόνων
βουλεύου. ἃ δὲ πρᾶξαι βουλεύσῃ, μετ' ὀλίγοις πρᾶττε. τὴν δὲ καλλίονα γνώμην
ἐκλεξάμενος κάτεχε παρὰ σεαυτῷ, ἵνα μὴ τοῖς ἐναντίοις φανερὰ γένηται, καὶ
εὐκόλως ἐπιβουλευθῇ. τὰ δὲ πράγματα πλέονας τοὺς σκοποὺς χορηγοῦσι
καὶ ταχέως πείσαντες ἐκ πάντων τῶν μερῶν συμβαλλομένη ἡ βουλή, φανερὰ
γενήσεται τοῖς ἐν τῇ βουλῇ συνηγμένοις. πάντας δὲ χρὴ εἰς ἀπαθῆ καὶ ἀ-
σάλευτον ῥέπειν, καὶ τῆς φρονήσεως καὶ προνοίας τοῦ συγκαλέσαντος. τέλος δὲ τῆς βου-
λῆς ἔστω τὸ ὅπως τε πράξεις, καὶ πῶς πράξεις. ἐν οἷς δὲ βουλεύῃ καὶ ἐν τοῖς
ἐμπίπτουσι τῇ βουλῇ σκοποῖς συντρέχειν δεῖ ἅμα καὶ τὸ δυνατὸν καὶ τὸ συμ-
φέρον. τούτων γὰρ εἶναι μὴ δυναμένων ἀσθενὴς ἡ βουλή, καὶ ματαία αὐτῆς πάν-
τα καταντᾶν. καὶ εἰς τὸ ἐνδεὲς ἡ αὐτῆς ἀργία βλέπεται. εἰ γὰρ μὴ συμφέ-
ρει ὅπερ ἂν βουλεύσῃ, οὐ μόνον οὐκ ὠφέλησεν, ἀλλὰ μᾶλλον καὶ βλάψεν. εἰ
δὲ πάλιν οὐ δύναται τὰ βουλευθέντα πρᾶξαι, ματαία ἡ διάσκεψις τὸ ἀνωφε-
λὲς τέλος διὰ τὴν ἀδυναμίαν καταντᾷ. μάλιστα δὲ χρὴ φυλάττεσθαι τὰς
προχείρους ἐμφαινούσας ἐν τοῖς πράγμασι βλάβας. καὶ γὰρ οἱ πολλοὶ ἐβιώ-
σαν τοῖς μὲν φρονοῦσιν εὐφραίνειν ἑαυτούς. τὸ δὲ ἐμπίπτον τῆς βλάβης μή-
πω βλέπειν. ἄριστον μέντοι, ὅπου ἐστὶν ἐνταῦθα ἡ πανταχόθεν περίσκεψις, καὶ πάν-
των τῶν δυναμένων γενέσθαι ὁ περὶ τὴν σκέψιν ἀναλογισμός. οὐ γὰρ προσδώσεις
σεαυτὸν αὐτῷ προπετεῖ τυφλῷ καὶ ἀπερισκέπτῳ. οὐδὲ ταῖς ἐπιθυμίαις τῶν
πράξεων εἰς προδήλους κινδύνους ἐμπέσῃς. πάλιν δὲ τὸ δειλὸν ἐν ταῖς βου-
λαῖς οὐκ ἔστιν ἀβλαβές. φοβούμενος γὰρ τὰ παράλογα παραπτώματα, καὶ
τὰ ἐναντία τὰ δοκοῦντα παρ' ὅλως πραγματευόμενα πολλάκις πράξεως.

οὕτω μὲν οὖν διὰ βραχέων ὦ στρατηγὲ περὶ βουλῆς διεξήλθον-
τες, ἑξῆς καὶ τῆς τῶν πολεμικῶν ἔργων καὶ
πράξεων τακτικῆς ἀπαρ-
ξόμεθα:-

δύναται

## Τοῦ αὐτοῦ διάταξις ε΄ περὶ ὅπλων:

Κελεύομεν τὴν ὑμῶν ἐνδοξότητα, ἐπεὶ εἰς τοὺς πολέμους χρῄζομεν ὅπλων τε καὶ ἀποσκευῶν, τὴν πεζικήν τε καὶ καβαλλαρικὴν στρατιὰν φροντίζειν, ὥστε ταῦτα διαμένειν ἀδιάλειπτα, καὶ πρὸς τὴν καταπίπτουσαν τοῦ καιροῦ ἀρχόντων μικρῶν καὶ μειζόνων εἰς ὅπλισιν καὶ ὑπηρεσίαν τῶν ὑπὸ σὲ θεμάτων μάλιστα στρατευομένων· οἷον τοξάρια μετὰ θηκαρίων αὐτῶν, σαγίττας μετὰ κουκούρων, σπαθία ἠκονημένα, καὶ σεσημειωμένα σκουτάρια, καὶ ἕτερα σκουτάρια μεγάλα ἅπερ λέγονται θυρεοί, ἕτερα κοντάρια τῶν πεζῶν τὰ ποτὲ λεγόμενα πέλτα, ἕτερα σκουτάρια σιδηρᾶ στρογγύλα σεσημειωμένα, κοντάρια μικρὰ ὀκτάπηχα, ἢ ἢ ταῦτα ποτὲ Ῥωμαίοις καὶ Μακεδόσι κοντάρια ἄχρι πηχῶν ιϛ΄. ἅπερ νῦν λέγεται συγκάπτα· τὸ γὰρ κατὰ τὴν ἑκάστου τῶν μεταχειριζομένων δύναμιν ὅπλον ζυγομετρεῖσθαι καὶ ἁρμόζειν, ἐπλάρια, τζικούρια, ἕτερα τζικούρια ἀμφίστομα ἐφ᾿ ἑνὸς μέρους οἷον σπαθίον. ἀπὸ δὲ τὸ ἕτερον οἷον ξίφος κονταρίου μετὰ τῶν θηκαρίων αὐτῶν δερματίνων καὶ βασταγίων παραμήρια, μαχαίρας μεγάλας μονοστόμους, λωρίκια μέχρι ἀστραγάλου ἀνασυρόμενα διὰ λωρίων καὶ κρικελλίων μετὰ τῶν θηκαρίων αὐτῶν δερματίνων, καὶ δυνατὸν πάντα ἀμυντήρια. εἰ δὲ μή γε ἵνα αὐτῶν ἐκ κεράτων, ἢ βουβαλικοῦ δερμάτων κατὰ ξηρῶν. ἐπιλωρίκια ἱμάτια, κλιβάνια σιδηρᾶ, ἢ καὶ ἐξ ἑτέρας ὕλης ὡς εὕρηται· κασσίδας τῆρας, ποδελλίκια σιδηρᾶ, ἢ καὶ ἐξ ἑτέρας ὕλης διὰ τοὺς μὴ ἔχοντας, περισκελίδια σιδηρᾶ, ἀμαστελὰ ἐνδεδυμένα ἔσωθεν ἐξ ἀπὸ κενδύκλου ἔξωθεν δὲ ἀπὸ λινοῦ, νευρικὰ τὰ ἀπὸ κενδύκλου, τὰ ἀπὸ κενδύκλων διπλῶν γινόμενα, καὶ αὐτὰ αὐτε λωρικίων τοῖς μὴ ἔχουσι σιδηρᾶ. κένδουκλα φαρδέα ἐνδύοντα τῶν στρατιωτῶν μετὰ τῶν ὅπλων, σωληνάρια μετὰ μικρῶν σαγιττῶν καὶ κουκούρων αὐτῶν, σφενδόβολα, σελλοπούγγια μεγάλα, παρεκβόλα καὶ ἰλίκας, λωρόθηκα, πέδικλα, σωληνάρια σιδηρᾶ μετὰ καρφίων αὐτῶν, ἐνιά, βουβλία, προμετώπια ἵππων, στηθάρια ἵππων, ἢ σιδηρᾶ ἢ ἀπὸ κενδούκλου, περιτραχήλια ἵππων, ὁμοίως φλαμμούλα μεγάλα, φλαμμουλίσκια τῶν κονταρίων, βάνδα διαφόρως βεβαμμένα, βούκινα μικρὰ καὶ μεγάλα, δρέπανα, ἀξίνας, φαλκίδια, πελέκεις, σκέπαρνα, τριβόλους ἀναδεδεμένας σφηκώμασι δεδεμένοις εἰς ἄλλους ἥλους. ἀμάξας ἡμαφράς

φερούσας ἐντίμως τὴν ἀναγκαίαν εἰς χρείαν ἀποσκευήν, οἷον τά τε εἰρημένα ἔργα καὶ χειρόμυλα, καὶ πελέκια καὶ ὀρύγια, καὶ σφύρας, πλινθεῖα, κοφίνους, κελίκια, καὶ ἔτι ἄλλο πρὸς φοσσάτου ἔξωθεν φυλακὴν καὶ περιβολὴν ἐπινοηθῇ τῷ στρατηγῷ δι' ἐλαφροτέρας ὕλης μεμηχανημένων. ἑτέρας ἁμάξας ἐχούσας τοξοβαλλίστρας, μαγγανικὰ ἠλακάτια ἑκατέρωθεν στρεφόμενα, τοξοβαλλιστὰς ἐμπείρους, μαγγαναρίους, λεπτουργούς, χαλκεῖς μετὰ τῶν ἐργαλείων αὐτῶν, ἑτέρας ἁμάξας λόγῳ ἁρματωμάτων, ἑτέρας ἁμάξας τὰς φερούσας διατροφὰς καὶ τὰ ἐκ περισσοῦ ἄρματα ὅσα λέγεται καχ. καὶ ἔτι ὑποζύγια καὶ ἵππους, σαγμάρια, σκευοφόρια, καὶ τἄλλα πάντα ὄργανα ὅσα ἡ ζωὴ τοῦ φοσσάτου παρακελεύεται. πρὸς δὲ πολιορκίαν καὶ μαγγανικὰ διάφορα καὶ σκάλας ξυλίνας συστελλομένας, καὶ ἕτερα μηχανικὰ ἔργα ὅσα ἐπινοήσεις. εἰ δὲ πρὸς ποταμοὺς ἢ λίμνας, καὶ ναυκέλια ἤγουν πλοῖα μικρά, ἢ ἀπὸ βουρδῶν κατασκευασμένα, ἢ κατὰ φύσιν. φροντίσεις δὲ καὶ ἐνιμμένους καὶ λεγομένας τένδας καὶ ἄλλας μετὰ τῆς αὐτῶν ἐξοπλίσεως. αἴγες καὶ βρόχας καὶ κάμακα ἀπαντήσουσι. τοῖς δὲ ναυμάχοις στρατιώταις, καὶ ναῦς παρασκευάσειν ἐξωπλισμένας, τὰς μὲν μαχίμους, τὰς δὲ ἱππαγωγούς, τὰς δὲ σκευοφόρους, ἅμα τῇ πείρᾳ αὐτὰς ἀπὸ στρατηγοῦ, πανοπλίᾳ καὶ ἀποσκευῇ κελευόμεθα. τῶν γὰρ ἀπαρασκευάστων ἡ παρασκευὴ ἀνέτοιμος τε καὶ ὄφλου ἐστί. κινοῦνται μὲν παρὰ σοῦ, κινοῦσι δὲ πάντα τὰ ὑπὸ σὲ ἄρχοντας καὶ στρατιώτας ποιεῖσθαι. τὰ μὲν ὅπλα ἐξ ἧς εἰς ἄμυναν τῶν πολεμίων. τὰ δὲ εἰς φυλακὴν τῶν μαχομένων στρατιωτῶν. τὰ δὲ εἰς τὴν ἄλλην χρείαν αὐτῶν καὶ ὑπηρεσίαν. καὶ μάλιστα τῶν πολεμικῶν ὅπλων ἐπιμελήσῃ ὡς ἂν διαφυλάττωνται πάντα λαμπρὰ καὶ ἠκονημένα πρὸς κατάπληξιν τῶν πολεμίων.

Ταῦτα πάντα προευτρεπίσεις ἵνα ἑτοίμως ὦσιν εἰς χρείαν τῶν χ τῶν πολεμίων ἀγωνιζομένων. καὶ μὴ τοῦ καιροῦ ἐπιστάντος καὶ παρασκευῆς ἀνάγκας ὀφείλεις παρασκευάζειν. εἰ δέ τι πλέον εἰς ὅπλων παρασκευὴν ἐπινοήσεις τε θεῷ χάρις, καὶ τῇ σῇ φρονήσει. πρὸ δὲ πάντων μετὰ πάντα φόβον θεοῦ ἔχειν καὶ διάνοιαν, καὶ σπουδαίαν γνώμην ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι, καὶ πρὸς ἅπαντα ἑτοίμως εἶναι παρακελευόμεθα. περὶ μὲν οὖν τῆς τῶν ὅπλων παρασκευῆς, ὦ στρατηγέ, ὑπεθέμεθα τῇ σῇ ἐνδοξότητι καθ' ὅσον ἡμῖν μετρίως ἡ μνήμη ἐχορήγησεν. ἑξῆς δὲ περὶ μὲν πεζικῆς καὶ συμμίκτου παρατάξεως, ὕστερον ἐροῦμεν· νῦν δὲ ὅπως ὁπλίσεις ἕκαστον ἄνδρα καβαλλάριον

ἔν τε ταῖς γυμνασίαις, καὶ τῷ ἤγουν ἐν καιρῷ πολέμου. καὶ ὁποῖα κατὰ τὸ ἀναγκαῖον εἰσφέρει :

Τέλος

## Τοῦ αὐτοῦ διάταξις ἕκτη.

## Περὶ ὁπλίσεων καβαλλαρικῶν τε καὶ πεζικῶν :

Δεῖ τοίνυν ὁπλίζειν τοὺς στρατιώτας, διὰ τῶν ἰδίων ἀρχόντων κατὰ τὸν τῆς ἀπραξίας καιρόν. εἴτε παρὰ δημοσίου, εἴτε φροντίζειν παρασκευάζεσθαι τὰ πρὸς ἀνάγκην χρείας τοὺς στρατιώτας. καὶ ἔχειν ἅπαντας ἀναλόγως ἁρμόζοντα τε καὶ ἁρμοζομένους πρὸς τὴν ἑκάστου ποσότητά τε καὶ δύναμιν. καὶ μάλιστα τοὺς ἄρχοντας αὐτῶν ἀπό τε τουρμάρχου, καὶ μέχρι κεντάρχου καὶ τετράρχου καὶ πεντάρχου(?) καὶ ... ρεύοντας(?) αὐτῶν καὶ τὴν ὑπόστασιν προέλευσιν. ἔχειν δὲ ἕκαστον ἄνδρα ὅπλισιν τοιαύτην, ζάβας ἤτοι λωρίκια μέχρι τοῦ ἀστραγάλου ἀνασυρομένας διὰ λωρίων καὶ κρικελλίων μετὰ τῶν θηκαρίων αὐτῶν. ἔχειν δὲ καὶ κασσίδας σιδηρᾶς καὶ λαμπράς, ἐχούσας ἄνωθεν εἰς τὰς κορυφὰς τουφία μικρά. τοξάρια δὲ ἕκαστον κατὰ τὴν ἰδίαν ἰσχύν, καὶ οὐχ ὑπὲρ αὐτήν. μᾶλλον δὲ καὶ ἀπαλώτερα, ἔχοντα θηκάρια πλατέα, ἵνα ἐν καιρῷ δύνανται καὶ τεταμένα χωρεῖν τὰ τοξάρια αὐτῶν. ἔχειν δὲ καὶ κόρδας ἐν περισσοῦ ἐν τοῖς πουγγίοις αὐτῶν. καὶ κούκουρα μετὰ σαγιττῶν καὶ σκεπασμάτων αὐτῶν ... χωροῦντα ἀπὸ λ' ἢ μ' σαγίττας. ἐν δὲ τοῖς τοξείοις σμιλία καὶ βελόνια(?). ἔχειν δὲ καὶ κοντάρια μικρὰ καβαλλαρικὰ ἔχοντα λουρία κατὰ μέσον καὶ φλαμούλια(?). ἔχειν δὲ καὶ σπαθία ἀποκρεμάμενα διὰ ὤμων αὐτῶν κατὰ τὴν ῥωμαϊκὴν τάξιν. καὶ ἕτερα παραμήρια ἤτοι μαχαίρας διεζωσμένους. ὅσοι δὲ μὴ οἴδασιν τοξεύειν νεώτεροι, ἔχειν αὐτοὺς κοντάρια καὶ σκουτάρια(?) ... εἰ δὲ καὶ χειρομάνικα σιδηρᾶ ἀλλὰ τέλεια χειρόψελλα κλίβανα(?) λίαν χρήσιμον. ἔχειν δὲ καὶ μικρὰ καρφία(?) καὶ τὰ λωρία τῶν ὀπισθελινῶν(?) τῶν ἵππων. καὶ φλαμούλια μικρὰ διὰ τὸ κάλλος κατὰ τὴν νόμιμον. ὅσον γὰρ ἐστὶν εὔσχημος ἐν τῇ ὁπλίσει αὐτοῦ ὁ στρατιώτης, τοσοῦτον καὶ αὐτῷ προθυμία πρὸς γίνεται καὶ τοῖς ἐχθροῖς δειλία :

γρ(?). ἀν αὐτοῖς

Εἰ δυνατὸν δὲ καὶ θώρακας ἔχειν, ἅπερ λέγονται νῦν κλιβάνια, καὶ αὐτὰ στιλπνὰ καὶ λαμπρὰ καὶ περικνημῖδας, ἅπερ λέγονται νῦν ποδόψελλα.

καὶ πλευριστῆρας, ὁμοίως. ἔχειν δὲ καὶ ἐπιλώρικα, ὀλεγέα ἐπενδυόμενα :

Πάντας τοὺς νεωτέρους ῥωμαίους ἄχρι μ' ἐτῶν ἀναγκάζεσθαι, εἴτε κατὰ λό-
γον οἴδασι τοξεύειν, εἴτε μετρίως, τὸ πάντως τοξοφάρετρα φορεῖν. ἐπεὶ γὰρ
τῆς τοξείας παντελῶς ἀμεληθείσης τοῖς ῥωμαίοις, τὰ πολλὰ νῦν εἴωθε σφάλ-
ματα γίνεσθαι :

Ἔχειν δὲ καὶ κοντάρια δύο, ἵνα τοῦ ἑνὸς ὡς εἰκὸς ἀστοχοῦντος ἔχῃ τ' ἄλλο εἰς χρῆ-
σιν. τοὺς δὲ ἀπειροτέρους ἀπαλώτερα ἔχειν τοξάρια, κἂν οὐκ οἴδασι τοξεύειν
τῷ χρόνῳ ἐπιτηδεύοντες μαθεῖν. ὅτι τῶν ἀναγκαίων ἐστίν :

Εἰ δυνατὸν καὶ ἀκόντια ἢ τὰ εἰκλάσια ἔχει ἕως δύο, ἵνα ἐν καιρῷ καὶ ἀκοντί-
σῃ, ἑτέρως ἔχειν τὸ ἄλλο κατὰ τῶν πολεμίων. καὶ τοὺς ἱππέας τελεκάλλη-
λως ὁπλήσεις :

Τοὺς δὲ ἵππους καὶ μάλιστα τῶν ἀρχόντων καὶ τῶν λοιπῶν ἐπιλέκτων, περιμετώ-
πια ἔχειν καὶ στηθάρια, ἢ σιδηρᾶ ἢ ἀπὸ κενδούκλων. οἷον νεύρινα. καὶ σκέπε-
σθαι τὰ στήθη καὶ τοὺς τραχήλους αὐτῶν. εἰ δυνατὸν καὶ τὰς κοιλίας διὰ μι-
κρῶν ἀποκρεμασομάτων ἀπὸ τῶν λεγομένων ἀφιέστρων τὰς σέλλας. μετὰ λό-
γου γὰρ ταῦτα κινδύνων πολλάκις τοὺς ἵππους διασώζουσι. καὶ διὰ αὐτῶν
τοὺς ἐπ' αὐτῶν ὀχουμένους. ταῦτα δὲ ἔχειν καὶ μάλιστα τοὺς πρωτοστατουμέ-
νους ἐν τῇ μάχῃ :

Καὶ αἱ σέλλαι δὲ ἐχέτωσαν ἐπισέλλια δασέα καὶ μεγάλα, καὶ τὰ χαλινάρια
αὐτῶν ἐπιτήδεια ἔστωσαν καὶ ἰσχυρά :

Εἰ δὲ τὰς σέλλας τὰς δύο σκάλας σιδηρᾶς καὶ λωρόσακον καὶ πέδικλον.
καὶ σελλοπούγγιν. ἐν ᾧ καιροῦ καλοῦντος δυνατόν ἐστι καὶ τριῶν ἢ τεσσάρων
ἡμερῶν δαπάνην χωρεῖσθαι. καὶ τούφια δὲ εἰς τὰς ὀπισθήνας τέσσαρα, καὶ
κορυφάδιν τοῦ ἵππου τοῦ καὶ ὑπογένειον ὁμοίως :

Πάντως δὲ ἔχειν δεῖ τὸν καβαλλάριον ἑαυτῷ τζικούριον δίστομον. τὸ ἓν στόμα τά-
ξιν σπαθίου ἐπιμήκες. καὶ τὸ ἕτερον τάξιν ξίφους κονταρίου μακροῦ τε
ὀξὺ ἀποκρεμάμενον τῷ θηκαρίου δερματίνου ἐν τῇ σέλλᾳ :

Τὰ δὲ ἱμάτια τῶν στρατιωτῶν, εἴτε λινάτζια, ἢ αἰγείου, ἢ ἑτέρας ὕλης, πλατέα δὲ
εἶναι ἵνα ἐν τῷ καβαλλικεύειν μὴ ἐμποδίζονται. ἀλλὰ σκέπονται διὰ τούτων τὰ
γόνατα αὐτῶν καὶ εὐσχήμοι φαίνονται :

Χρὴ δὲ κενδούκλα ἔχειν πλατέα πάνυ, ἔχοντα μανίκια πλατέα, ἵνα ἐν τῷ ὁ-
πλισθῆναι αὐτοὺς καὶ φορεῖν τὰς ζώνας καὶ τὰ τοξάρια, ἐὰν ὡς εἰκὸς συμβῇ

, βροχὴν γίνεσθαι, ἢ ὑετοῦ ἢ τὸν ἀέρα ἐκ τῆς δρόσου. φοροῦντες αὐτὰ ἐπά-
νω τῶν ζαβῶν καὶ τῶν τοξαρίων, φυλάττουσι τὰ ἅρματα αὐτῶν καὶ οὐκ ἐμποδί-
ζονται. ἤτε τοῖς τοξαρίοις, ἤτε τοῖς κονταρίοις αὐτῶν βουληθῶσι χρήσασθαι.
Ἔστι δὲ καὶ ἄλλως πως ἀναγκαῖα τὰ κέντουκλα ἐν ταῖς σκούλκαις, ἴσως
ταῖς στίλβαις οὐ διαφαίνονται γὰρ μακρόθεν τοῖς πολεμίοις αἱ ζάβαι ἐπ' αὐ-
τῶν σκεπόμεναι. ἀντέχουσι δὲ καὶ πρὸς τὰς βολὰς τῶν σαγιττῶν:

Προστάσσομεν δὲ καθ' ἕκαστον κονδουβέρνιον καὶ δρέπανα καὶ ἀξίνας ἔχειν αὐτούς,
διὰ τὸ ἀναγκαῖον τῆς χρείας:

Τοὺς δὲ τῶν ταγμάτων ἄρχοντας ἢ στρατιώτας, καὶ τῶν δεκανικῶν βάνδων τοὺς
δυνατωτέρους ἀναγκάζεσθαι ἔχειν, παῖδας ἑαυτοῖς ἐπιτηδείους δούλους ἢ ἐλευθέ-
ρους. καὶ ἐν τῷ καιρῷ τῆς τε ῥόγας καὶ τοῦ ἀδνουμίου καὶ τοὺς παῖδας αὐτῶν
καὶ τὰ ἅρματα ἀπογράφεσθαι, καὶ κατατίθεσθαι, ἵνα μὴ περιφρονῶνται. παλ-
λίκων τῶν δουλευόντων ἐν καιρῷ πολέμου ἀναγκάζονται ἐξ αὐτῶν τῶν στρα-
τιωτῶν ἀφορίζεσθαι εἰς τὸν τοῦλδον, καὶ ὀλίγοι γίνονται οἱ κοπιῶντες ἐν τῇ
μάχῃ:

ἴς
ισ
πάροικον

Εἰ δέ τινες ὡς εἰκὸς μὴ εὐποροῦσι κτᾶσθαι παῖδας, ἀναγκαῖον ἐστὶ δὲ τοὺς κα-
τωτέρους στρατιώτας τρεῖς ἢ τέσσαρες ἕνα παῖδα τὸν ὑπηρετεῖν αὐτοῖς μέλλοντα
ἐπινοεῖν:

Τὸν ὅμοιον δὲ τρόπον ποιεῖν καὶ εἰς τὰ σαγμάρια, εὔθετα κατὰ ἀναγκαῖον διὰ τὰς
ζάβας καὶ τὰς τέντας αὐτῶν:

Προστάσσομεν δὲ καὶ τὰς κεφαλὰς τῶν βάνδων ἑκάστου τάγματος ὁμοχρόους γίνεσθαι.
καὶ τὰ φλάμουλα ἑκάστης τούρμας ἢ δρούγγου ἰδιόχροα εἶναι:

Ἵνα δὲ καὶ τὸ καθ' ἕκαστον τάγμα εὐκόλως ἐπιγινώσκῃ τὸ ἴδιον βάνδον. δεῖ
ἕτερα ἴδια καὶ σημεῖα περιτιθέναι τὰς κεφαλὰς τῶν βάνδων. γινώσκεσθαι αὐτὰ
καὶ κατὰ τὰς τούρμας καὶ κατὰ τοὺς δρούγγους, καὶ κατὰ τὰς βάνδας:

Πάντως δὲ τὰς τῶν τουρμαρχῶν ἐνηλλαγμένα δεῖ εἶναι καὶ πρόδηλα, ἵνα ἐκ
πολλοῦ διαστήματος ἐπιγινώσκωνται τοῖς ὑπ' αὐτοὺς τεταγμένοις:

Κελεύομεν δέ σοι ὦ στρατηγέ, καὶ μάλιστα τοξάρια καὶ σαγίττας ἵνα τοῖς ὡς εἰκὸς
ἀστοχοῦσιν ὅπλοις ἐξ αὐτῶν ἀντιτάττω:

Ἔξωθεν τῶν βοΐνων θηκαρίων τῶν ζαβῶν ἔχειν τοὺς στρατιώτας ἀπὸ δερμάτων θη-
κάρια ἐλαφρὰ ὅπως ᾖ καὶ ἐν καιρῷ πολέμου, ἢ ἐν καιρῷ κούρσου ὄπισθεν τῶν
ὀπισθοκουρβίων κατὰ τὰς ψύας τῶν ἵππων βαστάζοντα. καὶ ἂν συμβῇ ὡς πολλά

κις ὁμιλήσωσι, ὥστε τῆς γενομένης πρὸς μίαν ἡμέραν ἀφανεῖς γενέσθαι τοὺς
τὴν παρασκευὴν ἔχοντας, μηδὲ τοσοῦτον γυμναὶ αἰτεῖσθαι καὶ φθείρονται· εἶτα καὶ σκέ-
πουσι τοὺς στρατιώτας ἀναγκαίως ἐπιχειρῆσαι αὖθις :-

Οὐ τοῦτο δὲ παραγγέλλομεν ἐν τῇ διατάξει ἵνα οἱ ἄρχοντες ἑκάστου τάγματος δια-
γνώσεις ποιῶσιν ἐν καιρῷ, ὥστε ἐὰν μὴ ἀπορῶσιν οἱ στρατιῶται ἢ τὴν χώραν
ἀγοράζειν τὰ ἐπιτήδεια, φανερὸν γενέσθαι τὸ ἐνδέον καὶ ποίου εἴδους,
ἢ ποίου ἅρματος δέονται τῶν στρατιωτῶν ἕκαστος· ἵνα παρασκευάσῃς τοὺς στρατιώ-
τας ταῦτα ἐν τῷ δέοντι καιρῷ δι' ἐπιτρέψεσθαι πρὸς ἀγορασίαν αὖθις ἀπὸ πραγμα-
τευτῶν τινῶν. μήποτε οἱ στρατιῶται ἀναγκαῖον εἶδος καὶ ὅπλον τοῦ ὅλου τύχοι ὥστε
ἐνδεούμενοι ἀπορῶσιν. ἐπεὶ οὖν τοὺς καβαλλαρίους στρατιώτας ἐξωπλίσαμεν, ἐξῆς
ἐροῦμεν καὶ ὅπως χρὴ καὶ τῶν πεζῇ μαχομένων στρατιωτῶν τὴν ὅπλι-
σιν ποιεῖσθαι :-

Τῆς πεζικῆς τοίνυν τῶν στρατιωτῶν τάξεως, πάλαι τε εἰς τρία διῃρημένοις παρὰ τοῖς
ἀρχαίοις τακτικοῖς· οἷον εἰς ὁπλίτας· οὓς οἱ νεώτεροι σκουτάτους ἐκάλεσαν·
εἰς ψιλοὺς οὓς νῦν ψιλοὺς· τοὺς αὐτοὺς καλοῦσιν ὀνόματι καὶ εἰς πελταστάς· τῶν οἱ
καθ' ἡμᾶς οὐ γινώσκουσι τὴν κλῆσιν· διηρημένοις δὲ τοῖς ψιλοῖς αὐτοὺς συντά-
ξαντες δεομένας τάξεις πεζικοῦ συντιθέναι στρατοῦ· ὁπλίτας τε καὶ ψι-
λούς. περὶ τούτων οὖν ἡμεῖς διαλαβόντες τῶν τάξεων διορισόμεθα :-

Ὁπλίσαι τε χρὴ τῶν πεζῶν σκουτάτων τὸν πάλαι καλούμενον ὁπλίτην. ὥστε ἔ-
χειν σπαθίν, σκουτάριν, κοντάριν· ὅπερ τῇ ἑλληνικῇ ὁπλισμὸς μετὰ δόρα-
τος καὶ θυρεὸς, πάντες δὲ στρογγύλον. τὰ δὲ σκουτάρια ὁμόχροα πάντων.
ἢ κατὰ ἀριθμῶν, ἢ κατὰ τάγμα. ἔχειν δὲ καὶ κασίδας ἔχουσας ἄνωθεν τουφία
μικρά, σφενδόβολα, τζικούρια δίστομα. τὸ μὲν ἓν στόμα εἰς σπαθίν, τὸ δὲ ἕτε-
ρον ὡς κονταρίου ξίφος, ἀναβασταζόμενα ἐν θηκαρίοις δερματίνοις. ἢ τζι-
κούρια ἕτερα ἔχοντα τὸ μὲν στόμα κόπτον, τὸ δὲ ἕτερον στρογγύλον. ἢ ἕτερα τζι-
κούρια δίστομα τάξιν πηκτόν. τοὺς δὲ ἐπιλέκτους τάξεως ἔχειν ζάβας, ἢ
λωρίκια. εἰ τε δυνατὸν ὅλους, εἰ δὲ μή. καὶ τοὺς πρώτους τῶν ἀκιῶν.
τοὺς δὲ ἄλλους τὰς ζάβας φλαμουλίσκια μικρά, ἔχειν δὲ καὶ χειρομάνικα τὰ
λεγόμενα μανικέλια, καὶ χειρόψελλα σιδηρᾶ ἢ ξύλινα. καὶ περικνημίδας
ὁμοίως ἀλλ' ἔτι καὶ ποδόψελλα. ἢ χαλκόβουλα μάλιστα τοῖς ἐν ταῖς κεφαλαῖς καὶ
οὐραῖς τῶν ἀκιῶν τεταγμένους. καὶ τοὺς σκουτάτους οὕτως ὁπλίσαι εὖ ἔχει.
τοὺς δὲ λεγομένους ψιλοὺς ἀναβασταζόμενα, ἔχοντα κούκουρα μεγάλα χω

ροῦντα ἀνὰ λ' ἢ μ'. τόξον φαρέτραν ἐπὶ τοῦ νώτου ἀναβασταζόμενα ἔχοντα
κούκουρα μεγάλα χωροῦντα ἀνὰ λ' ἢ μ' σαΐτας. τζινάρια ξύλινα μετὰ σι-
δηρῶν σαϊτῶν κουκούρων μικρῶν· ἅπερ καὶ ἐπιπόδια διάστημα εἰς πλοῦτον διά-
δων τεχνείων, καὶ τοῖς ἐχθροῖς ἄγνωστα ὄντα. σιμίτας, ἀλλ' εἴτε μακάρια τοὺς
ἀπήρως πρὸς τὴν δεξιὰν ἔχοντας, ἢ καὶ λοιπομένους ὡς ἑκὸς τόξου. ἔχειν δὲ
καὶ σκουτάρια μικρὰ στρογγυλά, σφενδόβολα καὶ τζιμούκια. ὅπλα τὰ εἰρη-
μένα ἀναβασταζόμενα καὶ αὐτὰ εἰς τὰ καπέλα δερμάτινα. τὰ δ' ἱμάτια τῶν
πεζῶν ἁπάντων ἔστωσαν κοντὰ μέχρι τῶν γονάτων αὐτῶν, ἐὰν δυνατὸν αὐτοὺς
ἔχειν ἐπιλεύκινα. τὰ δ' ὑποδήματα αὐτῶν μὴ ἔχειν ὀξὺ ἔμπροσθεν. ἀναγκαῖ-
ον δὲ καὶ ὀλίγοις μικροῖς ἥλοις καθηλοῦσθαι αὐτὰ ἤγουν καρφίοις. πρὸς
πλείονα ὑπουργίαν χρήσιμα γὰρ ταῦτα καὶ ἐν ταῖς ὁδοιπορίαις μάλιστα.
καὶ τὰς κουρὰς δὲ αὐτῶν κοντὰς γίνεσθαι. καὶ ἀφεῖναι αὐτοῖς τὰς τρίχας ἀξι-
σιμόν ἐστιν:

Ἀκολουθεῖ τοὺς πεζοὺς στρατιώτας ἐνδύσεις καὶ περιφράξεις διόπλων. πρὸς
δὲ τὴν ὑπηρεσίαν αὐτῶν καὶ φυλακήν, ἁμάξας παρασκευάσεις εὐσταθεῖς, ἤγουν
τάφρας καὶ γερίας κατὰ δεκαρχίαν ἢ τοι κοντουβέρνιν, μία καὶ μὴ πλέον.
ἵνα μὴ πολλοὶ εἰς αὐτὰ ἀσχολούμενοι ἀργῶσιν:

Ἔχειν δ' ἑκάστην τῶν ἁμαξῶν χειρομύλιν, ἀξίνην, πρίονιν, σκέπαρνον, πτυό-
νιν, ὀρύγιον δύο, σφύραν, πτυάρια δύο, κοφίν, κιλίκια, φαλκία, τζικού-
ρια, σαρδούκια, ματζούκια, ἴσως καὶ ἄλλων χρειώδη γένηται τοῖς στρατιώταις.
τριβόλους ἀναδεδεμένους διὰ λεπτῶν σφηκωμάτων, καὶ ἐν ἥλῳ σιδηρῷ ἀπο-
κρατουμένας διὰ τὸ εὐδιάλυτον (ἀναλαμβάνεσθαι) αὐτάς. ἑτέρας ἁμάξας ἐχούσας τὰ
τοξοβολίστρας καὶ σαΐτας αὐτῶν, καὶ βαλίστρας ἤτοι μαγγανικὰ τὰ λεγόμενα ἀγα-
κάλια, στρεφομένας κύκλωθεν καὶ μαγγανικὰ σιδηροῦς λεπτοὺς χαμηλούς, καὶ
τούτους ἰδίου ἄρχοντα ἐπιστάτην:

Ἑτέρας ἁμάξας φερούσας τὰ ἄρματα τῶν ἑκάστου ἀριθμοῦ τῶν στρατιωτῶν. ἑ-
τέρας ἁμάξας ὡς δέκα καὶ εἴκοσι βασταζούσας πίτυ καὶ παξαμάδια. καὶ σαγίτας τε
τὰ ξάρια ἐκ πετρωτοῦ:

Ἵππους σαγματαρίους ἢ ὑποζύγια, ἢ ἐκ δύο ἐνδέχεται καθ' ἕκαστον κοντουβέρνιον
ἕνα. ἢ δὲ μετὰ εἰς τὰ δύο κοντουβέρνια ἕνα ἵνα ἐπιτηδεύῃ καιρὸς χωρισθῆ-
ναι τοὺς πεζοὺς ἐκ τῶν ἁμαξῶν, καὶ προκαταλαβεῖν τόπον. βαστάζειν ὀκτὼ ἢ
δέκα ἡμερῶν δαπάνην, καὶ ἀκολουθεῖν μέχρις οὗ ἐπιφθάσωσιν αἱ ἅμαξαι

ἀρξόμενοι πειρασόμεθα:

Οὐκ ἄχρηστον δὲ εἶναι δοκεῖ συντόμως εἰπεῖν, καὶ τὸ μικρὸν καὶ τὰς ἀρχαίας ὁπλίσεις τῶν πεζῶν καὶ τῶν καβαλλαρίων, καθὼς ἐγίνοντο καὶ οἱ λοιποὶ τῶν ἐθνικῶν στρατῶν ἐπιτηδεύουσι. παρὰ γὰρ τοῖς ἀρχαίοις τὴν μὲν ἱππικὴν τάξιν δύο διαφορὰς ὁπλίσεων ἐποίουν οἱ στρατηγοί. μίαν μὲν τὴν κατάφρακτον λεγομένην, καὶ τὴν ἑτέραν οὐ κατάφρακτον:

Ὁπλίζουσι δὲ τοὺς μὲν καταφράκτους καβαλλαρίους, πανταχόθεν αὐτούς τε καὶ τοὺς ἵππους αὐτῶν. καὶ τοὺς μὲν ἄνδρας λωρικίοις καὶ κλιβανίοις, ἢ σιδηροῖς, ἢ ἐκ κεράτων συμπεπλεγμένοις καὶ περικνημίοις. τοὺς δὲ ἵππους κατεφράκτουν περὶ πλευριδίοις καὶ προμετωπιδίοις, ἤγουν τὰ πλευρὰ καὶ τὰς κεφαλὰς καὶ τοὺς τραχήλους τῶν ἵππων διὰ κλιβανίων, ἢ λωρικίων, ἢ ἄλλως κατεσκέπουν:

Τούτων δὲ πάντων τῶν τε καταφράκτων καβαλλαρίων, καὶ τῶν μὴ καταφράκτων. οἱ μὲν εἶχον κοντάρια, οἱ δὲ τὰ λεγόμενα μέναυλα ἅπερ οἱ ἀρχαῖοι λόγχας ἐκάλουν. οἵτινες καὶ κατάφρακτοι οὗτοι χεῖρας συνεπλέκοντο τοῖς πολεμίοις. οἱ δὲ μακρόθεν ἢ τὸν ἀκοντίζοντες οὓς καὶ ἔλεγον ἀκροβολιστάς. τῶν τὰ κοντάρια ἢ τὰς λόγχας ἐχόντων, οἱ μὲν ὡς εἴρηται ἤδη οἱ τοῖς πολεμίοις συμπλεκόμενοι, καὶ πλησίον διὰ τῶν δοράτων ἤτοι τῶν κονταρίων μαχόμενοι. τούτων δὲ τῶν συμπλεκομένων τῇ μάχῃ, οἱ μὲν θυρεοὺς εἶχον, ἤτοι σκουτάρια ἐπιμήκη μεγάλα. οἱ δὲ χωρὶς τῶν θυρεῶν μόνοις κονταρίοις ἐμάχοντο. καὶ οἱ μὲν ἐκαλοῦντο θυρεοφόροι, οἱ δὲ ἰδίως δορατοφόροι. δόρυ γὰρ τὸ κοντάριον ἔλεγον:

Ἀκροβολιστὰς δὲ τῶν καβαλλαρίων ἐκάλουν, ἤγουν τοὺς μακρόθεν βάλλοντάς τε καὶ μαχομένους. τούτων δὲ οἱ μὲν δορατίοις, ἤγουν εἰκλαρίοις ἐκέχρηντο. οἱ δὲ τόξοις. καὶ οἱ μὲν αὐτῶν μακρόθεν ἔρριπτον τὰ εἰκλάρια, ἢ ἐπανερχόμενοι, ἢ κύκλῳ περιτρέχοντες οὓς ἐκάλουν ἱπποακοντιστάς. οἱ δὲ τοῖς τόξοις ἔβαλλον, οὓς ἔλεγον ἱπποτοξότας. τινὲς δὲ αὖθις ἐλαφροῖς κονταρίοις ἐχρῶντο, καὶ μίαν ἢ δευτέραν ἀκοντίσαντες τέλος ποτὲ συνεπλέκοντο τοῖς πολεμίοις, ἢ τοῖς δορατίοις οἷς εἶχον ὑπολειπομένοις, ἤγουν τοῖς ἐλαφροῖς κονταρίοις ἢ τοῖς σπαθίοις αὐτῶν διαχρώμενοι, καὶ τούτους ἐκάλουν ἐλαφρούς. τινὲς δὲ αὐτῶν διαχρώμενοι καὶ πελέκεις μικροὺς ἔφερον πανταχόθεν ἐχούσας ἀκμὰς ὀξείας ὡς ὀδόντας ἠκονημένας. καὶ τὴν καβαλλαρικὴν τάξιν οὕτως ὥπλιζον οἱ παλαιοί, ὅσον ἐν ἐπιτόμῳ εἰπεῖν:

Τὴν δὲ πεζικὴν παρὰ τῶν ἀρχαίων τάξιν οὕτως εὕρομεν. εἶχεν μὲν γὰρ αὐτῆς

διασκευάζουσι τὴν ὅπλισιν, ὡς ἀνωτέρω εἴρηται ἡμῖν. καὶ τὴν μὲν ἐκάλεσαν ὁπλίτας, τὴν δὲ πελταστάς, τὴν δὲ ψιλούς. καὶ τὴν μὲν τῶν λεγομένων ὁπλιτῶν βαρυτάτην παρὰ πάντας τοὺς πεζοὺς ποιοῦσι κατὰ τὸν μακεδονικὸν τρόπον, ἤγουν καθὼς Ἀλέξανδρος ὁ τῶν Μακεδόνων ἐξηγεῖται:

Καὶ γὰρ σκουτάρια ποιοῦσιν αὐτοῖς στρογγύλα παραπολὺ μεγάλα, ἀντὶ τῶν θυρεούς. καὶ μαχαίρας ἤγουν τὰ [illegible], καὶ θώρακας καὶ κράνη ἤγουν λωρίκια καὶ κλιβάνια καὶ κασσίδας, καὶ μανικέλλια καὶ τζαγγόβουβα. ἅπερ οἱ παλαιοὶ κνημῖδας ἐκάλουν, καὶ κοντάρια μακρότερα. τοὺς μὲν ὁπλίτας λεγομένους οὕτως ὥπλιζον:

Τοὺς δὲ ψιλοὺς πάντων ἐλαφροτάτῃ ὥπλιζον τῇ παρασκευῇ. οὐ γὰρ θώρακας ἤγουν κλιβάνια, ἢ λωρίκια. οὔτε προκνημῖδας, ἤγουν ποδόψελλα, ἢ τζαγγόβουβα. οὐκ θυρεοὺς ἢ ἀσπίδας βαρείας, ἤγουν τὰ μεγάλα σκουτάρια. ἀλλὰ διὰ τῶν μακρόθεν βαλλομένων ὅπλων ἐμάχοντο. οἷον οἱ τοξεύοντες ἢ ἀκόντια ἐκπέμποντες, ἢ λίθους βάλλοντες. τοὺς μὲν διὰ χειρός, τοὺς δὲ διὰ σφενδόνης. στοχὰς δὲ εἶχον στρέας καὶ πηκτὰς ἀντὶ λωρικίων, καὶ κλιβανίων καὶ τῶν ἄλλων:

Τὸ δὲ τῶν πελταστῶν λεγομένων εἶδος, ὅπερ οἱ νεώτεροι τῶν τακτικῶν οὐκ ἐσπούδασαν. οἱ μὲν δὲ ὡς ἄπωθεν εἴρηται τοῖς ψιλοῖς αὐτοὺς συμμίξαντες. καὶ αὐτοὶ τὴν εἶχον ὅπλισιν. ἐλαφροτέραν δὲ τῶν ἄλλων. εἶχε γὰρ πέλτην, ὅ ἐστι σκουτάριον μικρόν, καὶ τὰ δόρατα αὐτῶν ἤγουν τὰ κοντάρια πολὺ τῶν λεγομένων σαρισῶν παρὰ τοῖς παλαιοῖς κοντότερα. αἱ δὲ σάρισαι ἦσαν κοντάρια μακρὰ ἕως πηχῶν ιδ, καὶ ἄχρι πηχῶν ις. τὰ δὲ ἦσαν τῆς μακεδονικῆς μάλιστα ὁπλίσεως. ἔοικε δὲ ἡ τῶν πελταστῶν ὅπλισις μέσην ἔχειν τάξιν, τῶν τε ψιλῶν καὶ τῶν ἰδίως λεγομένων ὁπλιτῶν. βαρυτέρα μὲν οὖσα τῶν ψιλῶν, ἐλαφροτέρα δὲ τῶν ὁπλιτῶν:

Ἐν δὲ τῷ κατὰ τοὺς ὁπλίτας, καὶ ἀσπὶς μακεδονικὴ χαλκῆ λίαν κοίλη ἤγουν σκουτάριον στρογγύλον μετὰ ἀπαλωτέραν ἔχων τὴν κοιλότητα. τὸ δὲ μέτρον αὐτῆς σπιθαμῶν η. καὶ δὲ καὶ κοντάριον οὐ μικρὸν πηχῶν η. τὸ δὲ μακρότατον, μέχρι τοῦ δύνασθαι ἄνδρα κρατοῦντα, κινεῖν αὐτὸ εὐκόλως:

Ἡ δὲ μακεδονικὴ φάλαγξ ἐκείνη, ἤγουν ἡ παράταξις ἔδοξε τοῖς πολεμίοις ἀνυπόστατος εἶναι διὰ τὴν ἐν ταῖς τάξεσι κατασκευήν. ἵστατο γὰρ ὁ ἀνὴρ ἐξωπλισμένος ἐν τῷ τοῦ ἀγῶνος τῆς συμβολῆς καιρῷ καταπυκνουμένης τῆς στρατιᾶς, ἐν τῇ ἑκάστου στάσει εἰς πήχεις δύο. κατέχων τὴν σάρισαν, ἤγουν

τὸ μακρὸν κοντάριον, ὥσπερ αὐτοῖς τινὲς ἔφασαν πηχῶν ιε΄. κατὰ δὲ τὴν ἀλήθει(αν)
πηχῶν ιδ΄. τούτων δὲ β΄ εἰς πήχεις, ἀφαιρεῖται τὸ μεταξὺ τῶν χειρῶν εἰς τὸν τύπτοντα.
οἱ δὲ λοιποὶ ι΄ πήχεις, εἰς τὸ ἔμπροσθεν ἐκτείνονται πρὸ τῶν σωμά-
των. τοσαῦτά σοι καὶ περὶ τῆς καθ' ἕνα ἄνδρα στρατιώτην ὁ-
πλίσεως, ἔκ τε τῶν παλαιῶν καὶ τῶν νεωτέρων τακτικῶν
ἀνηξάμενοι διελεξάμεθα καὶ διορι-
σάμεθα. ἵνα ἔχῃς αὐτῶν τὴν γνῶσιν
ἐκ λέξεως τῶν ἀρχαίων:

# Τοῦ αὐτοῦ πολεμικῶν παρασκευῶν διάταξις ζ. περὶ γυμνασίας καβαλλαρικῆς τε πεζικῆς:

Ἑξῆς δὲ καὶ περὶ τῆς αὐτῶν γυμνασίας περὶ τῶν πολεμικῶν ἀγώνων ὁ φιλοσόφως
γίνεσθαι, μετρίως τε καὶ ἐννόμως ὑπαγορεύομεν σοι ὦ στρατηγέ. ἵνα προπαρα-
σκευάζῃς αὐτοὺς ἐθίζεσθαι πρὸς τοὺς ἀληθεῖς κινδύνους διὰ τῶν ἐν γυμνα-
σίαις κινδύνων. ὁ γὰρ ἀγύμναστος παντελῶς ἀμαθὴς καὶ τυφλὸς πρὸς τὰς
ἀθρόας καὶ ἀπροσδοκήτους ἐγχειρίσεις εὑρίσκεται:

Τὰ γὰρ ἐν καιρῷ χειμῶνος ἢ ἐν ἑτέρῳ καιρῷ ἔστιν ἀνοχὴ πολέμου ἢ κινδύνου ἐπε-
λεύσεων ἢ πολεμικῆς ἀνέσεως. γυμνάζειν σε χρὴ τὰ στρατόπεδα καὶ ποιεῖν
τοὺς στρατιώτας πολεμικούς, καὶ ὥσπερ ἔξω τρόφους τῶν πόνων διὰ τῶν ἐθι-
σμῶν καὶ μὴ ἐάσῃς αὐτοὺς ἀργεῖν μήτε ῥαθυμεῖν. καὶ γὰρ ἡ ἀργία μαλα-
κὰ καὶ ἀσθενῆ ποιεῖ τὰ σώματα. ἡ δὲ ῥαθυμία δειλὰς καὶ ἄνδρας τὰς ψυ-
χὰς παρασκευάζει:

Αἱ γὰρ ἡδοναὶ τὸ καθ' ἡμέραν δελεάζουσαι, καὶ τὸν εὐτακτότατον διαφθεί-
ρουσι. καὶ ὅταν ἐπὶ μακρὸν χρόνον ἀναπαύονται, πάλιν ἐπὶ τοὺς πόνους ἥ-
κωσιν. οὔτε ἡδέως ἕξουσιν οὔτε ἐπὶ πολὺ καρτερήσουσιν, ἀλλ' εὐθέως
φεύγουσι πρὶν ἢ καὶ πεῖραν λαβεῖν τῶν πολεμικῶν πόνων. εἰ δὲ καὶ εἰς
πεῖραν ἐπὶ μακρὸν ἔλθωσιν ταχέως ἀποχωρίζονται, φέρειν τοὺς πόνους
καὶ κινδύνους οὐ δυνάμενοι. διό περ καὶ ἀγαθὸν ἐκεῖνον στρατηγὸν ὁ-
ρῶν τὰ χρήσιμα τούτοις σπουδάζει, καὶ διὰ τῶν καθ' ἔργα καὶ πράγματα ὅταν
οὐ καταλείπουσιν αἱ τῶν πολεμικῶν πόνων ἀνάγκαι. γύμναζε δὲ τοὺς στρατι-

τοῦ τοιούτοις τόποις καὶ ἐπιτηδεύμασι: —

Πρὸς τούτοις μὲν καὶ καθ' ἕνα στρατιώτην ὡς ἐν μελέτῃ. τοὺς μὲν ὁπλίτας σκουτάτους πεζούς, ἤγουν τοὺς φοροῦντας τὴν πανοπλίαν εἰς μονομαχίας διὰ σκουταρίων καὶ βεργίων ἀντ' ἀλλήλων: —

Καὶ τὴν φάλαγγα ἤγουν τὴν ὅλην παράταξιν, ὅταν ὡς εἴρηται ἐπὶ βάθος συστέλλεται. καὶ ὅταν ἐπὶ μῆκος ἐκτείνεται. καὶ τὴν λεγομένην ἀντίστομον ἤγουν δίστομον μάχην. ὅταν οἱ λεγόμενοι οὐραγοί, ἤτοι ὄπισθεν δι' ὅλων ἀκμεῖ ἐπιστρέψαντες πρὸς τοὺς κυκλοῦντας κατὰ πρόσωπον, μάχονται ὡς προστάσσεται. καὶ ὄπισθεν αὐτῶν ὁμοίως αὖθις ἀντιστρέψει τὸ ἥμισυ τῆς ἀκίας, καὶ πάλιν τὰς ἐκ τῶν τοιούτων μεταβολῶν ἀνακλήσεις καὶ ἀποκαταστάσεις: —

Οἱ γὰρ πρὸς ταῦτα πάντα ἐθιζόμενοι στρατιῶται, ἀταράχους ὡς εἰπεῖν καὶ αὐτομάτοι φέρονται πρὸς τὴν τάξιν. οἱ δὲ τούτων ἀνέθιστοι καὶ ἀπαίδευτοι διὰ ταράχου πολλοῦ, καὶ μόλις ἀποκαθίσταται εἰς τὰς καλεπτούσας τῆς τάξεως χώρας: —

Διαμερίσας δὲ τὰ στρατεύματα, πρὸς ἀλλήλους ἀσιδήρῳ μάχῃ συμβαλέτωσαν. ἤτοι διὰ κονταρίων ἄνευ ξιφῶν. ἢ σαγιττῶν ὁμοίως. ἢ ὡς ἔτυχεν ἀντὶ σπαθίων βεργίοις ἢ νάρθηξι. ἢ καλάμοις ἀντὶ κονταρίων ἀναδιδοῦσ. ἐὰν δὲ καὶ βόλους ἔχῃ τὴν γυμνασία τῆς συμβολῆς. ποτὲ δὲ καὶ τὰ λεγόμενα χαρζάνια ἢ τοιαῦτα ὅμοια ἐγκαταθέτωσαν ἐν τῇ μάχῃ: — ἄξας δὲ αὐτοὺς ἐς βουνοὺς καὶ βουνοὺς ὀρθίους, κέλευε συντόμως ἀναβαίνειν καὶ μεταλαμβάνειν αὐτούς. ἔχοντας δηλονότι τοὺς βουνοὺς ἐκείνους ἑτέρους στρατιώτας ἐφεστῶτας ἐπ' αὐτῶν: —

Καὶ ὅταν ἕνα τὸν στρατιώτην γυμνάσῃς, πάλιν ἐκείνους ἐκδυθέντας ἑτέροις ἐπιδώσῃς τὰ εἰρημένα ὅπλα. καὶ τοὺς μὲν νικῶντας καὶ ἀνδραγαθήσαντας ἐν τῇ γυμνασίᾳ ἐπαινέσῃς. τοὺς δὲ ἀφυεῖς ἡττῶντας καὶ ἀνάνδρους παραθήξεις καὶ παροξυνεῖς εἰς τὸ τὰ ἐλαττώματα αὐτῶν ἀνορθῶσαι: — ἐκ γὰρ τῆς τοιαύτης μελέτης καὶ γυμνασίας, οὐ μόνον ἐθίζεται πρὸς τοὺς πόνους τὸ στράτευμα, ἀλλὰ καὶ ἰσχύει, καὶ πᾶσαν τροφὴν ἡδέως ἐσθίει καὶ πίνει, καὶ λιπαίνεται ὑπὲρ τὰς πολυτελεῖς τροφάς. γίνεται δὲ αὐτῶν τὸ σῶμα καὶ στερρόν, καὶ συνεθίζεται τοῖς μέλλουσι πόνοις ἱδρῶτι καὶ δίψει καὶ καύματι ἀσπάζεσθαι χρυσοῖς καὶ χαίρουσι τὸ γυμναζόμενοι: —

Ὁμοίως δὲ γυμνάσεις καὶ τοὺς καβαλλαρίους εἴς τε αὐτὰς καὶ διώξεις ποιεῖν καὶ συμπλοκὰς καὶ ἀκροβολισμοὺς ἤγουν τοξεῦσαι, ἢ ἀκοντίσαι. καὶ

ὅ τα ἑξῆς σοι πλατύτερον δηλώσω:—

Ταῦτα δὲ ποιεῖν καὶ ἐν ἐπιπέδοις τόποις, καὶ περὶ αὐτὰς τὰς ῥίζας τῶν βουνῶν· ἐφόδους δὲ ἀναβαίνειν αὐτοὺς καὶ τῶν τραχέων ἐπίζειν τόπων:—

Καὶ τοῦτο τοῖς παλαιοῖς ἔδοξεν. ἐμοὶ δὲ δοκεῖ μὴ μόνον εἰς δρόμους ἐν τοῖς ὁμαλοῖς τόποις ἐθίζεσθαι τοὺς ἵππους ἀναγκαῖον εἶναι, ἀλλὰ καὶ ὑψηλοὺς καὶ δασεῖς καὶ τραχεῖς, ὥστε συνήθεια τούτους διαβαίνειν· ὁμοίως δὲ καὶ εἰς τὰ κατωφερῆ. ἐὰν γὰρ εἰς τὰ τοιαῦτα ἐθίζωνται, οὐκέτι οὔτε τοὺς ἄνδρας οὔτε τοὺς ἵππους ξενίζειν τόπος ἢ ἀδικεῖ:—

Ἀλλὰ καὶ ἐν τῷ καιρῷ τοῦ θέρους μὴ ἐπιτηδεύειν πυκνῶς τοὺς ἵππους ποτίζειν, διὸ οὐδὲ χρήσιμόν ἐστι πλησίον ποταμῶν ἀπληκεύειν:—

Καὶ παραλλάττεσθαι δὲ εἰς τόπους ξηροὺς καὶ δυσβάτους, καὶ ἐπιτρέπειν· ὡς ἔστιν ἐπὶ τὸ βάνδον καθὼς φθάσει ὁ τόπος ἑκάστῳ συνήθεια ἀνέρχεσθαι ὁμοίως δὲ κατέρχεσθαι:—

Ὅτι τινὲς φειδόμενοι τῶν ἵππων αὐτῶν περιφρονοῦσι τῆς τοιαύτης αὐτῶν γυμνασίας ἑαυτοῖς ἐπιβουλεύουσι:—

Ἐπὶ τούτοις δέον ἐστὶν εἰ καὶ μετρίως ὅμως κἂν ἐν ὀλίγοις ὑποδεῖξαι καθὼς προϋπεθέμεθα, πλατύτερον τὰς τῶν ἀρχόντων κινήσεις, καὶ τὰ λεγόμενα παραγγέλματα· ἵνα προγυμνάζῃς καὶ ἐν τούτοις τὸ στράτευμα, καὶ διεγείρῃς αὐτοὺς καὶ διαλογίζων καὶ διεγείρων τὰς πολεμικὰς μεθόδους. ἐν γὰρ τῇ γυμνασίᾳ τὸ καθ' ἕνα στρατιώτου πεζοῦ καὶ καβαλλαρίου δεῖ τε ἕκαστον τάγμα ἤτοι βάνδον γυμνάζειν καθ' ἑαυτὸ οὕτως:—

Τοῦ βάνδου τῶν καβαλλαρίων ἀπὸ τῶν λεγομένων ἀκιῶν, ἤτοι ὀρδίνων συνεστώτων καὶ συντεταγμένως ἱσταμένου παραγγέλλειν ὁμοῦ διὰ τὸ τὰ προστεταγμένα. οἷον ὅταν ἡ συμβολὴ γίνηται μηδεὶς ἀφήσῃ, μηδεὶς προλάβῃ, ἕως ἀκολουθεῖς τῷ ἐχθρῷ. ἐὰν μένῃς ἀπὸ τῆς μετώπου ὄψεως βλέπε τὸ βάνδον. δίωκε μὴ ὡς στρατιώτης δειλός, ἀλλ' ὡς στρατιώτης ἀνδρεῖος καὶ μὴ καταπαράκλησιν ἐάσῃς. μηδὲ ἄλλῳ τόπῳ. φύλαττε στρατιῶτα τὴν τάξιν σου. φύλαττε καὶ σὺ βανδοφόρε ὅταν καταπολεμήσῃς ἵνα ἀκολουθῇς τῷ ἐχθρῷ. εἰ δὲ μένῃς τὴν ὄψιν τῆς παρατάξεως, μὴ τάσῃς ἰσχυρῶς ἐν τῷ κατὰ μέτωπον ἵνα μὴ σκορπίσῃς τὴν σὴν τάξιν:—

Ἡ δὲ καθ' ἑαυτὸν τοῦ στρατεύματος γυμνασία τῶν καβαλλαρίων αὕτη, ὥστε κινεῖν συντεταγμένοι ὡς ἐν παρατάξει· ἤτοι δρόμου ἐπὶ τὸ σημεῖον τούτους ἴσα

σθαι. καὶ ὅταν θέλῃ κινῆσαι· ἐπαίρει δέον μόνῃ τῇ φωνῇ, ἢ τῷ βουκίνῳ, ἢ νεύματι φλαμούλου, καὶ οὕτω κινεῖν· ὅταν δὲ θέλῃ στῆναι σημαίνει τῇ φωνῇ στᾶ, ἢ τῷ ἤχῳ τοῦ σημείου ἤτοι τοῦ βάνδου ἣν λέγουσιν οἱ νῦν βούκινον, ἢ τῇ ταυρέᾳ καὶ αὕτη ἐστὶ μία κίνησις:

Ἑτέρα δὲ ὥστε ἴλα περιπατεῖν ἐν ἀραιότησι, πρὸς τοῖς διαστήμασι, καὶ παραγγέλλει ἐξ ἴσου περιπατεῖν:

Ἑτέρα δὲ ὥστε στοιχεῖσθαι κατὰ οὐράν· τὸ δὲ στοιχεῖσθαι ἐστὶ τὸ πυκνοῦσθαι· ἵνα καὶ κατὰ πλευρὰν καὶ κατὰ ὦμον ἀλλήλοις ἐπιζεῦξαι· παραγγέλλει δὲ κατὰ πλευρὰν στοιχεῖτε· τουτέστι, δεκάρχαι πρὸς δεκάρχας· πεντάρχαι πρὸς πεντάρχας· τετράρχαι πρὸς τετράρχας· καὶ στοιχοῦνται πάντες ὥστε ὀρθῇ πλευρᾷ πρὸς πλευρὰν ἐπιζεύξαντες· οὐχ ὄπισθεν ὥστε δὲ μέρους στοιχοῦνται, ἀλλ' ἐπὶ τοῦ μέσου : ὄπισθεν
τόπου τουτέστι δι' ἑκατέρου δορυφόρου ὥστε ἐκεῖθεν αὐτοῦ γίνεσθαι· ζυγοῦσι γὰρ ἐκ στενάκτως ἢ τραυλὴ(?) γίνεται στοῖξις, ὥσπερ οἱ δεκάρχαι ἰσοῦνται ἀλλήλοις κατὰ μέτωπον· οὕτως πρέπει καὶ τοὺς τετράρχας ἤγουν τοὺς οὐραγοὺς ἰσοῦσθαι τοὺς ὄπισθεν τοῦ ὀρθίου(?), αὐτῶν γὰρ κατὰ λόγον· κἂν χρειῶδες τύχωσι ἐν ταῖς συμβολαῖς, οἱ ἔμπροσθεν κωλύονται ὑπ' αὐτῶν εἰς τὰ ὀπίσω στρέφεσθαι:

Ἑτέρα δὲ ὅταν ζυγοστοιχοῦνται καὶ κατ' οὐράν· οὐ γὰρ μόνον τὸ πλάτος τῆς παρατάξεως στοιχεῖσθαι, ἀλλὰ καὶ τὸ πάχος αὐτῆς· πολλάκις ἀλλήλοις κατὰ τοὺς ὤμους ἐπιζεύγοντες:

Ἑτέρα δὲ κίνησις, ὥστε μετὰ ἀκριβοῦς πυκνώσεως τῆς κατὰ πλευρὰν μάλιστα στοίξεως περιπατεῖν πεπυκνωμένους ὅταν ἡ τάξις ἄρχεται γίνεσθαι καὶ παραγγέλλει πάραξον(?)· καὶ ἐπικλινομένων τῶν δεκάρχων καὶ πεντάρχων ἐπὶ τὰ ἔμπροσθεν, καὶ σκεπόντων τὰς ἑαυτῶν κεφαλὰς καὶ μέρος τοῦ τραχήλου τοῦ ἵππου μετὰ τῶν σκουταρίων αὐτῶν, καὶ κοντάρια ἀναβαστάζοντες ὑπὸ τοὺς ὤμους ὑποκρυπτομένων μετὰ τῶν σκουταρίων. ἐπειδὰν δὲ οὕτως τεταγμένῳ, ἤγουν κινεῖσθαι ζυγομέτρῳ(?) ... κάλπα(?)· καὶ μὴ βιαίως τρέχειν, ἵνα μὴ τῇ ὀξύτητι τῆς ἀταξίας διαλυθῇ ἡ τάξις· περιμίξεως χρεία(?) ὅπου ἐστὶν ἐπικίνδυνον τοῖς ὄπισθεν ὅτι τὸ ζωσθῆναι ἔσω τοξεύειν:

Ἑτέρα δὲ κίνησις ὥστε ἐπὶ διάκενον· ὅτε ἐστὶ ζωὴ ἡ ἀσία(?) ὡς κούρσορας, οὓς οἱ νῦν προκλάστας(?) λέγουσιν· ὅτε δὲ ζωτεταγμένως ὡς δεφένσορας, οὓς ἰδίως καλοῦσιν ἐκδίκους· καὶ εἰ μὲν ὡς κούρσορας ἐξῆ κινεῖν, παραγγέλλει δέχεσθαι ἴλα(?), καὶ ἕως ἑνὸς μιλίου ἀποκινοῦσι ζωὴ ἡ ἀσία(?)· ἐὰν δὲ ὡς

δεφένσωρας παραγγέλλει τῷ τάξεως ἀκολουθεῖν, καὶ ἀκολουθοῦσι συντεταγμένως :—

Ἑτέρα δὲ κίνησις ὥστε ὑποχωρεῖν ὀλίγον, καὶ πάλιν ἀντιστρέφεσθαι· καὶ ὅτε τελεσθῇ ὑποχωρεῖν ὁ κούρσωρ, κράζει ἔπιτε καὶ ὑποχωρεῖ συνήθως ὡς ἐν τῇ δευτέρᾳ ταλιβόλου ἐπὶ τοὺς δεφένσωρας. πάλιν κράζει στρέφου, καὶ ἀντιστρέφουσιν ἑαυτοὺς κατὰ τῶν ἐναντίων, καὶ τοῦτο ποιοῦν πολλάκις· καὶ μὴ μόνον ἐπὶ τὰ πρόσω, ἀλλὰ καὶ δεξιὰ καὶ ἀριστερά· καὶ πάλιν ἑαυτοὺς ἐπὶ τὴν δευτέραν τάξιν· καὶ ποτὲ μὲν ἐν αὐτῷ τῷ διαλείμματι ταύτης, ποτὲ ἐν τῷ μεταξὺ αὐτῆς ἐξισοῦσθαι· καὶ ἅμα δεφένσωρες ἤγουν ὁμοῦ ὁρμᾶν κατὰ τῶν ἐχθρῶν. ἐν δὲ ταῖς γυμνασίαις τὰ κοντάρια ἀναβασταζόμενα ἔχειν δεῖ, καὶ μὴ εἰς πλάγιον ἵνα μὴ οἱ ἵπποι συνήθως ἐμποδίζωνται) :—

Ἑτέρα δὲ κίνησις ὥστε μετατίθεσθαι συντεταγμένως ἀριστερὰ καὶ δεξιά, ὅπη ἁρμόζει πλαγιοφύλαξι καὶ ὑπερκερασταῖς· ἤγουν τοῖς ἐπὶ τὸ κυκλοῦν τὴν τῶν πολεμίων παράταξιν τεταγμένοις ἐπὶ τοῦ δεξιοῦ μέρους ὡς ὑπερκέρας καὶ παραγγέλλει· εἰ μὲν ἀριστερὰ διατίθεσθαι βούλεται, κατάφερε πρὸς τὰ ἀριστερά· εἰ δὲ δεξιὰ μετατίθεσθαι, κατάφερε πρὸς τὰ δεξιά, καὶ οὕτω μετατίθεσθαι. ἐὰν μὲν ἓν βάνδον ἐστὶ τὸ ἕν, εἰ δὲ πλείονα ὁμοίως τοῦ ἑνὸς μέρους μετατιθεμένου, καὶ τὰ λοιπὰ ὁμοίως :—

Ἑτέρα δὲ κίνησις, ὥστε μεταβάλλεσθαι ποτὲ μὲν ἐν οἷς ἵστανται τόποις· ποτὲ δὲ καὶ τὸ μέτωπον τῆς παρατάξεως ἀλλάσσοντες. ἐὰν μὲν γὰρ ἐφοδιασμός τις γένηται ὑπὸ ἐχθρῶν κατὰ νώτου, ἤγουν ὄπισθεν ἐπιφερομένων, παραγγέλλει μεταβάλεσον· καὶ ὡς ἵστανται ἐν τοῖς τόποις αὐτῶν ἐπὶ οὐρὰν μέτωπον ἐρχομένων. εἰ δὲ πλῆθος ἐχθρῶν ἐπιφανῇ ὄπισθεν, παραγγέλλειν μεταλλάξον. καὶ τότε μετατίθενται κατὰ βάνδον :—

: ἤγουν

Οὐ μόνον δὲ ἐπιμήκως ὁρμοῦσιν καὶ γυμνάζειν ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ δεφένσωρας τούτους γυμνάζειν καὶ ἐξελαύνειν ἐπ' εὐθείας καὶ κύκλους διαφόρους. πρῶτον μὲν διὰ τὰς ὑποχωρήσεις καὶ ἀντιστροφὰς ἐφοδίους τῶν ἐχθρῶν ἐφόδους, λοιπὸν δὲ διατελῶς τοῖς δεομένοις ἐπὶ βοήθειαν. εἰ γὰρ οὕτως αἱ καθόλου τὰ πράγματα, ἑκάστοτε ἔχουσι καὶ κούρσωρας ἤγουν προκλάσας ἢ προμάχους καὶ δεφένσορας, ἤγουν ἐκδίκους ἢ βοηθούς καὶ εἰς ἑκάστην τάξιν τάσσεσθαι :—

Καὶ τῆς τοιαύτης οὖν γυμνασίας κατορθουμένης εἰς τὰ πλείονα· εἰς μὲν ταῦτα

δὲ γινώσκειν τοὺς στρατιώτας, οὐ γὰρ δεῖ πάντα πουβλικίζεσθαι διὰ τὸ μὴ τοῖς ἐχθροῖς γινώσκεσθαι· διὰ ταῦτα ἐννέα κινήσεων πρὸς τὴν αὐτῶν χρείαν ἔθισμα γίνονται τὰ αὐτῶν τάγματα, καὶ τοὺς κούρσωρας, καὶ τοὺς πλαγιοφύλακας, καὶ τοὺς ὑπερκεραστάς· καὶ ὅσα ἕτερα γίνεται ἀφοσιωθῆναι τινὰς αὐτῶν, ἐν σχήματι πάσης τάξεως γινόμενα :–

Ἀναγκαῖον δὲ ἐστὶ λοιπὸν καὶ τὴν πρὸς ἄλληλα τῶν βάνδων συμφωνίαν καὶ τάξιν ἐπιτηδεύεσθαι ὡς ἐπὶ παρατάξεως· ἀλλ᾽ ἵνα ὡς εἴρηται μὴ φανερὰ γίνηται ἡ πᾶσα ἐν τάξει τοῖς ἐχθροῖς· οὐδέποτε γὰρ πρέπει πρὸ τῆς μάχης τὴν πᾶσαν τάξιν ἐν ᾧ ἅμα βούλεται εἰς πρώτην καὶ δευτέραν παράταξιν· διὰ γυμνασίου τάσσειν, ἢ πλαγιοφύλακας, ἢ τοὺς ὑπερκεραστὰς λεγομένους, ἢ τοὺς δεσουλτίς καὶ λανθάνοντας προσπίπτοντας, ἢ ἐνέδρους, ἢ ἴσως ἐγκείμενα· τὰ γὰρ τοιαῦτα στρατηγίας μᾶλλον καὶ ἐπιτηδεύματα εἶναι κατὰ τῶν ἐχθρῶν ἢ τάξεως, ἀπὸ προπουβλικίζεσθαι ἐν ταῖς γυμνασίαις οὐ συμφέρει· ἀλλὰ τὸ λεῖπον πρὸς τὸ παρὸν κατὰ τὴν ἀπαιτοῦσαν χρείαν ποιεῖν :–

Πρέπον οὖν· εἴτε καὶ πρὸ παρατάξεις πολλοῦ στρατοῦ ἐστιν, ἐν τοῖς μέρεσι τάσσειν τοὺς γυμναζομένους· καὶ εἰ μὲν τὸ βάνδον ἐστὶ τὸ καθ᾽ ἑαυτὸ γυμναζόμενον, τοὺς πλείους αὐτῶν ἐν τάξει κουρσόρων ποιεῖν· ἀπὸ δέκα δὲ καβαλλαρίων ἐπὶ ἁπλῆς ἀκίας ἔνθεν κἀκεῖθεν αὐτοὺς ἐμμετώπους τάσσειν, ἐν τάξει δεφενσόρων· ἄλλους δὲ ὀλίγους καβαλλαρίους ἄχρι δέκα τάσσειν δι᾽ ὄψεως ἐναντίους, ὥστε τὴν συμβολὴν πρὸς αὐτοὺς εἰκάζεσθαι :–

Αἱρουμένων δὲ αὐτῶν ὡς ἐπὶ μάχην ἐξέρχεσθαι σὺν τάξει τοὺς κούρσωρας, καὶ χωρίζεσθαι τῶν δεφενσόρων, καὶ τρέχοντας ἐπ᾽ εὐθὺ ὡς ἐν ἢ δεύτερον μίλιον ποτὲ μὲν εἰς τὰ δεξιά, ποτὲ δὲ εἰς τὰ ἀριστερὰ ἐκκλίνειν· οὕτως δὲ ποιεῖν καὶ τρέπειν καὶ ἐκτρέπειν· εἶτα πάλιν κυκλοειδῶς ἀναλύειν, καὶ μετὰ τοῦτο περιτρέχοντας ἐν τῷ μεταξὺ τόπῳ τῶν δεφενσόρων ὅθεν καὶ ἐξῆλθον μετὰ τοῦ ὡς ἐν τάξει δεφενσόρων ἀναλύειν, ὡς εἰς ἀπάντησιν τῶν καταδιωκόντων αὐτούς :–

Οὕτω δὲ ποιεῖν καὶ δεύτερον γυμναζομένου, καὶ τοὺς μὲν τῶν βάνδων αὐτοῦ τάσσειν κούρσωρας, τὰ δὲ δεφένσωρας· καὶ πάλιν ἐναλλάσσειν αὐτά, ὥστε τοὺς κούρσωρας δεφένσωρας ποιεῖν· καὶ τοὺς δεφένσωρας ὡς κούρσωρας· ὥστε πρὸς τὴν ἀκολουθοῦσαν χρείαν ἑτοίμους αὐτοὺς εἶναι :–

Ὁμοίως δὲ ποιεῖν καὶ τέρμας γυμναζομένους καὶ παρατάξεως πρώτης, καὶ τῆς παρατάξεως δευτέρας· ἐπισκεπτέον δὲ εἰς τὰς κυκλοειδεῖς τάξεις τῶν κουρσόρων

ὅπου διάφορα βάνδα διοικοῦνται· ὥστε εἰς δύο ἀρχὰς ταῦτα μερίζεσθαι καὶ ἐλαύνειν τὴν ἐναντίαν ἀλλήλων, καὶ ὑπαντᾶν τὰς ἀρχάς· τὴν μὲν μίαν ἔξωθεν, τὴν δὲ δευτέραν φεύγειν· ἵνα καὶ προσκρούσματα τῶν καβαλλαρίων γίνονται:

Δέον δὲ καὶ πλαγιοφύλακας, καὶ ὑπερκεραστάς, ἤγουν τοὺς κυκλωτὰς ἀπὸ τοῦ δεξιοῦ μέρους ποιοῦντας, τοὺς μετ' αὐτῶν δρουγγιστὶ ἤγουν πυκνοὺς καὶ ὅλως θελήματι πάντας γυμνάζειν, λανθανόντως δὲ διὰ τὴν ἀνωτέρω εἰπωμένην αἰτίαν:

Ὥστε εἰς τὰς μακροτέρας παρατάξεις τῶν ἐναντίων ἵνα ἰσῶνται, καὶ μὴ ἐμπεριλαμβάνωνται ὑπ' αὐτῶν. ἡ δὲ τῶν κουρσόρων εἰς τὰς κυκλώσεις ποιεῖσθαι ἀντιτασσομένων αὐτῶν ὀλίγων καβαλλαρίων ἀπὸ ἁπλῆς ἀκίας ἄχρι ἑνὸς ἢ δευτέρου βάνδου ὡς ἐναντίων· ἵνα πρὸς αὐτοὺς κανονίζωσιν οἱ ὑπερκερασταὶ προσέχειν ὑπερκεράσαι αὐτούς, ἤτοι κυκλοῦν· εἶθ' οὕτως οἱ ζωνοῦντες αὐτοὺς δρουγγιστὶ ἤγουν ὡς μάλα ὁμοῦ λανθανόντων αὐτοὶ μόνη, ἄφνω ὑπεξερχόμενοι μετὰ ἡσυχίας ὀξέως τῶν νώτων ἤγουν κατὰ τὸ ὄπισθεν τῶν ἐναντίων ἐπιτίθενται:

Ἀθρόως αἱ γυμνασίαι ἁπλαῖ εἰσι, καὶ κοινῶς δὲ τὰ τάγματα πολλά. καὶ ἰδίως πάλιν ἓν τάγμα ἁρμοζόντως γυμνάζουσι καὶ τοῖς ἐφεξῆς ἀήττητος ἡ τάξις φυλάττεται. καὶ δύνασαι ὦ στρατηγὲ ταύτας τὰς γυμνασίας ἐπιτρέφειν δοῦναι· καὶ τοῖς ὑποστρατήγοις τουρμάρχαις καὶ τοῖς ἄλλοις τοῖς ἴδια γυμναζομένοις τάγμασιν:

Ἐθίζειν τοὺς στρατιώτας γυμνασίας. μὴ μόνον ἐν ὁμαλοῖς, ἀλλὰ καὶ ἐν δυσβάτοις τόποις· καὶ ἐν ὑψηλοῖς καὶ εἰς καταφερεῖς· καὶ ἐν καιρῷ δὲ καύσωνος καλοῦ ἐστι γυμνάζειν καὶ ἐθίζειν τὸν στρατόν· οὐδεὶς γὰρ οἶδε πότε συμβήσεται μάχη καὶ ποῦ συμβήσεται:

Χρὴ γὰρ οὕτως τὴν γυμνασίαν ποιεῖσθαι ὡς ἐπὶ αὐτοῦ τοῦ πολέμου. διὸ καὶ ἡμεῖς διὰ τὸ ἀξιόπιστον καὶ τὰ ἐν καιρῷ πολέμου ἐνταῦθα εἰρήκαμεν. τὸ γὰρ πρὸς τοὺς κινδύνους ἐθίζεσθαι ἀνδρειοτέρους τοὺς στρατιώτας ποιεῖ:

Ἐπεὶ δὲ τὴν τῶν καβαλλαρίων γυμνασίαν τοῦ διορθοῦσθαι ἐκ μέρους διετάξαμεν, ἀναγκαῖόν ἐστιν ὁμοίως καὶ τὴν τῶν πεζικῶν ταγμάτων γυμνασίαν τοῦ διορθοῦσθαι, ὅσον ἐκ τῶν ἀρχαίων τακτικῶν, καὶ ὅσον ἐκ τῶν νέων παρελήφαμεν:

Χρῄζονται τοίνυν αἱ ἀκίαι πρῶτον τοῦ πεζικοῦ τάγματος καθὼς ἀνωτέρω ἐσημάναμεν· ὥστε τάσσεσθαι τινὰς μὲν ἐν ἀριστερᾷ, τινὰς δὲ δεξιᾷ τοῦ βάνδου.

ἤτοι τοὺς ἄρχοντας. καὶ προπορευομένου τοῦ ἄρχοντος ἅμα τῷ βανδοφόρῳ
καὶ τῷ μανδάτωρι καὶ βουκινάτορι ἐπακολουθοῦσιν ὡς ὁρίζονται οἱ λοχαγοὶ
ἤτοι οἱ πρωτοστάται, ἢ δεκάρχοι. πρῶτον οἱ τοῦ δεξιοῦ μέρους καὶ μετὰ τοὺς
δεξιούς. ἑπομένων δὲ αὐτῶν ἐν τῷ τῆς γυμνασίας τόπῳ, ἢ τῆς παρατάξεως ἵστα-
ται ὁ ἄρχων καὶ μετ' αὐτὸν ὁ βανδοφόρος, καὶ εἴ τις ἕτερος κατὰ ζώνην. ἐπ
παρατάσσονται αὐτοὶ ἔνθεν κἀκεῖθεν αἱ ἀκίαι ὡς ὁρίζονται πρῶτον ἐν ἀραι-
οτέρῳ διαστήματι ἵνα μὴ συντρίβωνται ὑπ' ἀλλήλων. ἀπὸ ις τὸ βάθος ἤτοι
τὸ πάχος, ἔχουσαι καὶ τοὺς ψιλοὺς ὄπισθεν. τὰ δὲ ξίφη καὶ κοντάρια εἶναι ἀνωβλέ-
ποντα, ἵνα μὴ ἐμποδίζωνται ὑπ' αὐτῶν. ἔμπροσθεν δὲ τοῦ μετώπου περιπα-
τοῦσιν, ὁ μανδάτωρ, ὁ καμπιδούκτωρ, ἤτοι ὁ ὁδηγὸς τῶν τόπων. ὁ μὲν τοὺς τό-
πους ἀνερευνῶν καὶ ὁδηγῶν, ὁ δὲ τὰ μανδάτα γνωρίζων τοῦ ἄρχοντος λαοῖς:

Καὶ εἰ μὲν τάγμασι τὸ γυμναζόμενον, τὸν τοῦ τάγματος ἄρχοντα ἔμπροσθεν
περιπατεῖν μετὰ μανδάτωρος καὶ καμπιδούκτωρος. εἰ δὲ τούρμα γυμνάζεται
μόνη, ἔμπροσθεν περιπατεῖν μὲν τὸν τουρμάρχην καβαλλάριον μετὰ μανδα-
τόρων δύο, καμπιδουκτόρων δύο, στράτωρος ἑνὸς καὶ σπαθαρίου ἑνός. ἤτοι
τοῦ τὰ ὅπλα τοῦ ἄρχοντος φέροντος, ἕως οὗ πλησίον τῆς συμβολῆς γένηται,
ἡ παράταξις. τότε δὲ ἐν τῇ παρατάξει ἀσφαλῶς εἰσέρχεται ἐν ᾧ τόπῳ τὸ βάν-
δον αὐτοῦ τέτακται:

Μὴ συμπλέκεσθαι δὲ αὐτῶν τοῖς σημείοις, μηδὲ βούκινον λέγομεν εἰς ἕκαστον
μέρος, πλὴν τοῦ μεράρχου. εἰ γὰρ μίαν τοῦρμαν ἔχει τὸ μέρος εἴτε δύο εἴτε
πλείονας καὶ συμβῇ πολλὰ εἶναι τὰ βούκινα, ἵνα μὴ θορύβου γενομέ-
νου κωλύωνται τὰ μανδάτα εἰσακούεσθαι. καὶ οἱ μὲν ὁπλῖται πεζοὶ ἤτοι οἱ
σκουτάτοι τάττονται τὰ μανδάτα εἰσακούεσθαι. καὶ οἱ μὲν ὁπλῖται ἤτοι οἱ πεζοί
σκουτάτοι τάττονται οὕτως:

Οἱ δὲ ψιλοὶ κατὰ διαφόρους τόπους τάττονται οἱ ἀκροβολισταὶ μὲν πλη-
σιαζόμενοι. μὴ δὲ τοξόται ἢ σαλιζάβρες. ποτὲ μὲν ὄπισθεν ἑκάστης ἀκίας
πρὸς τὸ μέτωπον τῶν ὁπλιτῶν, τουτέστιν εἰς τοὺς ις σκουτάτους δ ψιλοί ἵνα καὶ
μέχρι δ μεριζομένης τῆς τῶν σκουτάτων ἀκίας εὑρεθῶσιν οἱ τοξόται ὄπι-
σθεν αὐτῆς. ποτὲ δὲ ἐν τῷ βάθει τῶν ἀκιῶν εἰς παρασκουτάτους καὶ τοξότας.
ποτὲ δὲ ἐν ταῖς ἀκίαις καὶ ἐν τοῖς κέρασιν ἤτοι ταῖς ἐξοχαῖς τῶν παρα-
τάξεων, τουτέστιν ἔσωθεν τῶν καβαλλαρίων. πολλάκις δὲ καὶ ἐξωτέρω αὐ-
τῶν ἀπὸ μικροῦ διαστήματος μετὰ καὶ ὀλίγων σκουτάτων, ὥστε τὰ ἔσωθεν

ἔσω τοὺς καβαλλαρίους, ἐὰν πολλοί εἰσιν οἱ ψιλοί:

Οἱ δὲ τὰ ῥικτάρια ἢ τὰ τζικούρια ἢ βαρδούκια ἔχοντες ὄπισθεν τεταγμένοι
τῶν σκουτάτων, ἢ εἰς τὰ ἄκρα τῆς παρατάξεως. νῦν δὲ λέγομεν τοὺς το-
ξότας καὶ λοιποὺς ἀκοντιστὰς ὄπισθεν τετάχθαι πρὸς τὴν γυμνασίαν, ἢ ὡς
ἀπαιτεῖ ἡ χρεία αὐτούς:

Τοὺς δὲ καβαλλαρίους εἰς τὰ ἄκρα τῆς πεζικῆς παρατάξεως τάξεις. ὅσα δὲ αὐ-
τῶν ἀνδρειότερα τάγματα ἀρχόντων αὐτῶν ἑκατέρῳ. καὶ εἰ μὲν πολλοί εἰσιν
οἱ καβαλλάριοι, τουτέστι πλέον τῶν ιβ χιλιάδων ἀπὸ δέκα τὸ βάθος τού-
των γίνεσθαι. εἰ δὲ ὀλιγότεροι τὸ μέτρον τοῦτο, ἀπὸ πέντε εἶναι ὅσον
πλεονάσει. τινὲς ὄπισθεν ἐν ὑποβοηθείᾳ αὐτῶν ἑκατέρῳ τῷ ἄκρῳ ἔξωθεν. ἵνα ἐὰν
ἐκ πλαγίων ὄπισθεν τινὲς τῶν ἐχθρῶν φανῶσιν ἀποστρέψωσιν αὐτούς. εἰ δὲ μή,
τὸ προστεθὲν τοῖς πλαγίοις καὶ αὐτοί:

Τασσέσθωσαν δὲ καὶ αὐτοὶ ἐν ἀραιοτέρῳ πρὸς τὸ διάστημα. ἵνα ἐὰν γένηται και-
ρὸς εἰς τάξιν μεταβάλλεσθαι μὴ ἐμποδίζωνται:

Παραγγέλλειν δὲ τοὺς καβαλλαρίους μὴ καταδιώκειν τοὺς ἐχθρούς, μάλιστα
ἀπὸ τῆς πεζικῆς παρατάξεως, ὡς ἐπὶ πολὺ διάστημα καὶ τάχα ὑποστρέφουσιν οἱ ἐ-
χθροί, ἵνα μὴ ἐγκείμενος τινὸς παρ' αὐτῶν γενομένου. ἐπεὶ ἀπὸ διαστή-
ματος εἰσὶν οἱ πεζοὶ γυμνούμενοι τῆς παρατάξεως ἐπερεισθῶσιν, ὡς ὀλι-
γώτεροι ἢ ἀσθενέστεροι. ἀλλὰ καὶ αὐτοὶ βιασθῶσιν ὡς εἰκὸς παρὰ τῶν ἐναντίων,
ὄπισθεν τῆς παρατάξεως προσφεύγειν καὶ μὴ ἐπέρχεσθαι τὰς ἁμάξας τὰς
ὄπισθεν τῆς παρατάξεως τῶν πεζῶν ὀφειλούσας εἶναι πρὸς φυλακὴν αὐτῶν. εἰ
δὲ μηδὲ οὕτως ἀντέχουσι, καταφεύγεσθαι αὐτοὺς ἐν τῷ ὑποτ.... καὶ οὕτως πεζῇ
ἑαυτοὺς ἐκδικεῖν:

Ἐὰν παρατάξασθαι δέῃ, ὁ στρατηγὸς μὴ συμβάλλειν δὲ κατὰ τὴν αὐτὴν ἡμέραν,
καὶ ὁρμήσωσιν οἱ ἐχθροὶ κατὰ τῶν καβαλλαρίων καὶ μὴ βαστάζωσιν αὐτούς,
μὴ ἀναμένουσιν αὐτούς, ἱστάμενοι εἰς τὰ κέρατα τῆς παρατάξεως. ἀλλ' ὄπι-
σθεν μᾶλλον ἔλθωσι τουτέστιν εἰς τὰ ἄκρα τῆς παρατάξεως καὶ τῶν ἁμαξῶν.
εἰ δὲ τοῦτο γένηται, ἔστω μείζονος τοῦ συνήθους διαστήματος ἵνα μεταβαλ-
λομένων ὡς εἰκὸς τῶν καβαλλαρίων μὴ στενοχωρηθῶσι. μηδὲ αἱ τῶν ἐχθρῶν
σαγίτται μὴ βλάπτωσιν αὐτούς:

Ταῦτα δὲ μάλιστα καὶ ἐν καιρῷ μάχης γίνεσθαι. διὰ ταύτην καὶ ἡ γυμνασί-
α μεταχειρίζεται:

Τοσούτων δὲ συναλλάξεων εἰρημένων, πρέπον ἡμῖν καὶ τὰ ῥήματα καὶ τὰ παραγγέλματα τῆς πεζικῆς τάξεως, ὥσπερ καὶ τῆς ἱππικῆς ἐμφανιστικῶς διασαφῆσαι :–

Ὅταν γὰρ παραστῶσι πρὸς τὴν γυμνασίαν τὰ μέρη τῆς παρατάξεως διὰ ταγμάτων τοῦ στρατοῦ, παραγγέλλει ὁ μανδάτωρ ταῦτα μετὰ σιγῆς· πάντα τὰ παραγγέλματα πληρῶστε· μὴ ταραχθῆτε· τὴν τάξιν ἑκάστου φυλάξατε· τῷ βάνδῳ ἐπακολουθεῖτε· μηδεὶς ἀφῇ τὸ βάνδον. καὶ τοὺς ἐχθροὺς διώξατε, καὶ τῶν εἰρημένων κινοῦσι πρόσω ἢ σχῆμα· ὥστε μὴ θυμειστικῶς γίνεσθαι παρά τινος :–

Ἐθίζεσθαι δὲ αὐτοὺς δεῖ πρὸς ταῦτα φωνῇ ἢ νεύματι διὰ σημείου τινός· οἷον κινεῖν καὶ ἵστασθαι τὸ βάθος δι᾽ ἀκιεδῶν περιπατεῖν ἴσως καὶ συντεταγμένως ἐπὶ στόμα· ἤτοι ἐπ᾽ εὐθείας καὶ κύκλους τόπους καὶ διαφόρους πυκνοῦσθαι ἢ διαστέλλεσθαι τὸ βάθος καὶ μῆκος φουλκῷ περιπατεῖν. συμβάλλειν ὡς ἐν τάξει μάχης μετὰ ῥαβδίων. γυμνάζεσθαι δὲ καὶ οὕτως :–

Ποτὲ μὲν ἐν βεργίων, ποτὲ δὲ ἐν γυμνῶν σπαθίων ἐθίζεσθαι πρὸς διαφαλακτίαν· καὶ περιπατεῖν ἐπὶ κέρας, ἤτοι τὸ δεξιὸν μέρος προάγειν ἔμπροσθεν· καὶ πάλιν ἀποκαθίστασθαι· φυλάττεσθαι ἀμφισόμως ἑκατέρωθεν. καὶ πάλιν ἀποκαθίστασθαι. μετατίθεσθαι δεξιᾷ καὶ ἀριστερᾷ· ἀραιοῦσθαι καὶ πληροῦσθαι ἤτοι διπλοῦσθαι τὸ βάθος δι᾽ ἀκιεδῶν μεταβάλλεσθαι κατὰ νώτου, καὶ πάλιν ἀποκαθίστασθαι. γίνονται δὲ τὰ σχήματα ταῦτα διὰ τὰς διαφόρους ἀνακυπτούσας αἰτίας :–

Φωνῇ τινι ἢ νεύματος διὰ σημειουμένου, κινοῦσι καὶ ἵστανται. ὅτε δὲ θέλει κινῆσαι, ἢ βουκίνῳ, ἢ τῇ ταυρέᾳ ὁ καμπιδούκτωρ, ἢ τῇ φωνῇ ἐκίνουσον. εἰ δὲ στῆναι θέλει, ἢ τῇ τούβᾳ ὅ ἐστι μικροῦ βουκίνου, ἢ τῇ φωνῇ στάσαι τῆς χειρὸς καὶ ἵστανται. διὰ δὲ τοῦτο φωνῇ καὶ τῷ σημείῳ ἐθίζεσθαι ἀναγκαῖον ἐστὶ διὰ τὸν τῶν ἁρμάτων θόρυβον ἢ κονιορτὸν ἢ ὁμίχλην ἐπιγινομένην :–

Λεπτύνονται ἤτοι μειοῦνται αἱ ἀκίαι, ὅταν ἀπὸ ιϛ´ ἀνδρῶν τὸ βάθος αὐτῶν ἐστι. καὶ θέλῃς μᾶλλον τὸ μῆκος τῶν παρατάξεων ἐκτεῖναι διὰ κόμπον ἢ διὰ τὸ ἐκτεῖναι τὴν τῶν ἐναντίων τάξιν. καὶ παραγγέλλεις ἔξελθε, καὶ ἐξέρχονται οἱ παραμεριζόμενοι καὶ λεπτύνεται τὸ βάθος τῶν ἀκιῶν· πλατύνεται δὲ τὸ μῆκος τῆς παρατάξεως, καὶ γίνεται τὸ βάθος ἀπὸ η´. εἰ δὲ θέλει ἀπὸ δ´, πάλιν λέγε ἔξελθε καὶ ἐξέρχονται. ὁμοίως πάντες εἰς ἓν μέρος δεξιὰ ἢ ἀριστερά. τοῦτο δὲ δεῖ παραφυλάττειν ἵνα πάντες εἰς ἓν μέρος ἐκ τοῦ ὄρχου ἐξέρχονται :–

Περιπατεῖν ἴσως καὶ συντεταγμένως, ὅταν ἕνες τῆς παρατάξεως προκένσωσι. ἐ

ἀνίσως περιπατοῦσι καὶ παραγγέλλει ἴσον τὸ μέτωπον :—

Πυκνοῦνται ἤτοι σφίγγονται ὅταν ὡς ἀπὸ δύο ἢ τριῶν τοξοβόλων τῆς τῶν ἐχθρῶν παρατάξεως γίνονται. ἡ ὑμῶν παράταξις καὶ μέλλει συμβάλλειν παραγγέλλει ζεῦξον. καὶ πυκνούμενοι σφίγγονται πρὸς τὸν μέσον τόπον κατὰ βάθος καὶ μῆκος. τούτων ἵνα οἱ ἔμπροσθεν τεταγμένοι καὶ ἐκ πλαγίου εἰς τὰ ἅρματα ἀλλήλοις ἐγγίζωσι. οἱ δὲ ὄπισθεν καταλλήλοις ὡς προσκεκλεισμέναι, τοῦτο δὲ τὸ σχῆμα γίνεσθαι δύναται· καὶ περιπατούσης καὶ ἱσταμένης τῆς παρατάξεως :—

Χρὴ δὲ τοὺς οὐραγοὺς παραγγέλλεσθαι καὶ τῶν ὄπισθεν προσέχειν καὶ ἀπορθοῦν αὐτοὺς εἰς τὴν τάξιν ἵνα μὴ ἀπομένωσί τινες ὡς εἰκὸς δειλιῶντες :—

Τοῦλκον δὲ περιπάτου λέγεται. ὅταν ἐγγίζωσι τῶν παρατάξεων. τῆς τε ἡμέρας καὶ τῆς τῶν ἐναντίων μέλλει ἄρχεσθαι ἡ τοξεία γίνεσθαι. καὶ οὐ φοροῦσιν οἱ ἐν μετώπῳ τεταγμένοι ζάβας ἤτοι λωρίκια. καὶ παραγγέλλει πύκνωσον. καὶ τῶν ἐμπρὸς ἢ τὸ μέτωπον τεταγμένων πυκνούντων τὰ σκουτάρια αὐτῶν μέχρι τοῦ ἐγγίζειν ἀλλήλοις κατασκέπουσι πρὸς τεπλασμένας τὰς γαστέρας αὐτῶν μέχρι τῶν κνημῶν ἤτοι τοῦ λεγομένου σκήλους. οἱ παρεστῶτες αὐτοῖς ὄπισθεν ἐπαναιρόντες τὰ σκουτάρια αὐτῶν καὶ ἀναπαύοντες εἰς τοὺς ἔμπροσθεν, σκέπουσι τὰ στήθη καὶ τὰς ὄψεις αὐτῶν, καὶ οὕτω συμβάλλουσιν :—

Ὅταν δὲ πυκνωθῇ καὶ ἡ παράταξις καὶ λοιπὸν ἀπὸ ἑνὸς τοξοβόλου γένηται τῶν πολεμίων. καὶ μέλλει πάντως ἡ συμβολὴ συνάπτεσθαι παραγγέλλει. ἕτοιμοι. καὶ ἄλλου διαδεχομένου καὶ κράζοντος, βοήθει. καὶ πάντων ἀποκρινομένων ἴσως ἐκ συμφώνου ὁ θεός. οἱ μὲν ψιλοὶ τοξεύουσιν ὑψηλοτέρως. οἱ δὲ σκουτάτοι οἱ εἰς τὸ μέτωπον τεταγμένοι. ἐπεὶ δὲ ἐγγυτέρω γενομένων τῶν πολεμίων, οἱ μὲν ἔχουσι ματζούκια ἢ τζικούρια ἢ ἐπιλάδια, ἐπεὶ τὸ χαρισί ἔπλουσιν αὐτά. εἰ δὲ μὴ ἀναμένοντες ἕως οὗ ἐγγὺς ἔλθωσι, τότε ἀκοντίζουσι τὰ κοντάρια, ἤτοι ἐπιλάδια αὐτῶν ἐπιλαμβάνονται τῶν σπαθίων αὐτῶν, καὶ μάχονται τέως ἕως ὑποχωρούντων αὐτοῖς ἐχθρῶν. οἱ δὲ ὄπισθεν αὐτῶν ἑστῶτες τὰς ἑαυτῶν κεφαλὰς σκέπουσι τῶν σκουταρίων αὐτῶν ἐπιβοηθοῦσι τοῖς ἔμπροσθεν τῶν σκουταρίων :—

Χρὴ δὲ ἀσφαλῶς τοὺς εἰς τὸ μέτωπον ταττομένους, τὸ φυλάττειν ἑαυτοὺς μέχρις οὗ εἰς χεῖρας ἐκ τοῦ πλησίον ἔλθωσιν ἵνα μὴ καταβλεύονται ἀπὸ τῶν ἐναντίων. ἐὰν μάλιστα μὴ ἔχωσι ζάβας, ἢ [illegible] :—

Μερίζονται πρὸς διφαλαγγίαν, ὅταν ἐπ' εὐθείας περιπατοῦσι τῆς παρατάξεως, ἐκ ἔμπροσθεν καὶ ὄπισθεν φαίνονται πολέμιοι. καὶ οἱ μὲν ἀπὸ ι' ἀνδρῶν ἔχουσιν αἱ

ἀκίαι, καὶ ἤγγισαν οἱ δι' ὀλίγου ἐρχόμενοι ἐχθροί, καὶ μέλλουσι τὸ κατὰ πλησίον
ἄρχεσθαι τῆς μάχης παραγγέλλει. ἀπὸ ἡ μεσείασθαι, καὶ οἱ ἡ διαφαλαγγίαν. ἐ
ἡ ἵστανται· οἱ δὲ ἡ στρεφόμενοι καὶ κινοῦνται πρὸς διαφαλαγγίαν μείζονα. οἱ δὲ
ἀπὸ ἡ, ἵστανται τὸ βάθος, ἢ ἀπὸ λ. παραγγέλλει ἑδραῖοι στῆτε οἱ δεύτεροι, καὶ οἱ
τῆς διφαλαγγίας ἐξέρχεσθαι δεύτεροι εἰσίν. οἱ λεγόμενοι πάλαι σεκουτῶροι. ἡ ἐ ἐπισάται
πισάται καὶ στρεφόμενοι οἱ σεκουτῶροι τυχέσιν ὑπὸ τῶν δεκάρχων τεταγμένοι
ἐξέρχονται διαστήματα ἄχρι τῶν βημάτων ἤδη σκελιστιμάτων. ὥστε μὴ δύνα
σθαι τὰς βαλλομένας παρὰ τῶν ἐναντίων σαγίττας ἑκατέρωθεν βλάπτειν τοὺς
μέσους ἀντιβλέποντας. ἀλλ' ἐν τῷ εὐκαίρῳ τῷ πρὸς πάλιν αὐτοὺς εἰς τὰ παραγ
γέλλει ὑποστρέψατε. καὶ πάλιν ὑποστρέψαντες, εἶτα γίνονται ἀποκαθίστανται
εἰς τὸ πρότερον σχῆμα:

Εἰ δὲ ὡς εἰκὸς εἴη μείζων δύναμις τῶν ἐχθρῶν διὰ τὸ νεύειν ἤτοι ὄπισθεν τῆς
παρατάξεως ἔρχεται, καὶ ἁμάξαι οὐκ ἀκολουθοῦσιν, οἱ σεκουτῶροι ἤτοι οἱ ἐ
πισάται ἵστανται. καὶ οἱ πρῶτοι ἤτοι οἱ πρωτοστάται οἱ καὶ λοχαγοὶ ἐξέρχονται:

Τὸ δὲ τῆς διφαλαγγίας γίνεται ὅταν αἱ ἅμαξαι οὐκ ἀκολουθοῦσι. ἢ ἀκολουθῆσαι
σαι ἐβιάσθησαν ὑπὸ τῶν πολεμίων. ταύτας δὲ χρὴ πάντως ἐπὶ παντὸς ἡτοιμα
σμένας, πεζικοῦ στρατοῦ ἀκολουθεῖν, εἰ μὴ ἄρα καβαλλαρικὸς στρατὸς βιασθῇ
πεζεύεσθαι, καὶ ἐν καιρῷ τοιούτῳ ἡ ἁμάξη, ἢ ἄλλως ὅλως ἢ τῷ ἰσοτύπῳ ἀπορεῖν:

Δεξιὰ καὶ ἀριστερὰ κλίνονται ὅταν ἐκ πλαγίου εἰς ἓν μέρος θέλει τὴν παράταξιν
στῆσαι. εἰ δὲ τοῦ ὡς εἰκὸς ἐλθεῖν τὴν παράταξιν, καὶ ὑπερκεράσαι ἤτοι κυ
κλῶσαι τοὺς ἐχθρούς. εἰ μὴ ὑπερκερασθῆναι ἤτοι κυκλωθῆναι παρ' αὐτῶν, ἢ
διὰ τόπου ἐπιτηδειότητα, ἢ διὰ παράταξιν στενοῦ τόπου. καὶ εἰ μὲν δεξιὰ θέ
λει παραλαβεῖν αὐτὴν παραγγέλλει ἐπὶ κουτάριον κλῖνον καὶ στρέφονται πάν
τες οἱ ὁπλῖται ἐκεῖθεν. εἶτα παραγγέλλει ὑπόστρεψον καὶ ἀποκαθίστανται.
εἰ δὲ ἀριστερὰ θέλει κλῖναι. παραγγέλλει ἐπὶ κουτάριον κλῖνας κίνησον. καὶ
τὰ ἄλλα ὁμοίως φυλάττονται:

Ἀμφίστομος δὲ γίνεται ὅταν τῶν ἐχθρῶν ὡς εἰκὸς ἄφνω γυρευόντων ἔμπροσθεν
καὶ ὄπισθεν ἐπιφθάσωσι, πρὸς διφαλαγγίαν μερισθῆναι ἡ παράταξις. καὶ
παραγγέλλει τὸ ὑποκάτω τὴν τάξιν φυλάξατε. καὶ οἱ ἥμισεις τῶν ὄντων ἔμπροσθεν ἐρ
χομένων ἱστάμεναι ἁρμόζονται· οἱ δὲ ἥμισεις τῶν ὄντων ἀντιστρεφόμεναι.
οἱ δὲ ἐν τῷ μέσῳ ἑστῶτες τὰς κεφαλὰς αὐτῶν ἴσως σκέπουσι διὰ τῶν σκουτα
ρίων:

Μετατίθενται δεξιὰ ἢ ἀριστερά, ὅταν ἢ δεξιὰ ἢ ἀριστερὰ θέλῃς μεταγαγεῖν τὴν παράταξιν, χώρας ὡς εἰκὸς οὕτως καλούσης, καὶ παραγγέλλῃ· μετάφερε εἰς τὰ δεξιά· ἢ τοὐναντίον· μετάφερε εἰς τὰ ἀριστερὰ καὶ τὸ μέτρον ἐκεῖνον σώζων τέλος :

Ἀραιοῦνται ἤτοι πλατύνονται, ὅταν πεπυκνωμένοι ὦσι καὶ θέλῃς μετεῖναι, ἤτοι ἐπιλῦσαι ὡς ἔθος τὰς ἀκίας καὶ ἐκτεῖναι τὴν παράταξιν εἰς μῆκος· ἢ διὰ τὸ ἀνωτέρους αὐτοὺς γενέσθαι, καὶ παραγγέλλῃ· πλάτυνον πρὸς τὰ ἀμφότερα μέρη, καὶ πλατύνονται. τοῦτο δὲ τὸ σχῆμα καὶ περιπατούσης καὶ ἱσταμένης τῆς παρατάξεως, δύναται γίνεσθαι ἐκ τῶν κεράτων ἐπὶ τὰ ἔξω νευόντων· ἐπὶ τὸ μέρος ἐν ᾧ ἐστιν ἐστὶ ἡ παράταξις :

Βαθύνονται δὲ ἤτοι διπλοῦνται αἱ ἀκίαι, ὅταν ἐκ τῶν ἀπὸ τεσσάρων ἵστανται. καὶ θέλῃς αὐτὰς διπλῶσαι καὶ πρὸς συμβολὴν ἰσχυροποιῆσαι, ἁρμοζόντως τῷ βάθει τῆς παρατάξεως τῶν ἐναντίων. καὶ παραγγέλλῃ, εἴσελθε. καὶ γίνονται ὀκτώ. εἰ δὲ θέλεις ιϛ ποιῆσαι, πάλιν παραγγέλλῃ εἴσελθε. καὶ εἰσερχόμενοι εἰς τοὺς ἰδίους τόπους, εἰς τοὺς ὄπισθεν διπλοῦνται καὶ γίνονται ιϛ. πάντες εἰς ἓν μέρος ὡς ἐκτὸς ἄλλου. εἰ δὲ θέλεις ὡς ἔθος ἀπὸ λβ τὸ βάθος τῶν ἀκιῶν ποιῆσαι ὅπερ οὐκ ἔστι χρήσιμον, παραγγέλλῃ· ὁ ἔσχατος ὑπὸ τῶν ἔσχων. ἐκδιπλοῦνται ὁμοίως καὶ βαθύνεται μὲν ἡ παράταξις, συστέλλεται δὲ τὸ μῆκος αὐτῆς :

Μεταβάλλονται ὅταν ἐπ' εὐθείας περιπατούσης τῆς παρατάξεως· μηκέτι διὰ τὸ ἐναντίως ἥκουσιν οἱ ἐχθροί, ἀλλὰ ἀπὸ ὄπισθεν αὐτῆς. καὶ ἂν ἐκ τοῦ μετώπου ἤτοι τοὺς λοχαγοὺς τοὺς καὶ πρωτοστάτας ὄπισθεν θέλῃς μεταγαγεῖν ἀπὸ τῆς ἀνθρώπων ὅλους τοῦ βάθους, παραγγέλλῃ· μετάλλαξον τὸν τόπον καὶ διὰ τοῦ πλάθους τῶν ἀκιῶν παρερχόμενοι οἱ λοχαγοὶ ἵστανται εἰς παράταξιν συνακολουθούντων αὐτοῖς καὶ τῶν λοιπῶν, καὶ μεταβάλλονται τὸ μέτωπον ἐπὶ τοὺς πολεμίους ποιοῦντες. τοῦτο δὲ πρὸ τῆς πυκνώσεως ἐπιτήδειος γίνονται. εἰ δὲ πεπύκνωται καὶ συμφράξει ἀρμόζει, παραγγέλλει μεταστραφῆναι. καὶ στρεφόμενοι ὡς ἵστανται ἀντιβλέπουσι τῷ ἐναντίῳ, ἤτοι τὸ ὄπισθεν μέρος· οὐκέτι τὸ λοχαγοῦ διεισκομένου, ἀλλὰ τοῦ ἐξ οὐραγοῦ τοῦ ἑσταλοῦ :

Αἱ τοιαῦται γυμνασίαι αὗται δύνανται ἐν καιρῷ πολέμου στρατιῶτε ἑτοίμους παρασκευάζειν καὶ πρὸ καιροῦ πολέμου ἀνυπερβλήτου διὰ ὅπλων ἐχθρῶν πρὸς γυμνασίαν ἐπιτηδείων. ἔτι δὲ πρὸς πάντα τὰ σχήματα τῶν κινήσεων καὶ τὰ παραγγέλματα, ἀφυεῖς καὶ ἄνευ ταραχῆς καὶ θορύβου διατελέσθαι· ὅτι μάλιστα τὰ τάγματα διαιρούμενα ἐς δέον αἱ παρατάξεις.

εἴτε καθ' ἓν τάγμα εἴτε κατὰ πλείονα ποιεῖσθαι τὴν γυμνασίαν :–

Οὐκ ἄτοπον δὲ οἶμαι ἐπεὶ τοῖς ἀρχαίοις καὶ ἕτερα τινὰ παραδίδονται παραγγέλματα, καὶ κινήματα γυμνασιῶν· ἄλλοις τε καὶ Ἀρριανῷ καὶ Αἰλιανῷ, ὥσπερ ἐξ ἑνὸς στόματος περὶ αὐτῶν ὁμοφωνοῦσιν· ἀλλ' ἵνα μὴ ἐπὶ πλάτος τούτων παρεκτείνω τὸν παρόντα λόγον ἐν κεφαλαίῳ μόνῳ μνήμην ποιήσομαι ἐκείνων, καὶ τοῖς λοιποῖς ποθοῦσι μὲν τὸ πλῆθος· τὸ μὲν διὰ τὴν ἐν αὐτῆς ἀσάφειάν τε καὶ ἀχρηστίαν· τὸ δὲ διὰ τὸ ἐκεῖ ἀναγκασθῆναι· ὥσπερ ἀνθολογηθέντα τὰ παρ' ἐκείνοις ἐνταῦθα εἰρημένα σὺν τοῖς νεωτέροις διὰ πείρας δεδειγμένοις· καὶ ἵνα μὴ ἀπρόσκοποι δόξωσιν εἶναι καὶ δυσ- εὐλογεῖν ἀσαφεῖς ἐνταῦθα ταῦτα σαφηνισθέντα :–

Παρὰ γὰρ Αἰλιανῷ λέγονται ὀνόματα καὶ κινήσεις αὗται· αἱ μὲν κλίσεις ἡγουμένη· τὴν δὲ κλῖσιν εἰς δύο διαιροῦσι, καὶ τὴν μὲν ἐπὶ ἀσπίδα καὶ αὐτὸς κλίσιν λέγει ἤγουν ἐπὶ σκουτάριον· τὴν δὲ ἐπὶ δόρυ ἤγουν ἐπὶ κοντάριον· ἔστι δὲ τις κίνησις καὶ πρὸς αὐτήν, καὶ μεταβολή καὶ ἐπιστροφή, καὶ περισπασμὸς καὶ ἐκπερισπασμός, καὶ ζυγεῖν καὶ στοιχεῖν, καὶ ἐπ' ὀρθὸν ἀποδοῦναι καὶ ἐξελίσσειν καὶ διπλασιάζειν· λέγεται δὲ καὶ ἐπαγωγὴ καὶ πλαγία φάλαγξ, καὶ ὀρθία φάλαγξ, καὶ λοξὴ φάλαγξ καὶ παρεμβολή, καὶ πρόταξις καὶ ἔνταξις, καὶ ὑπόταξις καὶ ἐπίταξις καὶ πρόσταξις καὶ παράταξις :–

Αἱ μὲν οὖν ὀνομασίαι τῶν κινήσεων τοιαῦται. τὰ δὲ παραγγέλματα οὕτως. ἀνὰ εἰς τὰ ὅπλα, παράστηθι παρὰ τὰ ὅπλα· ὁπλοφόρος μὴ ἀπίτω τῆς φάλαγγος· σίγα, καὶ πρόσεχε τῷ παραγγελλομένῳ· ἄρον τὰ δόρατα· κάθες τὰ δόρατα· οὐραγὸς τὸν λόχον ἐπευθυνέτω· ἔγειρε τὰ διαστήματα· ἐπὶ δόρυ κλῖνον, ἐπ' ἀσπίδα κλῖνον, πρόαγε, ἔχε, εἰς ὀρθὸν ἀπόδος, τὸ βάθος διπλασίαζε, ἀποκατάστησον τὸν λόχον ἀπὸ τοῦ ἐπὶ δόρυ ἐκπερισπασμοῦ ἀποκατάστησον. ἀλλὰ ταῦτα διά τε τὴν ἀσάφειαν καὶ τὴν ἀχρηστίαν ἴσως παρέδωκεν τῷ χρόνῳ καὶ σαφοῦς μάλιστα φροντίζοντες. τὰ μὲν οὖν περὶ γυμνασίας ἡμῖν προειρημένα πεζικῆς τε καὶ ἱππικῆς, τοῦ τε καθ' ἕνα στρατιώτην καὶ τῶν κατὰ τάγματα καὶ παρατάξεις ἃς ἐν ἐπιτόμῳ ἁρμοδίως ἔχει. ἁρμοδίως δὲ τὸ παρὸν ἐπιτάγματι καὶ τοῖς ἁμαρτάνουσι στρατιώταις

ἐπιτίμια ἐντάξας ἵνα γινώσκωσιν αὐτά· καὶ μὴ ἀγνοοῦν-

τες ἐμπίπτουσι τοῖς ἐν αὐτοῖς κειμέναις

τιμωρίαις :–

∴ περὶ δρασκούντων

## Τοῦ αὐτοῦ πολεμικῶν διάταξις η΄:

## περὶ στρατιωτικῶν ἐπιτιμίων:

Δεῖ σε οὐ μόνον ἐν καιρῷ τῶν ἐξόδων ἀλώνων, ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῆς γυμνασίας· συναγομένων ἁπάντων τῶν τε ἀρχόντων καὶ τῶν στρατιωτικῶν ταγμάτων προσκηρύξασθαι πάντας, καὶ ὑπαναγινώσκειν αὐτοῖς τὰ εἰρημένα νόμιμα στρατιωτικὰ ἐπιτίμια ἔχοντα οὕτως:

Καὶ ὁ στρατιώτης τῷ ἰδίῳ πεντάρχῃ ἢ τετράρχῃ ἐναντιωθῇ σωφρονιζέσθω. εἰ δὲ δέκαρχος τῷ κεντάρχῳ ὁμοίως. εἰ δέ τις τῶν τοῦ τάγματος τολμήσοι τοῦτο ποιῆσαι εἰς τὸν ἑαυτοῦ κόμητα κεφαλικῇ τιμωρίᾳ ὑποκείσθω:

Εἴ τις τε ἀδικηθῇ παρά τινος τῷ ἄρχοντι τοῦ τάγματος προσίτω. εἰ δὲ παρὰ τοῦ ἄρχοντος αὐτοῦ ἀδικηθῇ, τῷ μείζονι ἄρχοντι προσίτω:

Κἄν τις τολμήσοι ταξεῦσαι ὑπὲρ τὸν χρόνον τοῦ κομεάτου, ἤγουν τῆς ἀπολύσεως τῶν στρατιωτῶν εἰς τοὺς ἰδίους οἴκους, τὸ διηνεκῆ ταξατίωνα καταλειφθῇ:

Εἴ τινες τολμήσωσι συνωμοσίαν ἢ φατρίαν κατὰ τοῦ ἄρχοντος τοῦ ἰδίου ποιῆσαι ὑπὲρ οἱασδήποτε αἰτίας, κεφαλικῇ τιμωρίᾳ ὑποβληθῶσι. καὶ ἐξαιρέτως οἱ πρῶτοι τῆς συνωμοσίας ἢ τῆς στάσεως γενόμενοι:

Εἴ τις παραφυλακὴν πόλεως ἢ κάστρου πιστευθεὶς τοῦτο παραδῷ. εἰ παρὰ γνώμην τοῦ ἄρχοντος αὐτοῦ ἐκεῖθεν ἀναχωρήσει, ἐσχάτην τιμωρίαν ὑποβληθήσεται:

Εἴ τις θελήσῃ δηλίας ἐχθροῖς ἑαυτὸν παραδοῦναι, τῇ ἐσχάτῃ τιμωρίᾳ ὑποβληθῇ. οὐ μόνον αὐτός, ἀλλὰ καὶ ὁ τοῦτο συνειδὼς ἐπειδὴ τοῦτο γνοὺς τῷ ἄρχοντι οὐκ ἐμήνυσεν:

Εἴ τις ἀκούσας τὰ μανδάτα τοῦ δεκάρχου μὴ φυλάξῃ, σωφρονιζέσθω. εἰ δὲ ἀγνοῶν τὰ μανδάτα πταίσοι ὁ δέκαρχος, σωφρονιζέσθω ἐπειδὴ οὐ προεῖπεν αὐτῷ:

Εἴ τις ἄλογον ζῷον, ἢ ἄλλο οἱονδήποτε εἶδος μικροῦ ἢ μεγάλου εὑρὼν μὴ τοῦτο φανερῶς καὶ τῷ ἄρχοντι τῷ ἰδίῳ παραδώσει, σωφρονιζέσθω. οὐ μόνον αὐτός, ἀλλὰ καὶ ὁ συνειδὼς αὐτῷ ὡς κλέπται ἀμφότεροι:

Εἴ τις ζημίαν συντελεστῇ καὶ μὴ τοῦτον προαιρετῶς ἀποθεραπεύσει, κατὰ τὸ διπλάσιον τὴν ζημίαν αὐτῷ ἀποκαταστήσει:

Εἴ τις λαμβάνων ἀπόλυσιν ἐν εἰρηνικαῖς ἡμέραις τῶν ἑαυτοῦ ὅπλων περιφρο-
νήσῃ, καὶ μὴ τοῦτον ὁ δεκάρχης ἀναγκάσῃ κτήσασθαι, ἢ καὶ τῷ ἰδίῳ ἄρχοντι
τοῦτο μὴ φανερώσῃ, καὶ ὁ στρατιώτης αὐτὸς καὶ ὁ δεκάρχης αὐτοῦ σωφρονι-
ζέσθωσαν :

Εἴ τις μὴ ὑπακούσῃ τῷ ἰδίῳ ἄρχοντι σωφρονιζέσθω κατὰ τοὺς νόμους :

ἴ τις ζημιώσῃ στρατιώτην, ἐν διπλῷ ποσότητι αὐτῷ ἀποκαταστήσει. ὁμοίως
καὶ σωφρονιζέσθω :

Εἰ δὲ ἐν παραχειμασίᾳ ἐστὶν ὁ στρατὸς καὶ κατὰ πάροδον ὁ ἄρχων ἢ ὁ στρατιώτης
ζημιώσῃ σωφρονιζέσθω, καὶ μὴ τοῦτον δεόντως ἀποθεραπεύσῃ, ἐν διπλῇ ποσό-
τητι τοῦτο αὐτῷ ἀποκαταστήσει :

Εἴ τις ἐν καιρῷ πολέμου δίχα κελεύσεως ἴσως ἀπολύσεως τοῦ στρατοῦ στρα-
τιώτην ἀπολύσει τυχόν, τριάκοντα νομισμάτων ποινὴν διδότω. ἐν καιρῷ
δὲ εἰρήνης κατὰ τὸ διάστημα τῆς δεκαρχίας ὅτε ἀπολύσεως καιρὸς δὲ στρατιώ-
τῃ διδόσθω :

Εἴ τις πόλιν ἢ κάστρον πιστευθεὶς εἰς παραφυλακὴν τοῦτο προδώσει, ἢ χωρὶς ἀ-
νάγκης ἢ ζωῆς κινδυνευούσης ἀναχωρήσει δυνάμενος τοῦτο ἐκδικῆσαι, κε-
φαλικῇ τιμωρίᾳ ὑποβαλλέσθω. ταῦτα δὲ καὶ ἐν καιρῷ γυμνασίου ὁμοῦ ζωννυ-
μένων τῶν στρατιωτῶν ἐπαναγινωσκέσθω τὰ ἐπιτίμια. καὶ ἐν ἑτέρῳ οἱῳδή-
ποτε καιρῷ πρὸς φόβον τῶν στρατιωτῶν καὶ τῶν ἀρχόντων αὐτῶν :

Δεῖ δὲ ζωννύναι αὐτοὺς καὶ τὰ λοιπὰ ἐπιτίμια ὅσα δέον ἐν τῷ καιρῷ τοῦ
πολέμου, ἀναγκαίως φυλάττεσθαι :

ἕως οὗ δὲ ζωννύναι τὰ τάγματα, ἀναγινώσκεται καὶ ταῦτα οὕτως :

Κἂν στρατιώτης ἐν καιρῷ παρατάξεως καὶ πολέμου τὴν τάξιν ἢ τὸ βάνδον αὐτοῦ
ἐάσῃ καὶ ἢ φύγῃ, ἢ τοῦ τόπου ἐν ᾧ ἐτάγη προπηδήσει, ἢ σκυλεύσει νεκρούς,
ἢ εἰς δίωξιν ἐχθρῶν καταδράμῃ, ἢ τοῦλδον, ἢ φοσσᾶτον ἐχθροῦ ἐπέλθῃ, κε-
λεύομεν καὶ τιμωρεῖσθαι αὐτὸν, ἐπερχόμενα τὰ παρ' αὐτοῦ ἀφαιρεῖσθαι καὶ τῷ κοινῷ
διδόσθαι τοῦ τάγματος, ὡς τὴν τάξιν παραλύσαντα καὶ τοῖς ἑτέροις αὐτοῦ ἐπι-
βουλεύσαντα :

Κἂν ἐν καιρῷ δημοσίας παρατάξεως ἢ συμβολῆς τροπὴ ἀπογένηται ἄνευ
τινος εὐλόγου καὶ φανερᾶς αἰτίας, κελεύομεν τοὺς στρατιώτας τοῦ πρώτου φεύ-
γοντος τάγματος καὶ ἀναχωρήσαντος τῆς παρατάξεως ἤτοι τοῦ ἰδίου μέρους
τοὺς εἰς τὴν ἀρχὴν τεταγμένους ἀποδεκατοῦσθαι καὶ ὑπὸ τῶν λοιπῶν ταγμά-

των καταλέγεσθαι εἰς τὴν τάξιν παραγγέλλοντας καὶ ἄλλους τῆς τοῦ παντὸς
μέρους ἐπὶ τῆς γενομένους:·

Εἰ δὲ συμβῇ τινας ἐν αὐτοῖς ὡς εἰκὸς πληγάτους ἐν αὐτῇ τῇ συμβολῇ γενέσθαι,
ἐκείνους ἐλευθέρους τοῦ τοιούτου ἐγκλήματος εἶναι:·

Ἐὰν βάνδου ἀφαίρεσις ὑπὸ ἐχθρῶν γένηται ὅπερ ἀπείη ἄνευ τινὸς εὐλόγου καὶ
φανερᾶς προφάσεως, κελεύομεν τοὺς τὴν φυλακὴν πιστευθέντας σωφρονίζε-
σθαι καὶ πανταχοῦ ἐσχάτους γίνεσθαι τῶν ἀρχομένων ὑπ' αὐτῶν καὶ ἄλλοις.
εἰ δὲ συμβῇ τινας αὐτῶν μαχομένους γενέσθαι πληγάτους, τοὺς τοιούτους
ἐλευθέρους τοῦ τοιούτου ἐπιτιμίου φυλάττεσθαι:·

Ἐὰν φοσσάτου ὄντος τροπὴ ὅπερ ἀπείη ἀπὸ μέρους ἢ παρατάξεως γένηται, καὶ
μηδὲ προσδιαφεύγοντας προσδράμωσιν μηδὲ ἐν αὐτῷ τῷ φοσσάτῳ κα-
ταφεύγουσιν τρεπόμενοι, ἀλλὰ περιφρονοῦντες ἐν ἑτέρῳ τόπῳ προσδρα-
μοῦσιν, κελεύομεν τοὺς τοῦτο πρᾶξαι τολμῶντας τιμωρεῖσθαι ὡς τῶν νεωτέ-
ρων περιφρονήσαντας:·

Ἐὰν στρατιώτης τὰ ὅπλα αὐτοῦ εἴτ' ἐν πολέμῳ, κελεύομεν αὐτὸν τιμωρεῖσθαι
ὡς γυμνώσαντα ἑαυτὸν καὶ τοὺς ἐχθροὺς ὁπλίσαντα:·

Καὶ τοὺς διάρχοντας παρ' ὅπλον στρατιώτην, ἢ σκηνικόν, ἢ μὴ ζητηθὲν ἐν τῷ
καιρῷ τοῦ φοσσάτου, ἢ ζητηθέντα τὰ δέοντα τάξει δουλεύειν εἰς τὴν τάξιν αὐ-
τοῦ καταφρονῆσαι καὶ ἀμελῆσαι τῶν ὅπλων, παρεκτὸς τῶν τεταγμένων ἀπὸ τοῦ
ἡμετέρου κελεύσματος σωφρονίζεσθαι καὶ ζημιοῦσθαι. στρατηγὸς τῷ χρυσοῦ λί-
τραν μίαν. τουρμάρχης δὲ νομίσματα λϛ΄. δρουγγάριος δὲ νομίσματα
κδ΄. κόμης δὲ καὶ εἴ τις ἕτερος νομίσματα ιϛ΄. Ταῦτα καὶ τὰ στρα-
τιωτικὰ ἐπιτίμια δεόμενα ἐξῆλθον, καὶ ὅπως
ὁδοιπορεῖν δέον τοῦ καθόλου στρατοῦ καὶ κατὰ
μέρος ἐν τῇ ἡμετέρᾳ χώρᾳ καὶ ἐν τῇ
τῶν πολεμίων καὶ μετὰ ποί-
ας καταστάσεως ἤδη
διαλέξαμεν
θς:·

## Τοῦ αὐτοῦ τῶν πολεμικῶν παραδόσεων διάταξις θ΄. περὶ ὁδοιπορίας :-

Δέον εἰδέναι σε, ὦ στρατηγέ, ὅταν ὁδοιπορῇς μετὰ τοῦ στρατοῦ, εἴτε ἐν τῇ ἰδίᾳ μου γῇ τὴν ὁδοιπορίαν ποιῇς, ἵνα παραγγέλλῃς τοῖς στρατιώταις ἀπέχεσθαι τῆς χώρας καὶ μήτε πραιδεύειν μήτε φθείρειν. πλῆθος γὰρ στρατεύματος ὅταν λάβῃ τοῦ δύνασθαι τὴν ἐξουσίαν ἀδεῶς ἐπιτρέπει πρὸς ἅπαντα. δελεάζεται γὰρ εἰς πλεονεξίαν ὅταν ὁρᾷ καλὸν τὸ περικείμενον τὴν χώραν καὶ πολλάκις τοὺς ἰδίους διὰ τὴν τοιαύτην αἰτίαν πολεμίους ποιεῖ :-

Μηδὲ χρόνιζε καθεζόμενος μετὰ τοῦ στρατεύματος ἐν τῇ ἰδίᾳ χώρᾳ, ὅταν ἰσχύσῃς εἰσβαλεῖν ἐν τῇ χώρᾳ τῶν πολεμίων. καὶ γὰρ τοὺς ἰδίους ἀναλώσεις καρποὺς καὶ ζημιώσεις μᾶλλον τοὺς φίλους ἢ τοὺς πολεμίους. ταχέως δὲ μετάφερε τὰς δυνάμεις· μάλιστα ἐὰν εἰς λιπαρὰν καὶ πολύτροφον τῶν πολεμίων τὴν μέλλῃς εἰσβάλλειν :-

Εἰς ἕνα δὲ τόπον στρατὸν πολὺ μὴ σκηνάζε πολεμίων μὴ ἐνοχλούντων, ἵνα μὴ ἐγκαιροῦντες οἱ στρατιῶται στάσεις καὶ ἀκαίρους ἐννοίας ἀσχολῶνται :-

Εἰ δέ ποτε χρεία καλέσει τοῦ γενέσθαι χάριν ἀδνουμίου, ἢ ἄλλης ἀναγκαίας αἰτίας, ταχέως τοῦ στρατοῦ διαμέριζε, καὶ εἰς ἔργα τῶν ὅπλων ἀσχολεῖσθαι παρασκεύαζε. εἴς τε τὰ περὶ γυμνασίας ἤδη εἴρηται κεφαλαίῳ. ἡ γὰρ ἀργία κενοτέρας μελέτας ἴσως καὶ ἐπιβλαβεῖς ἀποτίκτει :-

Κἂν δὲ πόλεμον προσδοκᾷς μὴ τάξεως, μετὰ τάξεως τὸν στρατὸν περιπατεῖν ποίησον, κἄντε διὰ δρόμους τὰς ὁδοιπορίας ποιῶνται, κἄντε κατὰ τούρμας, κἄντε διὰ ὅλας παρατάξεις. τὸ γὰρ ἐν τάξει ταύτας γίνεσθαι οὐ μόνον ἐπὶ τῆς πολεμίας, ἀλλὰ καὶ ἐπὶ τῆς ἰδίας ἀσφαλεστέρους καὶ προγεγυμνασμένους ποιεῖ τοὺς στρατιώτας :-

Ἑκάστῳ δὲ δρούγγῳ ἐθίζεσθαι ποίησον, ὥστε τὴν ἰδίαν ἀποσκευὴν ἕπεσθαι ἀκολουθεῖν μετὰ τῶν ἰδίων σημείων, καὶ μὴ ἐπιμίγνυσθαι ἑτέρᾳ. ἀναγκαῖον γὰρ ἐστιν, ὅταν οἱ πολέμιοι οὔτε πάρεισιν οὔτε ἐγγίζουσιν ἐν τῇ ἡμετέρᾳ γῇ, ἢ κατὰ δρούγγους ἢ κατὰ τούρμας περιπατεῖν καὶ μὴ σκηνάζειν ἐν ἑνὶ τόπῳ τὸ ἅπαντα στρατόν. διὰ τὸ μὴ λιμώττειν αὐτὸν εὐχερῶς, μήτε δὲ ἀχρείοπλον τὸ πλῆθος ὅλον τῆς κατασκευῆς ὡς ἐκτὸς τῶν ἐχθρῶν γίνεσθαι. μηδὲ εἰς βοσκὰς ξενοῦσθαι :-

Ἐγγιζόντων δὲ τῶν ἐχθρῶν ὡς πρὸ ε΄ ἢ ζ΄ ἡμερῶν ἢ δέκα σκηνάπτεσθαι, καὶ

ἐν τεθάμμα ἀπλικεύειν. καὶ ἐὰν ἀνάγκη ἐν ἀλύτοις τόποις ἡ ὁδοιποεί-
α γίνεται καὶ οὐ παρ᾽ ὄντες εἰσὶν ἐν τόποις οἱ δουκάτορες, ἀποστέλλεις τοὺς μιν-
σάτορας ἵνα προλαμβάνωσιν. ἐὰν ἐχθροῦ φόβος οὐκ ἔστι πρὸ μιᾶς ἡμέ-
ρας οἵτινες ὀφείλουσι τὴν πλείονα τοῦ παντὸς διαγράφειν στρατοῦ ἐν ὑψηλ-
λῷ στρατοπεδεύεσθαι. καὶ τὸ ἐπιβάλλον μέτρον ἀναλόγως ἑκάστῳ μέρει δια-
μερίζειν:-

Τὰ ὅπλα δὲ ποιεῖν καὶ τοὺς ἀδνουμιάτορας. ὅτι δὲ ἡ εἴσοδος οἱ ὀφείλοντες δι᾽ ὑπάλ-
λων καὶ τὰς γνώμας τὴν ζήτησιν καταμανθάνειν:-

Ἐὰν δὲ διὰ στενῶν πάνυ τόπων ἡ ὁδοιποεία μέλλῃ γίνεσθαι, ἢ κρημνωδῶν
ἢ δυσβάτων ἢ δασέων, προευτρεπίζειν πλῆθος στρατοῦ καὶ ἀποστέλλειν ἐπὶ
τούτῳ ὥστε διορθοῦσθαι. καὶ παρασκευάζεσθαι γίνεσθαι τὴν ὁδὸν κατὰ
τὸ δυνατὸν ἵνα μὴ συντρίβηται ὁ ἵππος. τοὺς δὲ ἀφοριζομένους ἀπὸ τούτων,
μὴ ἐμποδίζεσθαι βίγλᾳ ἢ ἑτέρᾳ δουλείᾳ:-

Προειπάτω δὲ τῷ στρατῷ, ἵνα μὴ σὺ ἐνδοξότης ὡς τοῦ παντὸς στρατοῦ
προπορευόμενος. αὐτὸς μόνος ἕνεκεν καὶ διὰ τὸν φόβον τῶν ἐπιβουλῶν δι-
ὰ τῆς ἁπάσης προηγεῖσθαι καὶ τὰ ἐν τῇ ὁδῷ βαδίζειν, καὶ ὄπισθεν πάντων
ἢ μέσον ἀποσκοπεῖν:-

Πρὸς τὸ ἀξίωμα δὲ τοῦτο καὶ ἕκαστος δεκάρχης, πεντάρχης, ἢ δρουγγάριος προσ-
παθείτω. τὴν αὐτὴν τάξιν φυλάττων, ἐλευθερωμένως προπορευέσθω, ἤγουν ἰδί-
ως. εἰ δὲ τις τῶν ποταμῶν διαβαίνουσιν, ἢ ἄλλων ἀνάγκων χρείαν τοὺς
ἀδνουμιάτορας προλαμβάνειν ὥστε δοκιμάζειν πρότερον τοὺς τόπους. καὶ
οὕτως διαστέλλειν τὰ τοῦ τόπου καὶ προφυλάττειν τὴν διάβασιν:-

Εἰ δὲ πάνυ ἀποφυγέστεροι οἱ τόποι καὶ δύσκολοι, καὶ στενοὶ ἐπὶ τοῦ παντὸς
στρατοῦ ἀπέρχεσθαι ἐγγίνεσθαι κατὰ τὸν τόπον, καὶ παρεστῆναι δὲ ἄρχοντας πάν-
τας ἀπαθῶς διελθοῦσιν:-

Τοῦτο γὰρ καὶ τὴν ἡμετέραν ἀσμενίσθαι πρέπει καὶ βασιλέα βασιλέων πεποί-
ηκέναι. γινώσκομεν ὅτε κατὰ ῥαγὰς Μαυρικίου τὴν ἐν Συρίᾳ τὴν στρατείαν
διοικοῦντα περικαλύπτοντα ἐν τῷ παρὰ δύνη λεγομένῳ ποταμῷ. παρα-
στάντα δὲ ἐν λαμπάδι κατὰ τὸ μέτρον καὶ τὴν αὐτοῦ παρουσίαν καὶ ἀσφαλεί-
ᾳ πάντα τὸν ἐπ᾽ αὐτῷ στρατὸν ἀπαθῶς καὶ εὐκόλως διαβιβάσαντα. ὡς καὶ
ἑτέραν δύναμιν πολλάκις καὶ δι᾽ αὐτοῦ τινὰς τῶν στρατιωτῶν κινδυνεύοντας
ἀνασώσασθαι:-

Τοῦτο δὲ ποιεῖν τοὺς ἡγεμόνας ἀσφαλές, ἐὰν μὴ ἐπείγωσιν οἱ πολέμιοι τοῖς τόποις ἐκείνοις. Ἐὰν δὲ ἐπείγωσι, τότε στενῶν ὄντων, ἵνα τὰ ἐξ ἑκάστου διάρχοντα τοῦ ἰδίου μέρους τὴν τάξιν ἀναπληρωθῇ, ἕως ἂν πάντες οἱ ὑπ' αὐτὸν στρατιῶται ἀβλαβῶς διέλθωσιν· ἵνα μὴ σπουδάζοντες πάντες ἄλλος τὸν ἄλλον προλαβεῖν, ἀτακτῶσι καὶ συντρίβονται. ἴσως τότε βλάβαι γίνονται:

Ὅταν δὲ διὰ τῆς χώρας τῶν ὑπηκόων ἡμῶν τὴν διάβασιν τοῦ στρατοῦ ποιῇς, φείδεσθαι καὶ ἀποφεύγειν τοὺς γεωργηθέντας τόπους τοῖς στρατιώταις παράγγελλε. Εἰ δὲ χωράφια ἐστίν, ἤτοι ἀμπελῶνες ἢ κῆποι, καὶ μὴ διαβαίνουσι μέσον αὐτῶν, ἵνα φυλάττηται τοῖς ὑπηκόοις ἡμῶν καὶ γεωργοῖς ἀζημίους ἡ τῶν παρ' ἡμῶν τοι προσυντεθέντα νόμον:

Καὶ εἰ μὲν δυνατὸν διὰ τῆς ἀγεωργήτου τόπου μακρᾶς ἔρχεσθαι· εἰ δὲ ἀνάγκη σε καλέσει διὰ τῶν βιωτικῶν γεωργηθέντων τόπων διελθεῖν, παράγγελλε τοῖς ἑκάστου τάγματος μετ' εἰς αὐτοὺς τεταγμένοι στρατιῶται παρελθοῦσιν ἵστασθαί τε φυλάττειν, καὶ τὰ ἀπ' αὐτοῦ ἐρχόμενοι παραπέμπειν τοὺς βιωτικοὺς τόπους ἀβλαβεῖς. καθόλου ἀναχωρεῖν:

Τὸ ὅμοιον δὲ τὸ πλῆθος ποιεῖν καὶ τὸ ἀπ' ἐκείνου, καὶ ἕκαστος ἄρχων τὰ αὐτὰ ποιείτω· οὕτως γὰρ ἴσως καὶ ἡ ἀταξία καὶ ἡ τῶν ἀρχόντων καὶ ἡ τοῦ στρατοῦ, καὶ τὸ ἀβλαβὲς τοῦ γεωργοῦ διαφυλαχθήσεται:

Ὅταν δὲ ἐπείγει καὶ πεζοδρομεῖται κατὰ καιρὸν πολέμου ἡ δυσχερὴς καὶ στενόπος διάβασις, ἐὰν ἔχῃ ἄδεια ἡ ἡμέρα τὴν δίοδον διανύσει, ἢ ὑπαντήσουσι τὴν πρὸ τόπον καλῶς, ἵνα μὴ διακόψωσιν αὐτά· ὅτι διὰ τὴν αὐτοῦ θόρυβος καὶ κραυγὴ γίνεται, καὶ οἱ ἱππικοὶ ἀνάγκης συντρίβονται:

Ὅταν δὲ καιρὸς ἐστὶν εἰρήνης, καὶ οὐδεμία ἀνάγκη ἐπείγει, τότε ἡσυχώτερα ἐστὶ τὰ κινήματα τοῖς στρατιώταις:

Ἐὰν δὲ ὀλίγον στρατὸν ὡς ἐχθρὸς ἐπιφέρῃ, καὶ μέλλεις ἐπιστρατεύειν τὴν τῶν πολεμίων καὶ μὴ διαβάζεις αὐτοὺς διὰ τόπων οἰκουμένων, μηδὲ διὰ τῆς ἰσχυρᾶς μηδὲ διὰ τῆς πολεμίας, ἵνα μὴ φανερωθῇς διὰ τῶν κατασκόπων τοῖς ἐχθροῖς, ἀλλὰ δι' ἐρήμων τόπων ἀφανῶν σπούδαζε περιέρχεσθαι· καὶ τοῦτο μὲν ὅταν διὰ τῆς ἰδίας χώρας τὸν στρατὸν διαβιβάζῃς χρὴ διατάττεσθαι:

Ὅταν δὲ διὰ τῆς πολεμίας τὴν ὁδοιπορίαν ἀπαίτῃς τοῦ στρατοῦ, χρή σε ταύτην φθείρειν καὶ καίειν καὶ καταλύειν τὰ σιτία τῶν ἐχθρῶν καὶ καρποὺς

δὲ ἄν, ἥττονας ποιεῖ τοὺς πολεμίους καὶ τὸν πόλεμον ἀσθενέστερον. ὥσπερ ἡ τῶν ὅπλων πλεονεξία μᾶλλον τρέφει καὶ αὔξει :—

Ἐὰν δὲ πολυχρόνιον ἐν τῇ πολεμίᾳ γῇ κατὰ στρατοπεδεύσῃς, τὰ αὐτὰ καὶ τὰ φθεῖρε τῆς χώρας, οἷον καὶ ὧν αὐτῶν οὐχ ἕξεις χρείαν. τὰ δὲ ἀναγκαῖα φύλαττε τοῖς μετὰ τοῦ στρατεύματος εἰς δαπάνην αὐτῶν :—

Ὅταν δὲ τὰς ἁπάσας δυνάμεις ἔχῃς ὁμοῦ, μέλλε ἐπὶ τῆς ἡμετέρας χώρας, μὴ ἐπὶ πολλαῖς ἡμέραις καθεζόμενος χρόνιζε, καὶ γὰρ τοὺς ἰδίους ἀναλώσεις καρπούς, καὶ ζημιώσεις πλέον τοὺς φίλους ἢ μᾶλλον τοὺς πολεμίους. μετάταξαι δὲ αὐτὰς ταχύ, ἐὰν κίνδυνος ἐστὶν τῆς οἰκείας χώρας καὶ διάταξαι ἐπὶ τὴν πολεμίαν. καὶ γὰρ ἐὰν ἐστὶν ἡ πολεμία δαψιλὴς καὶ εὔκαρπος, ἐκ πλουσίων τροφήν ἕξεις καὶ εὐπορίαν ἄφθονον. ἐὰν δὲ οὐκ ἔστιν τοιαύτη, τὴν γε ἰδίαν τὴν καὶ φίλοις χώραν οὐκ ἐρημώσεις. πολλὰ δὲ ὅμως καὶ ἀπὸ τῆς πολεμίας εἰ καὶ μὴ λιπαρά ἐστιν δείσης ὑστερῆσαι τῷ ὑπὸ σὲ στρατῷ καὶ ἀναγκαῖα :—

Εἰ δὲ ἡ πολεμία γῇ ἀφεὶς τοὺς στρατιώτας ἀτάκτως ἀτάκτως φέρεσθαι πρὸς τὰς ὠφελείας. πολλάκις γὰρ ἐπιβουλευθέντες παρὰ τῶν ἐχθρῶν, μεγάλας βλάβας ὑπομένουσιν :— [margin: f ἐπιβουλευόμενοι]

Φρόντισον δὲ ἐν τῇ ἰδίᾳ γῇ ὁδοιποροῦν τῷ στρατεύματι τῆς τε ἀγορᾶς καὶ εὐπορίας κατά τε τὴν ξηρὰν καὶ τὴν θάλασσαν. ἵνα ἀκινδύνου τῆς παρουσίας αὐτῆς οὔσης, ἀόκνως καὶ ἀφόβως κομίζουσι τὸν εἰς τὰ ἐπιτήδεια φόρτον :—

Ὅταν δὲ διὰ στενῶν τόπων μέλλῃς ποιεῖσθαι τὴν πάροδον, ἢ διὰ ὀρεινῆς καὶ δυσβάτου χώρας πολεμίας παράγειν τὸ στράτευμα, ἀναγκαῖον προσκοπεύειν τινὶ μέρει τοῦ στρατεύματος, καὶ προκαταλαμβάνεσθαι τὰς ὑπερβάσεις καὶ τὰς τῶν στενῶν παρόδους, ἤτοι τὰς λεγομένας κλεισούρας. ἵνα μὴ φθάσαντες οἱ πολέμιοι καὶ στάντες ἐπὶ τῶν ἄκρων ἢ τῶν στενῶν κωλύσωσι τὴν διάβασιν ποιεῖσθαι, ἢ κίνδυνον διὰ τῆς στενοχωρίας ἐπαγάγωσι τῷ στρατεύματι :—

Τὸ δὲ αὐτὸ φρόντιζε, καὶ ὅταν αὐτὸς προφοβῇ πολεμίων εἰσβολὴν εἰς τὴν ἰδίαν χώραν. ἵνα προκαταλάβῃς τὰ στενὰ τῆς ὁδοῦ καὶ κωλύσῃς τῶν πολεμίων τὴν εἴσοδον διά τινος ἀποστελλομένου στρατοῦ. ἢ κακώσῃς διαθέσεις αὐτοὺς ἐν τῇ τῶν στενῶν διόδῳ :—

Ἐὰν δὲ διὰ μακρᾶς ὁδοῦ μέλλῃς πορεύεσθαι καὶ πολλῶν ἡμερῶν διανύειν πορείαν, καὶ ἐν τῇ ἰδίᾳ χώρᾳ ἐν τῇ πολεμίᾳ. διά τε τῆς ἰδίας χώρας ἵνα

ἐπιτῆς τὰ στρατεύματα περιπατεῖν ἐν τάξει καὶ συμφυλάττειν τοὺς ἰδίους λό-
χους, ἤγουν τοὺς δρούγγους τῆς τάξεως καὶ ἀκολουθεῖν τοῖς ἄρχουσιν. ἵνα καὶ ἐν
τῇ πολεμίᾳ πρὸς τὰς ὡς εἰκὸς γινομένας ἐξαίφνης ἐπιβουλάς. μὴ ἐν ἀθε-
ᾳ καιρῷ καὶ ὀξέως ἐπιγινομένᾳ θορυβοῦνται καὶ περιτρέχουσι, καὶ ἄλ-
λος πρὸς ἄλλον φέρονται, καὶ διὰ τοῦτο μηδὲν βοηθεῖν δύνανται. πολλὰ δὲ
κακὰ ἢ καὶ δι' ἑαυτῶν ἢ διὰ τῶν πολεμίων πάθωσιν, ἀλλ' ἵνα διὰ τὸ ἐθι-
σμὸν τῆς εὐταξίας καὶ εἰς πορείαν εἰσὶν ἐπιδέξιοι, κἂν εἰς μάχην εὐτρεπι-
σμένοι. ἔχοντες καὶ σπουδὴν καὶ ἀλλήλους ἐν τάξει βλέποντες :·—

Τὴν δὲ πορείαν τοῦ στρατεύματος ὀλίγην ποιεῖσθαι σε δεῖ, καὶ διὰ βατιωτέρων χωρίων δι-
αβίβαζε τὰς τάξεις, διὰ τὸ μὴ συνθλίβεσθαι. συνέχωσι πλάτος ὥστε ἐκπλευ-
ρᾶς ἐπὶ μῆκος ἐκτείνεσθαι. ἐπιβουλεύονται γὰρ γίνονται πρὸς τὰς ἐφόδους τῶν πο-
λεμίων ἐπιφανείας αἱ βίαιαι, καὶ μᾶλλον συνέχονται τὸ δραστήριον :·—

Ἐὰν γὰρ αὐτοῖς ἀπὸ ἔμπροσθεν ἀπαντήσωσιν οἱ πολέμιοι πλατύτεροι τεταγμέ-
νοι, εὐκόλως αὐτοὺς τρέπονται. καθάπερ ἐπὶ τῆς μάχης αὐτῆς εὐκαίρως κυ-
κλοῦνται τοὺς ἐναντίους :·—

Ἐὰν δὲ γὰρ δυνάμεων ἐκ πλευρᾶς ἐπιβάλλωσι ταχὺ δύνανται τὴν πορεί-
αν διακόπτουσι. ἐὰν γὰρ ἐπιστρέψωσι πρὸς φάλαγγα οἱ ὁδοιποροῦντες,
ὥστε ἀντιπαρατάξασθαι ἀσθενὴς ἡ μάχη γίνεται καὶ οὐκ ἔχουσα πάχος :·—

Ἐὰν δὲ ἀπὸ ὄπισθεν ἐπιφανῶσι, προφανὴς γίνεται ὄλεθρος, ὁμοίως τοῖς ἐν
τῷ ἔμπροσθεν τῆς πορείας τεταγμένοις :·—

Σημαίνει δὲ καὶ ἐάν τις ἐπιβοήθεια γένηται, δυσχερῆ καὶ ἄπρακτον αὐτὴν γε-
νέσθαι. τῶν γὰρ ἀπὸ ὄπισθεν τοῖς ἔμπροσθεν βουλομένων βοηθεῖν ἢ πάλιν τῶν
ἔμπροσθεν τοῖς εἰς τὸ ὄπισθεν, βραδεῖα ἡ ἔλευσις καὶ οὐ κατὰ καιρὸν δύναται
γίνεσθαι :·—

Ἡ δὲ συνεσταλμένη πορεία καὶ τετράγωνος ἢ παρεμβολικὴ ἔστω, μὴ πάνυ δὲ τὸ β
ἔχουσα τὸ σχῆμα, ἀλλὰ σύμμετρον εἰς πάντα καιρὸν ὠφέλιμός ἐστι καὶ εὐμε-
ταχείριστος καὶ ἀσφαλής :·—

Πολλάκις γὰρ καὶ εἰς ἀμφιβολίας ἐμπεσοῦσιν, ὅταν οἱ πρῶτοι καταβάντες
ἀπὸ ὀρεινῶν τόπων εἰς ἐπίπεδα χωρία, θεασάμενοι γὰρ τοὺς ὄπισθεν ἐπι-
βαίνοντας ἔδοξαν εἶναι πολεμίων ἐπέλευσιν. ὥστε σπεύδειν προσβα-
λεῖν ὡς ἐχθροῖς, τινὰς δὲ καὶ εἰς χεῖρας ἐλθεῖν κατ' ἀλλήλων παρὰ μικρόν :·—

Λάμβανε δὲ καὶ ταῦτα τὸ τοῦλδον ὅλον, τήν τε δουλείαν καὶ τὰ σαγμάρια καὶ

τὴν ἀποσκευὴν ἅπασαν ἐν μέσῃ τῇ δυνάμει :
Ἐὰν δὲ καὶ ἀπὸ ὄπισθεν ὑφοράσῃ ἔφοδον γενέσθαι, ποίησον καὶ τοὺς οὐραγοφύ-
λακας ἰσχυροὺς ὁμοίους τῶν ἔμπροσθεν τεταγμένων ἐν τῷ μετώπῳ τῆς πο-
ρείας· ὥστε μηδὲν διαφέρειν τοὺς ὄπισθεν τῶν ἔμπροσθεν πρὸς τὰ εἰκὸς συμ-
βαίνοντα :
Ἀποστέλλειν δὲ καὶ τινὰς καβαλλαρίους τοὺς μέλλοντας διερευνῆσαι τὰς
ὁδούς· καὶ μάλιστα ὅταν ὑλώδεις καὶ περικεκλεισμένας βουνοῖς ἢ ὄρεσι
διοδεύῃς ἐρημίας· πολλάκις γὰρ ἐγκρύμματα πολεμίων ἐπικαθέζονται.
καὶ λανθάνοντα τάχα τὰ ὅλα πράγματα συντρίβουσι τῶν ἐναντίων :
Καὶ εἰ μὲν γὰρ πεδιάδα γένωνται, πάντων ὀφθαλμοὶ περιβλεπόμενοι εὐ-
κόλως διερευνῶσι· καὶ γὰρ ἐν ἡμέρᾳ κονιορτὸς ἀναφερόμενος πολλά-
κις, μηνύει τὴν ἐπέλευσιν τῶν πολεμίων καὶ πυρὰ καιόμενα νυκτὸς ὑ-
πέλαμψε καὶ ἐπέδειξε τοὺς πολεμίους :
Καὶ ἐὰν μὲν οὐ μέλλῃς ἐλαύνειν εἰς μάχην τὰς δυνάμεις, ἄγε αὐτὰς ἐν ἡ-
μέρᾳ μόνον· ἐὰν δὲ ἐπείγεσαι καὶ σπουδάζῃς φθάνειν συντόμως τόπον, ἄγε
αὐτὰς καὶ ἐν νυκτί· ἐὰν ἄρα ἀσφαλὲς εἶναι τοῦτο νομίζῃς :
Καὶ πρὸ μὲν τοῦ καιροῦ τῆς μάχης μὴ ἀνέδην καὶ φανερῶς προέρχου δηλαδὴ
τοῖς πολεμίοις ἐμφανισθείς. ἀλλ' ἐπιβάλου καλῶς περισκέψεως τὴν δύ-
ναμιν· πολλάκις γὰρ πρὸ τοῦ συμβαλεῖν τὸν πόλεμον. ὁ περιττὸς κό-
πος εἰς δειλίαν ἄγει καὶ τοὺς ἀνδρείους, καὶ δαπανᾷ τὴν μεγίστην δύ-
ναμιν τῶν σωμάτων :
Τοὺς δὲ στενοὺς καὶ δυσβάτους τόπους ἐπὶ πολὺ διάστημα ἐκτεταμένους,
ἐν χώρᾳ ἐχθρῶν καὶ ἐξαιρέτως οἱ πεζοὶ διαβαινέτωσαν, οὐ διαφόρως ἔχου-
σιν· περὶ τούτων δὲ μετ' ὀλίγον ἐροῦμεν :
Τοὺς δὲ καβαλλαρίους ἐν τῇ χώρᾳ τῶν πολεμίων ἐν καιρῷ θέρους μάλιστα
ἀπερισκέπτως καὶ ὡς ἔτυχεν διαβαίνειν οὐκ ἐπιτρέπομεν χωρὶς ἀνάγκης.
ἐὰν δὲ ᾖ τόπος ἐπ' ὀλίγον ἄχρι ἑνὸς μιλίου ἐκτεταμένος δύνανται
καὶ πεζοὶ διαβαίνειν ἐν αὐτοῖς ἀσφαλῶς :
Στενοὺς δὲ καὶ δυσκόλους ἐκείνους λέγω τόπους, τοὺς μίαν καὶ μόνην πά-
ροδον ἔχοντας· εἰ γὰρ καὶ ἄλλαι εἰσὶ πάροδοι καὶ ἐπινοηθῆναι δύνανται
ἀνεμποδίστως ἡ πάροδος δύναται γενέσθαι :
Ἐὰν οὖν ὁ καιρὸς στενῶν διαβάσεων καὶ διὰ τῶν αὐτῶν τόπων μέλλῃ ἐπο-

στρέφειν ὁ στρατός, εἰ μὲν δασεῖς εἰσι καὶ ἐπ' ὀλίγον διάστημα ὡς εἴρηται κρα-
τοῦσι τούτους, μετὰ τὸν καιρὸν τῆς ὁδοῦ ἐκκόπτε καὶ πλάτυνε καὶ καθά-
ριζε κατὰ τὸν ἐνδεχόμενον τόπον. εἰ δὲ στενοὶ καὶ κρημνώδεις, ὥστε μὴ
πλατύνεσθαι δύνασθαι ὡς ἀνωτέρω ἡμῖν εἴρηται, προκαταλάμβανε αὐτοὺς
δι' ἑνὸς πεζικῆς δυνάμεως καὶ ἐν τοῖς ὑψηλοτέροις αὐτῶν τόποις τὴν ἀρ-
χὴν καταλίμπανε ἀσφαλοῦς βοήθειαν ἢ τυχὸν καὶ διὰ καβαλλαρίων
μέχρι τῆς ὑποστροφῆς. ἢ καὶ τοῦτο κάλλιον ποιεῖν ἐν τοῖς ἀναγκαίοις τό-
ποις, τουτέστιν ἐκκόπτειν ἤγουν καθαρίζειν καὶ βοήθειαν καταλιμπάνειν
κατὰ τὸ ἐνδεχόμενον :-

Τοὺς δὲ τὴν πάροδον διὰ τῶν στενῶν ποιουμένους, ἢ μετὰ τούλδου, ἢ μετὰ πραί-
δας εἰς δύο φαλαγγίας ἢ τρεῖς παρεκτάξεις γίνεσθαι. καὶ ἐπὶ κέρας ἢ ὀρ-
θίᾳ παρατάξει προπορεύεσθαι πεζοί. ὀρθία δέ ἐστι παράταξις ἡ κατὰ μέτωπον
μὲν στενή, κατὰ δὲ τὸ βάθος, εἰς μῆκος ἐκτεινομένη. τοῦτο δὲ ποιεῖν πραίδας
μάλιστα ἐν χερσονήσοις, εἴτε πεζοί εἰσιν. οὐ μᾶλλον δὲ ξηρῆς ἢ ἀδιάβατοι
ἂν καὶ δυσβάτων τόπων διαβάσεις, εἴτε καβαλλάριοι ἐκ τῶν ἵππων
καταβαίνοντες καὶ μετὰ τοῦ τούλδου καὶ τὴν ἀποσκευὴν ἔχοντες :-

Ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τοῖς τόποις μετὰ τὴν διφαλαγγίαν, ἤτοι ἔξω δύ-
ναμιν λαοῦ ἔμπροσθεν καὶ ὄπισθεν ὡς ἐπὶ στόματα μαχαίρας. ἢ δέοντε
ἀφορίζειν εἰς φυλακὴν τοῦ τούλδου καὶ τῆς πραίδας τῆς ὡς εἰκὸς ἐνούσης
αὐτῆς πάντως. καὶ ἄλλους ἐξ πλήκτους ἤγουν ἐπὶ τούτῳ μόνῳ ὄντας τοὺς
καλλίω καὶ πλείους ποιεῖν ἐκ πλαγίου μετὰ τῶν τεσσάρων μερῶν τῆς διφα-
λαγγίας ὡς ὁ τόπος παραδέχεται παρακολουθοῦντας καὶ ἀποτειχοῦν-
τας τοὺς βουλομένους ὡς εἰκὸς ἐκ τῶν ἐχθρῶν ἐπέρχεσθαι καὶ ταράσ-
σειν αὐτήν. ἵνα ἀδιάσπαστος καὶ ἄζυγος, ἢ πρὸς παραφυλάττηται καὶ
μηδὲ περισπῶνται οἱ ἐν αὐτῇ διὰ τοὺς ἐπερχομένους. οὐ γὰρ δύναται τοὺς
εἰς τὴν διφαλαγγίαν τασσομένους, καὶ τὴν πραίδαν μετὰ τάξεως φυλάτ-
τειν. καὶ τοῖς ὡς εἰκὸς ἐπερχομένοις τῶν ἐχθρῶν ἁρμόζεσθαι. διὰ τοῦτο
ἐκ πλαγίου δὲ ἔξωθεν τῆς διφαλαγγίας ἔχειν μετὰ τῶν τεσσάρων μερῶν, καὶ
κατεξαιρέτως τοὺς κρείττονας ἀφορίζεσθαι. οὕτως γὰρ ἅπαντες δυνήσεται ἐν
παντὶ καιρῷ τοῖς δυσκόλοις καὶ τραχέσι τόποις διαβαίνειν εὐκόλως :-

Τοὺς δὲ ἵππους ἀποβαινόντων καὶ πεζευόντων στρατιωτῶν. ἐὰν πεζοὶ ὦ- πεζεύουσιν
σιν οἱ στρατιῶται οἱ στρατιῶται μὴ πλησίον τοῦ πεζῶν ἔχειν, ἀλλὰ ἐν

λάθος

μετὰ τόπου αὐτοὺς ἀσφαλῶς γε μὴ ὡς εἰκὸς παραλόγου δειλίας γενομένης, παραβιαζόμενοι οἱ πεζεύοντες ὄντες. ἐὰν πλησίον αὐτοῦ ἔχωσι, προχείρως ἐπιλαμβανόμενοι τῶν ἵππων καταλιμπάνουσι τὴν τάξιν, καὶ ἐντεῦθεν βλάβη μεγίστη γίνεται :—

Εἰ δὲ συμβῇ αὐτοὺς αἰχμαλωσίαν ἢ πραῖδαν ἐπιφέρεσθαι, καὶ μέλλουσιν οἱ ἐχθροὶ ἐπελθεῖν διὰ ταῦτα, ἢ κατὰ τοῦ ἑνὸς μέρους, ἢ κατὰ τῶν δύο ἔνθα ἡ πάροδος γίνεται, τοὺς αἰχμαλώτους δεδεμένους ἐξωτέρω τῆς τάξεως παράγειν, καὶ ὑπ᾽ αὐτῶν αὐτοὺς σκουτεύεσθαι· ἵνα αὐτῶν φειδόμενοι οἱ ἐχθροὶ μὴ ἐπιτηδεύουσιν ἀκοντίζειν. εἰ δ᾽ ἀκοντίζουσιν, αὐτοὺς μᾶλλον ἀφανίζουσι, καὶ μὴ τοὺς στρατιώτας :—

Εἰ δ᾽ ἄρα ἐν ἀνάγκῃ ὡς εἰκὸς καὶ πείσας ἀδοκήτως ὁ στρατὸς γένηται, καὶ ἐν στενώμασι καταληφθῇ, καὶ οὐκ ἔστιν ἀκινδύνως τὴν ἀναχώρησιν ἐκεῖθεν ποιεῖσθαι· τότε κρεῖττον ἐστὶν ἐκ συμφώνου ἢ μέρος τῆς πραίδας, ἢ πᾶσαν παραχωρεῖν τοῖς ἐχθροῖς, καὶ ἀβλαβῶς ἐξέρχεσθαι, ἀλλὰ μὴ δι᾽ αὐτὴν κινδυνεύειν :—

Εἰ δὲ μὴ οὕτως συμβιβασθῆναι βούλονται, διαχρᾶσθαι τούτους ἐπ᾽ ὄψει τῶν ἐχθρῶν. καὶ ἢ ἐμμένειν τῇ χώρᾳ αὐτῶν καὶ λυμαίνεσθαι αὐτὴν ἀφειδῶς. ἢ ὡς δυνατόν ἐστιν ἑαυτοὺς ἐν τάξει περιφράξειν. καὶ τῆς ἐξελεύσεως φροντίζειν :—

Καὶ πάντων τῶν στρατηγῶν σκοπὸς ἔστω ἐν τοῖς τοιούτοις στενώμασι. καὶ μάλιστα τοῖς ἐπὶ πολὺ διάστημα κρατοῦσι μὴ ἐπιχειρεῖν βιάζεσθαι στρατὸν περαιοῦσθαι· ἐξαιρέτως ἐν καιρῷ θέρους διὰ τὴν τῆς ὕλης δασύτητα, πολεμίων μάλιστα ἐνεδρευόντων, πρὶν ἂν οἱ αὐτοὶ ἀποσοβηθῶσι, φαινόμενοι οἱ ὑψηλότεροι τόποι τῆς παρόδου ὑπὸ τοῦ στρατοῦ καταληφθῶσιν :—

Καὶ ταῦτα μὲν ἐπὶ τῆς καβαλλαρικῆς στρατείας· ἐπὶ δὲ τῆς πεζικῆς ὁδοιπορίας εἰς μὲν ἐπιπέδους τόπους δέουσι καὶ ὄπισθεν αὐτῶν καβαλλαρίους καθιστᾶν εἰς βίγλας, καὶ ἐξωτέρω τῆς βίγλας μηδένα τῶν πεζῶν φαίνεσθαι :—

Τὰ δ᾽ ἀπλῆκτα ἐν τῷ πλησίον γίνεσθαι, ἵνα μὴ κοπιῶσιν οἱ πεζοὶ περιπατοῦντες πολὺ διάστημα. τὰς δὲ μετὰ τῶν πεζῶν ἁμάξας κατὰ μέρη τῆς παρατάξεως περιπατεῖν δέον. εἴτε ἐν ὀρδίνῳ εἴτε ἐν παρατάξει πρὸς τὸ ὅπου πρῶτον τοῦ δεξιοῦ κέρατος, εἶτα τοῦ ἀριστεροῦ· μετέπειτα δὲ τοῦ μέσου ἀριστεροῦ, καὶ τότε τοῦ μέσου δεξιοῦ· καὶ μὴ πεφυρμέναι καὶ ἀναμεμιγμέναι περιπατοῦσιν :—

Ἐὰν δὲ οἱ ἐχθροὶ πλησίον εἰσί, δεῖ τοὺς ὁπλίτας ἕκαστον τὰ ὅπλα αὐτοῦ βαστάζειν περιπατοῦντα, καὶ μὴ εἰς τὰς ἁμάξας. τοῦτο γὰρ καταλιμπάνειν ἵνα ἀεὶ συνέτοιμοι πρὸς τὴν μάχην. ἐν δὲ τοῖς ἀναγκαίοις καιροῖς καθὼς ἐν τῇ παρατάξει τάττονται τὰ τάγματα οὕτως αὐτὰ δεῖ περιπατεῖν καὶ συγκεχωρημένους ἢ διαπεπασμένους ἵνα ἐὰν γένηται χρεία τοῦ παρατάξασθαι, ἑτοίμως εὑρεθῶσι τοῦτο καταστῆσαι :—

Ἐὰν δὲ πολλοί εἰσιν οἱ τῶν ἐχθρῶν καβαλλάριοι, ἐπιτηδεύειν αὐτῶν τὸν στρατὸν εἰς τὰς ὁδοιπορίας ποιεῖσθαι πρὸ τῆς τοῦ πολέμου συμβολῆς. ἀλλὰ πρὸ δύο ἡμερῶν ἢ τριῶν προκαταλαμβάνειν τὸν τόπον ἔνθα ἡ συμβολὴ μέλλει γίνεσθαι. κἀκεῖσε ἀσφαλῶς ἀπληκεύειν :—

Ἐὰν δὲ μέλλῃς ἔφοδον ποιεῖν κατὰ χώρας ἐχθρῶν ἐν πεζικῷ στρατῷ, διὰ δασέων καὶ δυσβάτων καὶ στενῶν τόπων, ἢ καὶ ἐν αὐτοῖς ἐγχειρίσαι καὶ ἀγῶνα ποιεῖσθαι, οὐ δεῖ σε πολλοὺς καβαλλαρίους ἔχειν μήτε ἁμάξας ἔχειν ἢ τοῦλδον πολὺν ἢ ὅπλα πολλά, οἷον λωρίκια καὶ κασσίδας, ἢ κλιβάνια, ἢ τὰ τῶν τοξοτῶν. ἀλλὰ κοντάρια μόνα ἔχειν τοὺς σκουτάτους, μείζονα κοντάρια, τοὺς δὲ λεγομένους ψιλούς, σκουτάρια, ἀκόντια, μικρὰ τζικούρια, καὶ τοξάρια ἐλαφρὰ καὶ χρήσιμα. ἀξίνας δὲ πάντας πρεπόντως χρὴ ἔχειν, καὶ ἐν τοῖς σαγμαρίοις ἐπιφέρεσθαι διὰ τὰς χρείας :—

Τὴν δὲ πεζικὴν τῶν σκουτάτων τάξιν, μὴ δὲ ἐπ᾽ εὐθείας ἤτοι κατὰ μέτωπον τάττειν χρή, ὡς ἐν τοῖς ὁμαλοῖς καὶ γυμνοῖς τόποις. ἀλλ᾽ εἰς δύο ἢ τέσσαρα μέρη ἴσως κινεῖν καὶ περιπατεῖν. ἀφέτω τὰ ἀπ᾽ ἀλλήλων ὡς ἀπὸ λίθου βολῆς :—

Ἐὰν δὲ ὦσιν καβαλλάριοι, ἡ τοῦλδος ὄπισθεν αὐτῶν τὸ τοῦλδον ποιεῖ. καὶ μετ᾽ αὐτῶν τοὺς καβαλλαρίους. καὶ μετ᾽ αὐτοὺς ὀλίγους σκουτάτους ψιλοὺς νωτοφύλακας διὰ τὰς ἀπὸ ὄπισθεν ὡς εἰκὸς ἐπιγινομένας ἀδήλους ἐφόδους :—

Τοὺς ψιλοὺς τοὺς μὲν ἐκ προπορεύεσθαι τῆς παρατάξεως μέχρι ἑνὸς σημείου ἐναντίον καβαλλαρίων. τοὺς δὲ ἐκ πλαγίων ἔνθεν κἀκεῖθεν ἀναγκαίως περιπατεῖν. ἵνα καὶ τὰ κουλκούσια γινώσκουσι, μήποτε ἐγκρύπτωνται εἰς ὄλεθρον. ἢ δένδρα ἱστάμενα τὰ ὄπισθεν αὐτῶν περιπεσούμενα ἔχουσι, καὶ χαρακώματα ἱστάμενα. ἄλλα ἀπὸ ξύλων αἰθούμενα καὶ πίπτοντα τῶν παρόδων, ἐμφράξεις ποιοῦσιν ἐν τοῖς στενώμασι καὶ ἀγῶνα τοῖς-

αἰφνιδιαζομένοις παρέχουσιν :
Καὶ ταῦτα περὶ ἐρευνητῶν. δεῖ δὲ ψιλῶν στρατιωτῶν καὶ ὀλίγων καβαλλαρίων.
ἅμα δὲ καὶ ἀποθέσθαι τοὺς κεκρυμμένους ἐχθρούς· εἶθ' οὕτως παρέρχεσθαι
τὴν παράταξιν :
Καὶ ὅπου μὲν ἀραιότεροι εἰσὶ τόποι τοὺς καβαλλαρίους προλαμβάνειν, καὶ
τὰς βίγλας ποιεῖν· ὅπου δὲ δασεῖς καὶ δυσχερεῖς τόποι τοὺς ψιλούς :
Τοὺς δὲ ψιλοὺς μὴ τέλεον ἐπ' εὐθὺ καθεὶς τοὺς σκουλκάτους, ἀλλὰ κατὰ δύο ἢ-
τρεῖς ἢ τέσσαρες ψιλοὺς ἀκολουθῆσαι τοῖς ἐπιφερομένους καὶ τὰ κουλά-
εια αὐτῶν· ἵνα ἐὰν ἐργατεύηται καὶ σκουλκεύωσιν καὶ ἀκολουθῶσιν οἱ αὐτοί.
καὶ ἕνα δὲ τοξότην ἔχειν, ὅστις καὶ ὑπ' αὐτῶν φυλαχθήσεσθαι δύναται :
Τοὺς δὲ τούτους τοὺς δεξιοὺς μὴ ἐπὶ μιᾶς παρατάξεως ἢ ἐπ' εὐθείας τὴν ὁδοι-
πορείαν ποιεῖσθαι, ἀλλ' ἐφεξῆς ἐπανιστάμενος ἵνα καὶ τοὺς νώτους ἀλλή-
λως φυλάττωσιν· καὶ ἐὰν συμβῇ τοὺς ἔμπροσθεν αὐτῶν ἀντίστασιν ἐχθρῶν
ὑπομεῖναι καὶ βαρεῖσθαι ὑπὸ δυσχερείας τόπου ὄπισθεν ἀντὶ ὥσους ἐν ὑψηλο-
τέροι γενόμενοι κατὰ τῶν νώτων τῶν ἐχθρῶν ἔρχονται· ὅπερ ἀναγκαῖον ἐστὶν ἀεὶ
σπουδάζειν τοὺς ψιλοὺς ἵνα τοὺς ὑψηλοτέρους τόπους κατὰ τῶν ἐχθρῶν προ-
καταλαμβάνωσιν :
Παραγγελλέτω δὲ καὶ τοὺς ψιλοὺς ἵνα πλεῖον τοῦ δύνασθαι αὐτοὺς ἀκούειν κο-
κίνων, μὴ χωρίζονται τῆς παρατάξεως ἵνα μὴ γυμνούμενοι βοηθοῦ ὡς ὁ
κὸς βαρῶνται :
Τῶν δὲ τεσσάρων μερῶν ἐπὶ τὸ ἔμπροσθεν κέρας πορευομένων· ἐὰν στενὸς
εὑρεθῇ ὁ τόπος ὥστε μὴ δύνασθαι τὰ τέσσαρα μέρη καθ' ἑαυτὰ παρέρ-
χεσθαι, δύο μέρη ποιεῖν εἰς διφαλαγγίαν :
Εἰ δὲ δύο χωροῦσιν κατὰ ἓν μέρος παράγειν ἐπὶ κέρας ὡς μίαν παράταξιν
καὶ τοὺς λοιποὺς ἐφεξῆς τῶν ψιλῶν ὡς εἴρηται προλαμβανόντων :
Μετὰ δὲ τὸ παρελθεῖν τὸν στενὸν τόπον πάλιν εἰς τέσσαρας ἀρχὰς ἤγουν μέ-
ρη ὡς ἐτάχθησαν ἐπὶ κέρας· ἤγουν πρὸς τὰ ἔμπροσθεν φρουρεῖν :
Εἰ δὲ πλῆθος ἐχθρῶν ἐπιφανῇ ἔμπροσθεν, ἢ ἐκ πλαγίων οἷον ζωνάδος
μέρος ὅτι πρέπει μετ' ἐκεῖνον, ποιοῦσιν ἐπιμέτωπον· ἤγουν ἐπὶ τὸ ἔμ-
προσθεν τῆς παρατάξεως, τουτέστιν εἰ μὲν ἀεὶ ἐκ δεξιῶν τῆς παρατάξεως φανῶ-
σιν αὐτοὶ τοῦ ἄκρου μέρους τῆς παρατάξεως ἐπιταχθησαμένου, ἔρχον-
ται ἄλλα τρία μέρη καὶ παρατάσσονται αὐτὰ ἐν τοῖς ἰδίοις τόποις :

Εἰ δὲ δεξιᾷ φανῶσιν τὴν μίαν μέραν, ἢ τὸ ἔνος, ἢ τὴν τοῦ ὁμοίου τόπου μεταβαλλόμενοι ποιοῦσιν τὰς ὄψεις καὶ ἐκεῖνοι:

Εἰ δὲ ἔμπροσθεν φανῶσι τὴν μίαν μέραν, ἢ τὸ ἔνος ἢ τὰ δύο, καὶ τῶν τόπων ἐν δεξιᾷ ἐκκλινομένων καὶ εἰς μέτωπον ἀποκαθισταμένων, τὰ ἄλλα δύο μέρη ἐρχόμενα ὁμοίως παραβάλλονται. καὶ γίνεται ἡ τάξις πλατεῖα ἐπὶ μέτωπον:

Καὶ εἰ μὲν ὁ τόπος ἔχει, συντεταγμένως διέρχεσθαι τοὺς ψιλοὺς τοῖς ἐχθροῖς, ἵνα καὶ μετ' αὐτῶν καὶ καβαλλάριοι κατακυκλοῦσιν τοὺς ἐναντίους. εἰ δὲ οὐκ ἔχει, συντεταγμένην αὐτὴν καὶ πεπυκνωμένην διέρχεσθαι:

Πᾶς δὲ τῶν ὁπλιτῶν ἤγουν τῶν σκουτάτων ἀκίας διττὰς καὶ ἀραιὰς ἔσεσθαι, ἵνα καὶ τὰς διαβάσεις τῶν δένδρων εὐκόλως ποιῶνται. καὶ ἐὰν οὕτως τύχη, πυκνῶνται:

Ἐὰν δὲ οὐ χωροῦνται μηδὲ ἵστασθαι τὴν παράταξιν, τοὺς δὲ ψιλοὺς ἀφιέναι εἰς τοὺς ἐχθρούς, καὶ ἐκείνων πλειόνων ἐπιβοηθεῖσθαι αὐτοῖς διὰ τῶν ὁπλιτῶν σκουτάτων καὶ διὰ καβαλλαρίων:

Παραγγέλλει δὲ πάντας ἵνα ὅταν ὡς ἐκ κραυγῆ γένηται ἐν τῇ ὁδοιπορίᾳ ὡς πολεμίων ἐπιφαινομένων, μὴ πάντως φέρεσθαι καὶ κατ' ἐκεῖνον τρέχειν τεθυμένους. ἀλλὰ τοὺς μὲν σκουτάτους τῆς τάξεως αὐτῶν ἔχεσθαι, τοὺς δὲ ψιλοὺς ἑκάστου μέρους ἐπὶ τὸ κραζόμενα συντρέχειν. καὶ μὴ τοὺς ἔμπροσθεν εἰς τὰ πλάγια προχείρως ἔρχεσθαι, ἢ τοὺς τῶν πλαγίων ἐπὶ τὸ ἔμπροσθεν μέχρις ἄνευ τῆς τοῦ ἄρχοντος ἐπιτροπῆς. ἀλλ' ἕκαστον μένειν τοῖς ἰδίοις. καὶ ἵνα ἐὰν βαροῦνται ὡς ἐκτὸς εἰς τὴν τῶν σκουτάτων παράταξιν τρέχωσιν καὶ μὴ βιάζονται ὑπὸ τῶν ἐχθρῶν:

Ἀσφαλῶς οὖν αἱ ὁδοιπορίαι τῶν πεζῶν καὶ ἁρμοδίως γίνεσθαι δύνανται. ἵνα ὡς εἴπομεν ἐν μὲν τοῖς δασυτέροις τόποις καὶ δυσβάτοις ἐπὶ κέρας, ἤγουν στενὸν ἐπιμήκη τάσσονται τάξιν. εἴτε εἰς τέσσαρα μέρη, εἴτε εἰς δύο ὡς οἱ τόποι δέχονται. ἐν δὲ τοῖς ἀραιοτέροις ἐπὶ μέτωπον ἐν πλατείᾳ τάξει εἰς πλάτος. ἐν ἀραιοτέραις μὲν ἢ τὸ πλάτος ἀκίαις. βαθυτέραις μὲν ἢ τὸ πάχος:

Γίνωσκε δὲ ὅτι ἐν ταῖς δασεῖαις ὕλαις οἱ ἐχθροὶ ἀκοντίζουσι διὰ εἰκλαρίων ἢ μεναύλων. ἀναγκαῖον ὅθεν ἐστὶ καὶ τῶν τοξοτῶν καὶ τῶν σφενδονιστῶν. διὰ τοῦτο πρέπον ἐστὶ τοὺς πολλοὺς τῶν ψιλῶν εἰς εἰκλάρια καὶ ἀκόντια ἔχειν ὡς συμβαλλόμενα γυμνάζεσθαι:

Οἱ δὲ τοξόται ἀναγκαῖοι εἰσὶν τῇ παρατάξει μᾶλλον ὑποτασσόμενοι, καὶ εἰς τάφρους καὶ κρημνώδεις καὶ εἰς στενοὺς καὶ γυμνοὺς τόπους:

Οἱ μέντοι ἀκοντισταὶ καὶ ἔξωθεν τῆς παρατάξεως εἰς τὰς ὕλας τὰς δασείας μάλιστα ἀναγκαῖοι εἰσίν. τοῦτο γὰρ οὖν καὶ ἐν ταῖς ὁδοιπορίαις παραφυλάττεσθαι, ἀναγκαῖον ἐστὶν ὡς εἴρηται:

Πρινὴ δὲ πάντας ἀπληκεῦσαι τὴν παράταξιν μηδέποτε διάλυε. μήτε ἐπὶ πεζικῆς, μήτε ἐπὶ καβαλλαρικῆς ἕως ἂν καὶ τὸ φοσσάτον ὀχυρωθῇ καὶ αἱ βίγλαι ἐξέλθωσιν:

Καὶ δὲ πάντας προστάξεις ἵνα τῇ φωνῇ τοῦ κατὰ συνήθειαν βουκίνου γνωρίζοντες αὐτὸ ἵστανται. καὶ πάλιν τῇ συνήθει φωνῇ τοῦ ἑτέρου βουκίνου, ἤγουν τοῦ κινήματος κινῶσιν. οὕτως οὖν ἡμῖν διατετυπωμένων τῶν περὶ ὁδοιπορίας στρατοῦ. ἐφεξῆς δὲ καὶ τὸν περὶ τοῦ λεγομένου τούλδου διαταξώμεθα τύπον:

## Τοῦ αὐτοῦ πολεμικῶν παρασκευῶν διάταξις ι'.

## Περὶ τούλδου καὶ ἀπλήκτου:

Δεῖ οὖν καὶ τοῦ τούλδου ἀναγκαίως σε φροντίζειν καὶ μὴ ὡς ἔτυχεν καταλιμπάνειν αὐτό, ἀλλὰ ἀσφαλίζεσθαι ὅπου ἂν καταλειφθῇ:

Μηδὲ γὰρ ἀπερινοήτως ἐπιφέρεσθαι αὐτὸ ἐν τῇ μάχῃ. συμβαίνει γὰρ καὶ παλικάρια εἶναι ἐν αὐτῷ ἀξιοπίστους τοῖς στρατιώταις, καὶ τέκνα ἢ συγγενεῖς αὐτῶν. καὶ εἴπερ μὴ ἐν ἀσφαλείᾳ τυγχάνουσι, περισπώμενοι εἰς αὐτοὺς οἱ στρατιῶται συνεχόμενοι, ἀμφίβολοι καὶ μεριζόμενοι τὰς γνώμας ἐν ταῖς μάχαις γίνονται:

Καὶ γὰρ ἑκάστῳ στρατευομένῳ ἀνδρὶ σπουδή ἐστιν χωρὶς ἰδίας βλάβης τὰ τοῦ ἐχθροῦ κερδαίνειν. ἐὰν δὲ οἰκείαν ὑφορᾶται βλάβην, ἢ ἀπέχεται, ἢ ὀκνηρότερος γίνεται:

Καὶ προ[illegible] τοῦ ἀσφαλιζομένου τοῦ τούλδου καὶ συμβολῆς δημοσίας προσδοκωμένης πλῆθος τῶν λεγομένων παλικαρίων, ἤγουν τῶν δουλευόντων τοῖς τε ἄρχουσιν καὶ τοῖς στρατιώταις ἐπιφέρεσθαι οὐ συμβουλεύομέν σοι. οὔτε ἐν τῇ ἰδίᾳ νίκῃ τῆς μάχης ἡττωμένης, οὔτε ἐν τῷ ἄλλο τι ἀπερχομέ-

νων. ἀλλὰ ζυμμίκτους εἶναι καὶ τοὺς ἐν δυνάμει ὄντας :-

Τοσούτους δὲ ἤτοι τοὺς ἐπαρκοῦντας κατὰ τὰ κοντουβέρνια ἀντέχεσθαι. καὶ διοικεῖν τὰ ἄλογα αὐτῶν πρὸς τὴν διαφορὰν καὶ τὴν ποιότητα καὶ διάζευξιν τῶν σαγμάτων. ἵνα τὸ πλῆθος τῶν ἀλόγων διὰ τὸ μὴ πολλὴν φθορὰν καὶ δαπάνην ἄπειρον καὶ περισπασμὸν εἰς αὐτοὺς γίνεσθαι :-

Τούτους δὲ ἐν τῷ καιρῷ τῆς μάχης εἰ μέν ἐστι πεζικὸς στρατὸς δηλονότι σὺν αὐτῷ, μετὰ τῶν ἐπὶ τούτῳ ἀφοριζομένων καταλιμπάνειν αὐτούς. εἴτε ἐν τῇ ἰδίᾳ πατρίδι, εἴτε ἐν ἀλλοτρίᾳ ὁ πόλεμος κινεῖται. ἀσφαλῶς δὲ αὐτοὺς εἶναι ἐν τῷ φοσσάτῳ καθὼς ἐν τῷ περὶ ἀπλίκτων δηλωθησομένῳ τύπῳ :-

Καὶ αὐτὰ δὲ τὰ σαγμάρια καὶ τὴν λοιπὴν ἀποσκευὴν ἅπερ καλεῖται δίστρατα. μετ' αὐτοῦ τοῦ τούλδου καταλιμπάνειν :-

ἃς ἐν μεθόδοις κούρσοις, ἢ ταῖς ἄλλαις ἐφόδοις ἔχειν αὐτὰ στρατιώτας τάχα καὶ μέχρι καὶ αὐτῆς τῆς ἡμέρας τῆς συμβολῆς πεφραγμένα καὶ ἐν δυνάμει :-

Ἐν αὐτῇ δὲ τῇ συμβολῇ ἐγγὺς ἔχειν τῆς παρατάξεως, ἀδὲ στρατὸν οὐκ ἀναγκαίως κεῖσθαι, ἀλλ' ἐν τῷ φοσσάτῳ καταλιμπάνεσθαι. καὶ γὰρ συμβαίνει πολλάκις καὶ ταραχῆς γινομένης εὐκόλως παραπίπτουσιν διὰ τῶν ὑπομικρῶν πολεμίων κρατεῖσθαι :-

Εἰ δὲ ζῶν ἐστι πεζικὸς στρατός, εἴτε ἐν τῇ ἰδίᾳ χώρᾳ, ἢ ἐν αὐτοῖς τοῖς μεθορίοις ἀμφοτέρων τῶν χωρῶν τῆς τε ἡμέρας καὶ τῆς πολεμίας πρὸς δὲ κατὰ τὸ ἡ μάχη σπουδαίως γίνεσθαι, καὶ οὐκ ἐγγύς ... τότε ἐν ὀχυρῷ τόπῳ ἔνθα καὶ βοσκαὶ καὶ ὕδατα ἀρκοῦντα διείσονται. ὡς ἀπὸ λ ἢ ε μιλίων καταλιμπάνειν τὰ πλεονάζοντα καὶ ἐργαλεῖα καὶ ἕτερα εἴδη ὧν χρεία οὐκ ἔστι κατὰ τὴν ἡμέραν τοῦ πολέμου :-

c. 789 ια Ἀφορίζειν δὲ καί τινας ἐν τῷ μέσῳ διαστήματι τοῦ τε τούλδου καὶ τῆς μάχης ἐγνωσμένους πᾶσι καὶ μὴ πονηροὺς καὶ φαύλους ἄνδρας. καὶ καθιστᾶν αὐτοὺς εἰς δίαστα καὶ ὑπὸ δεξιοὺς τόπους ἐν ἀρχῇ τοῦ τούλδου. δεῖ γὰρ αὐτῷ πάντως τὰ στρατιωτικά. εἰ δὲ οὐκ ἔπαυτο μὴ ἀμελῶς, ἀλλὰ σφικτῶς καὶ ὀχυρῶς ἀπλικεύειν :-

Ὅταν τύχωμεν ἐν τῇ τῶν ἐχθρῶν χώρᾳ στρατοπεδεύεσθαι περὶ βαθμοὺς ταῦ... βαθαν. εἰς μίαν μόνην ὡς εἴρηται ἀπλικεύειν ἡμέραν μέλλεις. ἀμεταν... τὸ γὰρ ἡ τοιαύτη στρατοπεδεία καὶ ἀσφαλὴς διὰ τὰς ἐφόδους καὶ ἀπε

σεσθαι ὡς ἐπιβουλάς· καταστήσεις δὲ φύλακας καὶ μακρὰν εἶναι νομίζεις τοὺς πολεμίους ὡς ἐγγὺς ὄντων :—

Ὅπου δὲ μέλλεις ποιεῖσθαι ἐπιτήδειον τὸ ἄπληκτον, μὴ ἐχθρῶν ἔφοδον. δηλονότι ὑφορώμενος, καὶ φθείρειν χώραν ἐναντίαν βουλόμενον ἐκλέγου χωρία ἐπιτήδεια. μὴ ἧττον δὲ, ἴσως ὕλας καὶ πηλὰ καὶ βάλτας ἔχοντα καὶ ὕδατα σεσημμένα. τὰ γὰρ τοιαῦτα διὰ τὰς ἀναθυμιάσεις καὶ τὰς ἀπὸ τῶν τόπων δυσωδίας νοσερά ἐστι καὶ λοιμοὺς καὶ νόσους φθαρτικὰς ἐμβάλλει εἰς τὰ στρατεύματα, καὶ πολλοὺς γὰρ πολλάκις ἐπάκουσε τῇ νόσῳ. πολλοὺς ἀπώλεσεν. ὥστε μὴ μόνον ὀλίγον κίνδυνον γενέσθαι· ἀλλὰ καὶ ἀσθενὲς τὸ στράτευμα :—

Χρήσιμον δὲ καὶ ὠφέλιμον τῷ στρατῷ γίνεσθαι. ἐὰν μὴ ἐπὶ τὸ αὐτὸ μένει ἄπληκτον πολὺν χρόνον εἰ μὴ ἄρα χειμάζει. καὶ διὰ τοῦ καιροῦ ὥσπερ πεπολιορκημένα ἔχει τὰ ἄπληκτα τὸ στράτευμα. καὶ γὰρ σωματειώδεις αἱ κείσεις ἐπὶ τὸ αὐτὸ γινόμενα τόπου· ἀέρας διεφθαρμένους ἀναπέμπουσι καὶ συμμεταβάλλουσιν εἰς νόσον, καὶ τὴν τοῦ περιέχοντος ἀέρος εὐεξίαν :—

Ἐν δὲ ταῖς παραχειμασίαις. πάντως ὡς ἀνύποπτοι ἔρχεται. γύμναζε τὰ στρατόπεδα καὶ πολεμικὰ ποίει, καὶ ἵνα συνεθίζονται τοῖς πόνοις ἵνα μήτε ἀργοὶ μήτε ῥᾳθυμῶσιν :—

Οὐ μόνον δὲ μετὰ ἐνδόξου φροντίζειν ἀπλήκτων ὅταν ἀδεῶς ἔχεις ἀπὸ τῶν πολεμίων. ἀλλὰ καὶ πολλὰς καὶ διαφόρους ἔχειν ὡς τὰς τὰς χορηγίας καὶ μάλιστα ἐν τῷ ἐκστρατεύειν· ἴσως κατὰ καιρὸν τοῦ ὅλου στρατοῦ συναγωγή. ἔνθα μάλιστα καὶ χρονίζειν δέον :—

Φρόντιζε δὲ καὶ τῶν ἐμπόρων ἵνα μὴ ἀδικούμενοι λυπῶνται, καὶ οὐ φέρουσι τὰς χορηγίας τῶν ἐπιτηδείων :—

Εἰ δὲ ἔχεις καὶ ἥττης ἐναντία ἐνοχλῇ ἀσφαλίζεσθαι ἢ ὀρύγμασιν ἢ πάγαις, ἢ ὁλοκλήρῳ τάφῳ. ὃ λέγουσι φόσσα, ἢ τριβόλοις, ἢ οἰκοδομαῖς, ἢ ἀπὸ ξύλων, τάφρῳ
ἢ ἀπὸ λίθων, ἢ ἄλλως ὡς δύνασαι ἐπινοῆσαι :—

Ἔχεις δὲ καὶ βίγλας ἔξωθεν, ἀλλὰ καὶ ἁμάξαις. εἰ χαρακώσεις ἐὰν ἔστιν χίαν δυνατόν, ὁ χάρακα πήξεις. ὃ λέγεται βαρδάτον· εἴτε ἀραιὸν εἴτε πυκνὸν ἔδειν ὡς ἂν δύναμιν ἔχει· εἴτε διὰ ξύλων τμητῶν ἢ δένδρων κοπτέντων :—

Δεῖ γὰρ πάντως ἀσφαλῆ εἶναι ἔχειν τὰ ἄπληκτα, ἐὰν μὴ ἄρα ἐν τῇ ἡμετέρᾳ ἐστὶ χώρᾳ ἢ γυμνασίας χάριν γίνεται· ἢ ἄλλου τινὸς χρειώδους ἕνεκεν ἡ τοῦ στρατοῦ κίνησις :—

Μάλιστα δὲ φροντιστέον καὶ τῶν πλησίον χωρίων ὑπὸ τὴν τῆς βασιλείας ἡμῶν ἵ-
να μὴ ἀδικοῦνται παρὰ τῶν στρατιωτῶν· καὶ κατ᾽ ἐξαίρετον τῶν γεωργῶν. δύ-
ο γὰρ ταῦτα μοι δοκοῦσιν ἐπιτηδεύματα λίαν ἀναγκαῖα πρὸς σύστα-
σιν καὶ διαμονήν· γεωργικὴ μὲν τρέφουσα καὶ αὔξουσα τοὺς στρατιώτας· στρα-
τιωτικὴ δὲ ἐκδικοῦσα καὶ περιφυλάττουσα τοὺς γεωργούς· αἱ δ᾽ ἄλλαι ἐ-
πιτηδεύσεις δευτέραι τούτων ἐμοὶ καταφαίνονται. διὰ τοῦτο καὶ ἀναγκαῖ-
ον ἀεὶ τούτων ἐπιμελεῖσθαι, καὶ τὰ ὑπὲρ αὐτῶν φροντίζειν ἑκάστοτε. ὡς ἂν
καὶ οἱ στρατιῶται δικαίως τρεφόμενοι ἀνδραγαθῶσιν, καὶ οἱ γεωργοὶ μὴ
ἀδικούμενοι σίχαις αὐτοὺς ταῖς ἁρμοζούσαις προσπίπτουσιν:

Πολεμίων δὲ ἐπικειμένων, καὶ προσδοκωμένου πολέμου ἐὰν προλαβὼν
ἐν φοσσάτῳ διάγῃς ὦ στρατηγὲ καὶ τοὺς ἐχθροὺς ἀναμένῃς:

Εἰ δὲ καὶ πολὺ ἐγγίζουσιν οἱ ἐχθροί, οὐκ ἄτοπον ἔξω τοῦ περιπάτου ὡς ὁρι-
ἕκαστον ζευγνύειν τὸν χάρακα τὸν ὀφείλοντα ἀποκλεισθῆναι. οὐδὲ γὰρ μετὰ τὰ
πληκεῦσαι πολλάκις συγχωροῦνται οἱ παῖδες ἐξελθεῖν καὶ χορτολογῆσαι.
πλέον μάλιστα καβαλλαρίων τῶν ἐχθρῶν διεισιόντων:

Καὶ περὶ γὰρ οὐ δίκαιον καὶ τὰ εἰς δευτέραν τάξιν ἀφορᾶν· πολλάκις δὲ
τὰς ἔξωθεν ἐναντίους σκοπεῖν καὶ προασφαλίζεσθαι τὸ μέλλοντα μὴ-
μετὰ μέλλεσθαι ἴσχειν, καὶ μάλιστα τὰς ἀποστροφὰς ἢ μικρὸν ὀλίγον τοῦ
~~στρατοῦ~~:

Τὸν στρατὸν ἔχειν δὲ τὴν περίμετρον τοῦ φοσσάτου. τέσσαρας μὲν παρὰ τὰς
μεγαλοτέρας καὶ δημοσίας, παραπόρτια δὲ μικρὰ πλεόνα καὶ καθ᾽ ἑ-
κάστην πόρταν. ἤτοι ἔξοδον ἔχειν ἄρχοντα τὸν πιστὸν ἀπληκεύοντα πρὸς
φυλακὴν αὐτῆς. ἔσω δὲ παρ᾽ αὐτὰς τὰς ἁμάξας τὰς τῶν ψιλῶν τέντας ἁπλὰς
παρακειμένας. ἤτοι τῶν τε ἀκοντιστῶν καὶ τῶν τοξοτῶν. καὶ ἀπέχειν
καιροῦ διάστημα:

Σὲ δὲ τὸν στρατηγὸν εἰς ἐν μέσῳ καὶ μὴ ἐν τῷ μέσῳ τῆς πλατείας, ἵνα μὴ καὶ
τῇ μέσῃ ἐμποδίζῃς τὴν πάροδον καὶ ὑπὸ τῶν παρερχομένων ὀχλῆσαι.
τοὺς δὲ καβαλλαρίους ἐὰν γένηται καιρὸς εἴσω ἐν τῷ μέσῳ τοῦ φοσσά-
του ἀπληκεύειν καὶ μὴ ἐν τοῖς ἄκροις:

Τοὺς δὲ ζευγηλατοῦντας τῶν καμήλων μετὰ τῶν ὑπ᾽ αὐτοὺς ταγμάτων εἰς τὰς
πόρτας τοῦ φοσσάτου ἀφορίζεσθαι· ὥστε μετὰ τὰς ἑσπερινὰς νύκτας
μηδένα θαρρεῖν μέχρι τοῦ δεδειγμένου σημείου παρὰ τὸ λύχνιον τοῦ στρατη

τοῦ αὐτοῦ εἰσέρχεσθαι, ἢ ἐξέρχεσθαι ἐν τῷ φοσσάτῳ:

Τὰς δὲ νυκτερινὰς βίγλας τῶν καβαλλαρίων, ἔξωθεν ὄντων ἀσφαλῶς γίνεσθαι:

Ἕκαστος δὲ τουρμάρχης ἵνα ἴδιον μανδάτορα ἵνα εἴσῃ· ὥστε εἶναι εἰς τὴν κόρτην τοῦ στρατηγοῦ προσεδρεύοντα· ὁμοίως δὲ καὶ τοὺς δρουγγαρίους καὶ κόμητας εἰς τὴν τένταν τοῦ τουρμάρχου, ἵνα διὰ τούτων συντόμως γινώσκωσι πάντες τὰ ἐντελλόμενα:

Ἔχειν δέοι τὸν στρατηγὸν περὶ ἑαυτὸν βουκινάτορας, καὶ μικρῶν βουκίνων καὶ μεγάλων· καὶ τοῦ εἰθισμένου βουκίνου σαλπίζοντος περὶ ἑσπέραν παύεσθαι τῶν πόνων, καὶ δὴ ποιοῦντας ψάλλειν τὸν τρισάγιον ὕμνον:

Ἀφορίζεσθαι δὲ καὶ τινὰς ἐθνικοὺς τοὺς αὐτοὺς πιστούς ἵνα καταμανθάνωσι τὰς βίγλας, καὶ πᾶσι παραγγέλλωσι σιωπὴν ἔχειν· ὥστε ἐξ ὀνόματος μὴ θαρρεῖν ἐν κραυγῇ καλεῖν τὸν ἕτερον αὐτῶν. πολλὰ γὰρ τὰ ἐκ σιωπῆς ἀγαθά, καὶ ὅτι πολλάκις κατάσκοποι πολεμίων ἐν τούτῳ τῷ τόπῳ ἐν τῷ στρατοπέδῳ λανθάνοντες, ἐφωράθησαν καὶ ἐκρατήθησαν· ἐκ δὲ καὶ ἐκ τῆς κραυγῆς πολλὰ τὰ συμβαίνοντα βλαβερά:

Κωλύειν δὲ καὶ τὰς ὀρχήσεις καὶ μάλιστα τὰς ἑσπερινάς, καὶ ἄλλα ἤτοι παίγνιον· ὡς μὴ μόνον ἀκόσμους καὶ θορυβώδεις ποιοῦντα ἀταξίας, ἀλλὰ καὶ κόπους ἀνωφελεῖς παρέχοντα:

Ὅταν μέλλῃς μεταστῆναι εἰς ἕτερον τόπον καὶ ἀπληκεῦσαι τὸ στράτευμα, καὶ βούλει λανθάνειν τοὺς πολεμίους, ἢ τόπους ὀχυροὺς προκαταλαμβάνεσθαι προκαιρικῶς, ἢ τοὺς ὄντας βιότους φεύγειν δόλιναs ἐκ τῶν πολεμίων βλάβας καὶ οὐ βούλει ἐλθεῖν εἰς ἀνάγκην τοῦ μάχεσθαι· πυρὰ ἄλλα πολλὰ καύσας ἀναχώρει. βλέποντες γὰρ οἱ πολέμιοι τὰ φῶτα δόξουσιν ἔτι ἐν τῷ ἀπληκτῷ σε μένειν καὶ ἐκλήσονται σου τὸ βούλημα: προκαταλαβέσθαι

Τοῦτο δὲ καὶ Νικηφόρον ἴσμεν τὸν ἡμέτερον στρατηγὸν πεποιηκέναι· ὅτε κατὰ Συρίας ἀπεστάλη παρ' ἡμῶν μετὰ δυνάμεως ἱκανῆς πολλήν τε ποιησάμενον λεηλασίαν. καὶ οὕτω μεταληφθεὶς ἐν μέσῃ τῇ πολεμίᾳ τῶν ἐχθρῶν αὐτόθι που ζωννυμένων οἷς ἐπεφέρετο, ἤγουν τῶν βαρβαρικῶν δυνάμεων· τήν τε αἰχμαλωσίαν τὴν βαρβαρικὴν καὶ πᾶσαν τὴν ἄλλην πραῖδαν ἣν εἶχεν ἀβλαβῶς διεσώσατο, λεηλατήσας τὴν πολεμίαν:

Κατὰ δὲ τὴν Βουλγάρων ἐκστρατείαν, καὶ ἕτερον αὐτοῦ ἐπινοηθὲν περὶ φω-

λακὴν ἀπλήκτου ἐξ ἴσης μὲν. ὅπερ χρὴ μὴ λάθῃ παραπεμφθῆναι. ὅ-
μως ταῦτα γὰρ ἥλαφεν ἐν τοῖς βασάλοις καὶ ἀναγκαῖον εἰς φυλακὴν ἐλυσει-
αι. τὴν

απαθανατον, ἢ ὀλίγῳ πλέον χαμπα εἰς συνέμιξεν :—

Οὐ δὲ τοὺς πεζοὺς μετὰ τῶν καβαλλαρείων δεῖ ἀπληκεύειν, πρὶν ἢ τοὺς ἐχθροὺς
ἐγγίσαι ἐν τῷ φοσσάτῳ. ἀλλ᾽ ἔξωθεν τοῦ, πλησίον δὲ τοῦ φοσσάτου ἵνα μὴ
δι᾽ ἧς στενοχωροῦνται, μηδὲ διὰ εἰσόδου φαίνονται τοῖς κατασκόποις. δο-
κιμάζει δὲ πρὸ ὀλίγων ἡμερῶν εἰς πόσον διάστημα χωροῦνται, καὶ
πῶς μέλλουσιν ἀπληκεύειν. ἐὰν γένηται αὖθις καιρὸς βοηθεῖν μετὰ
τῶν καβαλλαρείων :—

Ἐὰν δὲ οἱ ἐχθροὶ ἐλπίζωσιν ἵνα συναπλοῦνται οἱ καβαλλάρειοι τοῖς πεζοῖς,
ἐν ἑτέροις ἅμα ἀπληκεύσωσιν ἐν τοῖς τεταγμένοις τόποις :—

Ἐν δὲ τῷ τοῦ πολέμου καιρῷ δέοντι εἰς ὀχυροὺς τόπους τὰ ἄπληκτα
ἐπινοεῖν, καὶ φροντίζειν τῶν ἐπιτηδείων· μὴ μόνον ὡς ἕρματα τῶν
ἀποστροφῆς, ἀλλ᾽ εἰ δυνατὸν καὶ τῶν ἀλόγων διὰ τὸ ἄδηλον τοῦ πολέ-
μου καὶ ἐπιμελεῖσθαι :—

Καὶ τὸ τῆς φοσσάτου ποιεῖν ὀχυρὸν καὶ στενὸν ἐν αὐτῷ καταγιμιπαίνειν τὸν
ἀρκοῦντα, ἵνα μὴ ὁ τῶν πολεμίων στρατὸς ἐπιβουλεύσῃ λύχεαν
καὶ διαφθείρῃ τοὺς ἔσωθεν. τὰς δὲ ἁμάξας ἀκολουθεῖν ἐν τάξει :—

Εἰ δὲ δυνατός ἐστιν ὁ τόπος καὶ ἀνώμαλος, τῶν τῆς καραγῆς ἤτοι τὰς ἁ-
μάξας καὶ τὰ ὅμοια. καὶ τὸ λοιπὸν τοῦλδον εἰς τὸ φοσσάτον
καταγιμιπαίνειν μετὰ ὀλίγων τῶν ἁμαξηλατῶν εἰς
παραφυλακήν. τὴν δὲ παράταξιν πλη-
σίον τοῦ φοσσάτου ποιεῖν
ἐν ἐπιτηδεί-
οις :—

## Τὸ δ᾽ αὐτοῦ πολεμικῶν παρασκευῶν διάταξις ια.
## Ὅσα τε καβαλλαρικὰ καὶ ὅσα πεζικά :—

Ἐὰν οὖν ἐν ταῖς παρατάξεσιν τοῦ πρὸς τὰ ξόανα ἐστὶν ὁ πόλεμος, τοὺς δυσχερεῖς τόπους
καὶ τοὺς πρόποδας τῶν ὀρέων ἤγουν τὰς πρώτας ἀναβάσεις ἐπὶ τὰ ὄρη, τοὺς τοῦ
φυ      καὶ μὴ ἐναντίοις συμβάλλειν τὴν μάχην ἐπὶ ἐδάφεσιν ἐστίν. καὶ ἡ ἐν τῷ
ψιλὴν παράταξιν ἑστάναι ἤγουν ἀποβαίνειν τοὺς ὄρους καὶ ἐνδόσιμα τῷ ἑτέρῳ ὅπου      ἐ γυμνα
παρατείνων, ἵνα μὴ τῶν ἐχθρῶν ὡς εἰκὸς ἔνθεν ἐνεδρευόντων ἀπὸ τοῦ ὕψους ἡ
παράταξις ἀθρόως βιάζεται:

Ἀλλὰ μηδὲ συμπλέκου παράταξιν πολεμίων. μηδὲ τὴν ἰδίαν τοῦ προδείκνυε αὐτ
τὴν τάξιν αὐτῶν καταγνοίσης.      τὰς ὡς εἰκὸς μεμελετημένας πρὸ αὐτῶν
ἐνεδρ      ἐντρεχέστατα πολυπραγμονήσης:

Ἐὰν δὲ οἱ τόποι ἐν οἷς μέλλεις συμβάλλειν γυμνοί εἰσι καὶ πεδινοί καὶ οὐκ ἔστιν ἀκό
λως τὴν δευτέραν σου τάξιν κρύπτειν ἐν αὐτοῖς εἰς τὸ μὴ τοὺς ἐχθροὺς προγινώσκειν
ἐν τῷ κινεῖν τὸν στρατὸν εἰς τὴν μάχην. ἐντεῦθεν ἔδει τὴν δευτέραν τάξιν κατόπιν
τῆς πρώτης πλησίον συνακολουθεῖν ποιεῖν, ὥστε τὰς δύο ὡς μίαν τοῖς ἐναντίοις
φαίνεσθαι. ὅταν δὲ ὡς      ἑνὸς μιλίου τῆς τῶν πολεμίων γένηται παρατάξεως
τότε τὴν δευτέραν χρεὼν κατόπιν ἐμβραδύνουσαν, χωρεῖσθαι αὐτὴν τῆς πρώτης τὸ
ἀφωρισμένον διάστημα καὶ εἰς τὸ ἴδιον χωρίον καθίσαι ὥστε εἶναι δευτέραν παρά
ταξιν. ἐντεῦθεν γὰρ τοῖς πολεμίοις οὐκ εὐγνωστος πρὸ πολλοῦ γίνεται ἡ παράταξις:

Τὰς δὲ ὑποχωρήσεις καὶ φυγὰς τῶν ἐχθρῶν σκέπτου ἐμμελῶς ἀκριβῶς ἐπιτρέχε διὰ
τὰ θεωρήματα ὡς εἰκὸς γινόμενα. ἀλλὰ ἐν συντάξεως δίωκε ἕως λάβης πλη
ροφορίαν τῆς ἀσφαλείας τῆς νίκης:

Ἐὰν δὲ ἀπὸ τῶν ἐχθρῶν ἐπέλευσις μανθάνῃ ἐπὶ τῆς πρώτης παρατάξεως καὶ οὐκέ
τι πῶς ἢ διὰ τῶν παλαιοφυλάκων, ἢ διὰ τῶν εἰς ἐνέδραν κατὰ τῶν ἐχθρῶν πεμπο
μένων βοηθῶν. τότε δέον ἐστὶ τῶν εἰς τὰ ἄκρα τῆς δευτέρας παρατάξεως τασσο
μένων τινὰς μετατίθεσθαι εἰς αὐτούς. εἰ μὲν ἐξ ἑνὸς πλαγίου ἔρχονται, ἐξ ἐ
κείνου τοῦ μέρους. εἰ δὲ ἐκ τῶν δύο ἐξ ἑκατέρωθεν. ὁμοίως δὲ καὶ τοῖς κατὰ νώ
του τῆς δευτέρας τάξεως ἐρχομένοις ἐὰν μὴ ἀρκοῦσιν οἱ νωτοφύλακες αὐτοὺς δι'
ἑαυτῶν ἀρμόζεσθαι. τὰ αὐτὰ ποιήσεις ἵνα οἱ λοιποὶ ἀπερίσπαστοι μένωσιν πρὸς
βοήθειαν τῆς πρώτης παρατάξεως:

Ἐὰν δὲ πολύς ἐστιν ὁ τῶν πολεμίων ἐχθρῶν στρατὸς καὶ διὰ πλῆθος ἀλόγων ἢ ἀνδρῶν κόμπος ἴσως ἐξηπλωμένος φαίνηται, μὴ ἐπιτήδευε εὐθὺς εἰς ὁμαλὸν τόπον τὸν στρατὸν τάττειν μηδὲ κάτωθεν τῶν ἐχθρῶν ὄντων, ἵνα μὴ τῇ θέᾳ τοῦ πλήθους προκαταλαμβανόμενος δειλιάσῃ προχείρως· ἀλλ' ἐν κοιλοτέρῳ τόπῳ τάσσε αὐτούς, ὅποθεν οὔτε κατοπτεύει τοὺς ἐχθρούς, οὔτε καθορᾶται ὑπὸ τῶν ἐχθρῶν. καὶ ὅταν ἢ ἀπὸ ἑνὸς ἢ ἀπὸ ἡμίσεως σημείου γένωνται οἱ ἐχθροί, τότε ἐν τῷ ἐμφανεῖ φέρειν τὸν στρατὸν ἵνα πρὶν δειλιάσῃ ἡ συμβολὴ γένηται:

Εἰ δὲ μὴ δέχεται ὁ τόπος τοιοῦτος, ἀλλὰ μακρόθεν οἱ ἐχθροὶ τῷ στρατῷ φαίνονται, πειρῶ λέγειν τῷ στρατῷ ἐν αὐτῇ τῇ παρατάξει ὅτι ἀλόγων ἢ τούλδου πλῆθος ἐστὶ τὸ φαινόμενον καὶ οὐκ ἀνδρῶν μόνον:

Ἐὰν δὲ τοῦτο δυνατόν ἐστι καὶ πρὸ τοῦ παρατάξασθαι τοὺς πολεμίους, συμβάλλειν αὐτοῖς ἐξετάσουσά τις οὕτω μᾶλλον αὐτοὺς βλάψαι ἰσχύσεις:

Πάντως δὲ ἓν ἢ καὶ δεύτερον βάνδον ἔχε ὡς ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου τῆς παρατάξεως πρὸ τοῦ πολέμου ἐν ὅλῳ τάσσεται ὁ στρατός, ἵνα μὴ δύνανται ἔξωθεν οἱ πολέμιοι πρὸ τῆς μάχης κατασκοπεῖν τὴν τάξιν καὶ θεωρίζεσθαι κατ' αὐτῆς:

Καὶ ἐὰν πεζικὸς οὐκ ἔστι στρατός, τοὺς παῖδας τῶν στρατιωτῶν ἤτοι τοὺς δουλεύοντας αὐτοῖς καταλιμπάνειν· ἐπεὶ διαμερίζεσθαι δι' ὅλου τοῦ ἐν τῷ φοσσάτῳ ἀπλήκτου, ἕκαστον περὶ τὴν ἑαυτοῦ τάφρου μετὰ ὅπλων. εἴτε τοξεύειν δύνανται εἴτε ἀκοντίζειν εἴτε σφενδονᾶν, ἀλλὰ καὶ ἓν βάνδον μετ' αὐτῶν τὸ ὀφεῖλον βιγλεύειν καὶ τὰς πόρτας τοῦ φοσσάτου φυλάττειν, ἤγουν τοῦ περιπεφραγμένου ἀπλήκτου. καὶ ἄρχοντα δὲ ἐγκρίτων τοῦ ὅλου τούτου φοσσάτου:

Μηδέποτε δὲ τοῦλδον ἐπὶ παρατάξεως περίφερε εἰ δυνατόν ἐστιν· καὶ γὰρ ἕτοιμον τοῖς ἐχθροῖς βρῶμα γίνεται ἐὰν ἐν μάχῃ εὑρεθῇ:

Ἐὰν μέντοι ὡς εἰκὸς ὅτι προσώπως ἐν ἀδήλως ἐπέλευσις παρὰ τῶν ἐχθρῶν γένηται καὶ ἀφθάσῃς ἀπληκεῦσαι καὶ ἀσφαλίσασθαι τὸ τοῦλδον, τότε φέρε αὐτὸ κατὰ τοῦ δεξιοῦ μέρους ἐν πλαγίου τῆς δευτέρας παρατάξεως, καὶ ἐκεῖ τάσσε καὶ ἓν ἢ δεύτερον βάνδον ἐκ τῶν περισσῶν εἰς παραφυλακὴν τοῦ ἀφρεῖζε:

Ἐὰν δὲ μὴ ἔχουσιν ὡς εἰκὸς προαποδεχόμενοι χόρτον κἂν ἐν αὐτῇ τῇ τοῦ πολέμου ἡμέρᾳ τῶν ἀλόγων ὁ πλείων ἐπὶ τὴν παράταξιν κινούμενον τὰ πεζικά ἐστιν ἐν τῷ στρατῷ καὶ τῶν ἀρχόντων, ἵνα ἐξέρχωνται εἰς τὸ μέρος τὸ ὄπισθεν τῆς παρατάξεως τοῦ ὅλου στρατοῦ μετ' ὀλίγων βιγλατόρων ἐκ τοῦ τῆς παρατάξεως με

ἐους καταλιμπανομένων. καὶ συνάγουσι τὸν ἀρκοῦντα χόρτον ἐν ὅσῳ ὁ πόλεμος γίνεται:

Τοῖς δὲ χορτολογοῦσιν ὀχυροὺς δεῖ εἶναι βάνδα καὶ σημειώσεις ἐν ὑψηλοτέροις τόποις καὶ διαφόροις, ὥστε ἐναντίου τινὸς συμβαίνοντος τὸ ἀνακλητικὸν προσγίνεσθαι. τότε ἀναχωρεῖν αὐτοὺς δεσμίως καὶ ἐπὶ τὸ φοσσάτον σώζεσθαι ἵνα μὴ ἔξω ἀποκλεισθῶσι. τοῦτο δὲ ἀναγκαῖον ἐστὶ γενέσθαι διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως. ἐὰν γὰρ ἐναντίως ἐκβῇ τὸ πρᾶγμα, δαπάνην ἔχοντες τῶν ἑαυτῶν καὶ τῶν ἀλόγων οἱ στρατιῶται, θάρσος ἑαυτοῖς πρὸς τὸ ἀναμάχεσθαι ἀνακαλοῦνται, ἤγουν καὶ πάλιν πολεμεῖται καὶ νικᾶται. εἰ μὴ τοῦτο, εὐθέως ἀναχωρήσουσι μετὰ τάξεως ἐκ δυνάμεως τῶν ἵππων αὐτῶν εὐεισπορούμενον περὶ ἢ τάχει διὰ τῶν αὐτῶν φρονήματα ἐπὶ πλέον καταπέσωσι, καὶ αἱ τῶν ἵππων δυνάμεις· ὅπερ γενέσθαι δύναται. ἐὰν μὴ ἔστιν ἐν ἑτοίμῳ ἡ δαπάνη, ἐν γὰρ ἥτταν οὐδεὶς θαρρεῖ ἐξέρχεσθαι εἰς συλλογὴν χόρτου, καὶ οἱ ἵπποι λιμώττοντες ἀθυμίαν τοῖς στρατιώταις παρέχουσι, καὶ βουλὴν πρὸς συμφέρον οὐκ ἔστι γενέσθαι τῆς ἥττας καὶ τοῦ φόβου βιαζομένων αὐτήν. ἀλλὰ χρὴ πάντως καὶ τὴν τῶν ἀλόγων ἀποτροφὴν παραλείπεσθαι μιᾶς ἢ καὶ δευτέρας ἡμέρας εἰ δυνατὸν καὶ πλέον· μάλιστα ἐὰν καὶ πλησίον τοῦ φοσσάτου ἐστὶν ἡ βοσκή:

Εἰ δὲ κατὰ τὴν πρώτην ἡμέραν τῆς συμβολῆς τοῦ πολέμου ἐναντία ἔκβασις παρακολουθήσει, ὃ μὴ γένηται, ἤγουν ἐκ παντοίως ἀπρόσφορον καὶ ἀσύμφορον φαίνεται τὸ κατὰ τὰς αὐτὰς ἡμέρας, ἤγουν κατὰ τὸν αὐτὸν καιρόν, πάλιν πρὸς δημόσιον πόλεμον ἐξάγειν τοὺς ἐκ τῆς παρατάξεως ἡττηθέντας. διὸ οὐ δεῖ συμβουλεύομεν τῷ στρατηγῷ πρὸς τοῦτο ἐπιτηδεύειν. πᾶσι γὰρ πάντοτε δυσχερές ἐστι τοῦτο καὶ οὐδεὶς ἔσωθεν ἀδεῶς τὰς ἥττας ἀναμάχεσθαι. ἀνάγκη γὰρ τοῦτο καὶ ῥωμαίοις ἀνοίκειον. ὥστε εἰ καὶ σφάλμα παρακολουθήσει καὶ ἡττηθῇ ὁ στρατηγὸς διὰ τῆς δευτέρας μάχης τοῦτο διορθοῦσθαι. οὐκ ἔστιν ἱκανὸν τὸ πλῆθος τὴν αἰτίαν διαγινώσκειν προαιρέσει εἰς δημοσίαν μάχην ἐλθεῖν ἀσθενῆ. ὡς γὰρ ἐν θέσει ψήφου, οὕτως τὸ ἀποτέλεσμα δεχόμενον ἐν πᾶσι δῆλα γίνεται:

Διὸ χρὴ σε ἀνάγκης καὶ περιστάσεως χωρὶς μὴ ἐπιτηδεύειν φανερᾶς συμβάλλειν μάχην μετὰ δημοσίαν ἧτταν διὰ παρατάξεως, ἀλλὰ δόλοις καὶ ἀπάταις σπούδαζε καιρὸν σκοπεῖν ὅπως αἰφνιδίως ... ἐν τοσούτῳ εἰς λήθην τῆς δειλίας γενόμενος ὁ στρατὸς θαρρήσει τὸ πάλιν ποιήσασθαι συμβολήν. δι'

εὐλόγους αἰτίας πολλάκις ἐπισυμβαινούσας, ἃς ἄρτι γράφειν οὐκ ἔστιν εὔκολον:

Ἐὰν δὲ καὶ ἅπαξ θαρραλέως συμβαλὼν μετὰ τὴν ἀποβολὴν ὑποστῇ, διὰ τὴν πρὸς μάχην τάξιν ὡς καταπροδοθεῖσαν, εἰς δευτέραν τάξιν ποιεῖν· καὶ τὴν δευτέραν εἰς πρόσμαχον μετὰ τῶν ἐν τῇ πρώτῃ· μικρότερα γὰρ διὰ τῆς πρώτης καθαίρεσιν οὐκ ἐξαρκεῖ:

Ἄλλους δὲ ἐμβραδύνειν διὰ ἀσκόπως ἐπὶ ταῖς ἐναντίαις ἐκβάσεσι τοῦ πολέμου, εἰ μή που ἢ τῆς συμμαχίας ἢ ἑτέρας τινὸς βοηθείας προσδοκᾶται, ἢ ὡς δεινὸς ἀποκειμένης παρὰ τῶν ἐχθρῶν γίνεται· οὐ γὰρ ἀναγκαῖον μή που βλακεύειν πρὸς ἐχθρούς, ἀλλὰ διὰ ταύτην μανθάνειν καὶ ἐὰν τὸ περικυκλούμενον παρευθὺ γίνεσθαι δύναται, μὴ ἀναβάλλεσθαι ἀλλὰ πρὸς αὐτὴν αὐτὸ ἀσφαλῶς διοικεῖν ἢ ὅρκου. εἰ δὲ ἐπιβλαβές ἐστι καὶ δι' ἐπιθέσεως τινὸς καὶ χαύνωσιν τοῦ ὄχλου χαλεπαίνει, τὰ ἐναντία διαφυλάξειν συγκλεισθέντων τῶν περικυκλουμένων, ἵνα μᾶλλον ὁ στρατηγὸς πρὸς ὀργὴν διανιστάμενος ὑπ' ἀνάγκης ἰσχυροτέρως τοῖς ἐχθροῖς ἀντικαταστῇ, καὶ ἐκ πιθανῶς ὁ ἄρχων γένηται· ὅτε γὰρ βραδύτης γίνεται, τότε οἱ ἡττηθέντες δειλότεροι γίνονται, καὶ οἱ νικήσαντες θρασύτεροι:

Πρὶν ἢ οὖν σφάλλειν τὰ φρονήματα καταπέσωσι, χρὴ τὸν στρατηγὸν διὰ τῶν ἀρχόντων τῶν ταγμάτων καὶ τῶν δεκάρχων καὶ πεντάρχων περιέρχεσθαι τὸν στρατὸν καὶ εἰπεῖν ὡς οὐκ ἔστι καιρὸς δειλιᾶν, ἀλλὰ ὁρμηθῆναι μᾶλλον κατὰ τῶν ἐχθρῶν. καὶ τὸ γενόμενον παραίνων σφάλμα ἀθρόως ἀνακαλέσασθαι· ταῦτα καὶ τὰ ὅμοια διαλαλεῖν:

Καὶ εἰ μὲν δυνατὸν ἢ τῆς τοιαύτης παρατάξεως διὰ συνουσίας τὴν μάχην ἀνακαλέσασθαι, τῇ προειρημένῃ μεθόδῳ χρηστέον. εἰ δὲ τοῦτο οὐ προβαίνει, διὰ συμφερόντως τῶν κινδύνων καταλιπεῖν:

Καὶ εἰ μὲν πεζοὶ ὦσιν οἱ νικήσαντες ἐχθροί, σπουδάζειν μετὰ τῶν ἵππων ἀτάκτως τὰς ἀναχωρήσεις ἤδη μετὰ στάσεως τοῦ φοσσάτου ἐκείνου ἀσφαλῶς ποιεῖσθαι καὶ μὴ ἀναμένειν:

Εἰ δὲ καβαλλάριοι ὦσι μάλιστα τῶν περιστρέφων καὶ βαρυτέρων ἀλόγων καὶ σκεπασμάτων διὰ περιφρονεῖν καὶ πεζῇ καθίστασθαι, καὶ ἀνθυπολίπων καβαλλαρίων πάντες εἰς δύο φάλαγγας ἤδη τάξεις, ἢ καὶ ὑπὲρ τετραγώνου πλινθίου σχῆμα παρατάξασθαι· καὶ μέσον τὰ ἄλογα, ἢ καὶ τὸ τοῦλδον φέ-

ρειν. ἔξωθεν δὲ ἔχειν τοὺς στρατιώτας ὡς εἴρηται ἐν τάξει. καὶ τοὺς τοξότας ἔξω τάφρου. καὶ οὕτως τὰς μεταστάσεις καὶ ἀναχωρήσεις ποιεῖσθαι ἀσφαλῶς :-

Πάλιν δὲ ἐὰν αἰσίως τὰ τοῦ πολέμου ἐκβῇ, καὶ τοῦ θεοῦ βοηθοῦντος ἄρξηται ἡ νίκη, οὐ δεῖ ἐπὶ τούτῳ καὶ μόνῃ ἀρκεῖσθαι ὡς ἀπειροκάλους μὴ εἰδότας χρῆσθαι τῷ καιρῷ. ἀλλὰ ἀκαίρως ἀκούειν φιλοῦντας τὸ νίκα καὶ μὴ ὑπερνίκα. καὶ ἐνδιδόντας ἀσφαλεστέρως καὶ μείζονα τῆς ἐνδόξου τοῦ καιροῦ κάματον ἐπιφέροντας, καὶ ἄδηλον τὴν μέλλουσαν ἔκβασιν ἑαυτοῖς κατασκευάζοντας. ἀλλὰ δεῖ τῇ τοῦ ἐχθροῦ ἥττῃ καλῶς ἐπιμένειν :-

Εἰ δὲ ἐν δοχυρώματι καταφεύγει, σπουδάζειν ἢ χρεία ἢ διὰ τῶν λεπτοτάτων εἰσόδων τῶν αὐτοῖς, ἢ τοῖς ἀλλοτρίοις διὰ παραφυλακῆς στενοχωρεῖν αὐτοὺς μέχρι τῆς αὐτῶν καταλύσεως, ἢ ἐπὶ φιλοτίμων γινομένων συμφώνων καὶ μὴ δὲ ἐκκλύεσθαι τῇ ὀλίγῃ ἐπιστάσει. μηδὲ ἀμελεῖν τοῦ πράγματος ἐκβάσεως διὰ τὴν καρτερίαν μετὰ τοσοῦτον, καὶ μετὰ τοσοῦτον ἐκ τοῦ πολέμου κίνδυνον. ἐπεὶ τὸ ἐπὶ τοῦ κεφαλαίου τὸ παρὰ μικρὸν ἀντὶ τοῦ μηδενός ἐστι :-

Μηδαμῶς περιφρονεῖν τῆς τῶν στρατιωτῶν εὐταξίας ἀπὸ τῆς νίκης, ἀλλὰ ζημιουμένους δι' αὐτῶν καὶ τῶν ἐπισκοπούντων τοῦ στρατηγοῦ τὰ δέοντα. οὐκ ἀρκεῖ γὰρ δύναμις μόνη εἰς ἀσφάλειαν ἰσχὺν ἢ βλάβην τῶν ἐχθρῶν, ἀλλὰ μετὰ τὴν τοῦ θεοῦ βοήθειαν καὶ ἡ τοῦ στρατηγοῦ διοίκησις ἀναγκαία ἐπὶ πάντα τυγχάνει :-

Πρέπον ὅσον ἐστί, ὦ στρατηγέ, τοῖς τε καιροῖς καὶ τοῖς τόποις ἁρμοδίως κεχρῆσθαι. καὶ ἐὰν δοκιμάσῃς τὸ ἐπάντως γενέσθαι πόλεμον δημόσιον, πάντα σκοπήσῃς καὶ τόπον ἐπιτήδειον, γυμνόν τε καὶ ὁμαλὸν διὰ τοὺς κονταράτους. καὶ μὴ μόνον τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ καὶ ὀπίσθια μέρη προσερευνᾶν δεῖ καὶ ἀπὸ δύο καὶ τριῶν ἡμερῶν τῆς παρατάξεως μέχρι τοῦ πέρατος τοῦ πολέμου. ἀλλὰ καὶ τοὺς παρακειμένους τόπους ψηλαφᾶν, μήποτε λα εἰσὶν οἱ αὐτοῦ τάφροι ἢ ὀρυγμένοι, ἢ δόλος τις ἄλλος πέπηκται :-

Κατὰ δὲ τὴν τοῦ πολέμου ἡμέραν ὡς ἄνω εἴπομεν τῶν βιγλῶν προεξερχομένων, ἅμα πρωῒ εἰς τέσσαρα μέρη τοῦ τόπου ἔνθα ἡ συμβολὴ γίνεται ἀπὸ δύο καὶ τριῶν μιλίων ἐνόπλαις βίγλαις παραγγέλλειν αὐτοὺς μὴ μόνον πρὸς τὴν τῶν ἐχθρῶν κίνησιν ἀποβλέπειν καὶ μηνύειν, ἀλλὰ καὶ πρὸς τοὺς θέλοντας προσρυῆναι συνέχειν αὐτούς. ἐντεῦθεν γὰρ καὶ τοὺς ἀποφεύγοντας ἐκ τοῦ στρατοῦ ἐάσαντας κωλύουσιν, καὶ τοὺς ἐκ τῶν ἐχθρῶν βουλομένους προσρυῆναι καὶ ἐπιφερομένους ὡς ἔθος ἐστὶν ἵνα μετὰ ἀσφαλείας

ὑποδέχονται εἰς τὸ μὴ ἐπιπράξεσθαι αὐτοὺς προδίδοναι κακοῦ αὐτῶν, ὅπερ καὶ ἀσφαλεῖ παραφυλάττειν εἰς τοὺς προσφεύγοντας μεθ' ὧν πραγμάτων τῇ ἡμετέρᾳ πολιτείᾳ ὡς ἀναγκαῖον καὶ δίκαιον :-

Εἰ δὲ κατὰ τὰ ἔμπροσθεν μέρη τῆς παρατάξεως βιγλεύοντες ἀγνοεῖ ἐνὸς τατιββόλου τῆς τῶν ἐχθρῶν παρατάξεως ἔμπροσθεν τῆς ἰδίας περιπατείτωσαν καὶ ὁδηγείτωσαν, μήπως ὡς εἴρηται φθάσαι ἤτοι ὀρύγματα εἰσιν. ἢ ἕτερος δόλος μεμηχάνηται παρὰ τῶν ἐχθρῶν, καὶ ἀναστέλλειν τοὺς ἰδίους εἰς τὸ μὴ ἀσυνήθως περιπίπτειν :-

Ἐν γὰρ τοῖς ἀναγκαίοις τόποις καὶ καιροῖς, μὴ μόνον ὡς εἴρηται ἁπλὰς βίγλας καὶ τὴν αὐτῶν τάξιν ποιεῖσθαι χρή, ἀλλὰ καὶ διπλάς· ἵνα τῆς μιᾶς ὡς εἰκὸς λανθανομένης τὴν ἑτέραν μὴ διαλάθῃ :-

Καὶ ἐὰν ἕτοιμος ἐστὶν ἡ τάξις καὶ ὁ τόπος ἐπιτήδειος, μὴ ἀναμένειν τοὺς ἐχθροὺς ἐν τῇ συμβολῇ, ἵνα μὴ κανονίζωσι καὶ μεθοδεύωσι τὴν τάξιν. ἀλλ' ἀσφαλῶς ὁρμᾶν καὶ ἐπιτίθεσθαι τοῖς ἐχθροῖς :-

Ἐὰν δὲ ὑπερδυνατῇ ὡς εἰκὸς τὰ τῆς συμβολῆς διά τινας εὐλόγους αἰτίας, ἀναγκαῖον ἐστὶ τὴν δευτέραν μάλιστα τάξιν ἐν ταῖς εὐερισμέναις ὕλαις, ἢ τοῖς κοιλοτέροις τόποις ὄπισθεν κρύπτειν· ἵνα μὴ πρὸ πολλοῦ τοῖς ἐχθροῖς ἀκαίρως προφαινομένη αὐτὴ μεθοδεύεται καὶ ἐπιβουλεύεται ὑπὸ ἐγκρυμμάτων, ἢ καὶ ὑπὸ ἄλλων ἐπιτηδείων καταφθείρεται :-

Ἐπεὶ δὲ περὶ βιγλῶν ἐπιμνησθῶμεν δεῖ, αὐτὰς ὀχυρῶς ποιεῖν καὶ διαιρεῖν τοὺς βιγλεύοντας· ἵνα οἱ μὲν ὑπνώσωσιν, οἱ δὲ ἐγρηγορῶσι· καὶ οὕτως ἀλλάσσοντας ἀλλήλους βιγλεύειν. μὴ γὰρ πιστεύσῃς τινὶ κἂν ὑπόσχεσιν ποιεῖται ὅλην τὴν νύκτα γρηγορῆσαι ἀγρυπνεῖν. καὶ γὰρ ἡ συνέχεια καὶ αὐτομάτως ὕπνον ἐπάγει. ἐν δὲ ταῖς ἄλλαις βίγλαις ὀλίγα παύλας καὶ ὀρθοὺς ἱσταμένους βιγλεύειν· αἱ γὰρ καθέδραι καὶ αἱ ἀνακλίσεις τὰ σώματα μαραίνουσιν εἰς ὕπνον. ἡ δὲ τῶν σκελῶν στάσις διέγερσιν τῆς διανοίας ποιεῖ :-

Ἀναγκαῖον δέ ἐστι μετὰ τὸν πόλεμον τὸν στρατηγὸν τοὺς πληγωθέντας ἐν αὐτῷ τῶν στρατιωτῶν παραμυθεῖσθαι, καὶ τοὺς διαπρέψαντας ἐν τῷ πολέμῳ ταφῆς ἀξιοῦν καὶ μακαρίζειν διηνεκῶς ὡς ὑπὲρ τῆς πίστεως καὶ τῶν ἀδελφῶν· μηδὲ τὴν ἑαυτῶν ζωὴν προτιμήσαντες, ἐπειδὴ ὅσιον ἐστὶ καὶ προθυμίαν τοῖς ζῶσιν ἐμποιεῖ :-

ἐναντίον δέ τι ἐπὶ τοῦ πολέμου στρατηγεῖ τοὺς πλησιάζοντας ἐναντίον

Εἰ δὲ καὶ τέκνα αὐτοῖς εἰσὶν ἢ σύμβιος, καὶ φανερόν ἐστιν ὅτι ἀγωνίζονται προ-
θύμως ἐλπίζοντες καὶ ταῦτα παραμυθίας ἀξιοῦσθαι τῆς προσηκούσης:

Ἐπειδὴ δὲ οἱ Σκύθαι καὶ ῥωμαίους καὶ πάντας τοὺς ἐθνικοὺς ἐστὶν ἐπίσταμαι μὴ κατὰ
τὰς ἀλλήλων παρατάξεις ὀρθῶς ἐπισημαίνεσθαι τὴν συντονωτέραν μᾶλλον τῆς ὄψεως
ἐπιτυγχάνειν ἐν ταῖς μάχαις ἢ περὶ τὴν ἐν τοῖς ὅπλοις λάμπουσαν καὶ τάχα ψευδὲς
ἐστὶ τὸ χρυσίον τούτων. οὐ γὰρ τῆς κελεύσεως τοῦ θεοῦ τῆς τοῦ στρατηγοῦ διοικήσεως καὶ προ-
θυμίας τοῦ στρατοῦ, ὁ πόλεμος κρίνεται. ἄλλως δὲ διὰ τοὺς τὰ τοιαῦτα στοχαζομέ-
νους δέον ἐστίν, ὥστε δεῖ εἶναι ἢ κοῖλοι τόποι πρόσκεινται ἐκεῖσε τοῦ στρατοῦ ἀπο-
κρύπτειν, καὶ πρὸ πολλοῦ τοῖς πολεμίοις μὴ ἐπιδεικνύειν. ὥστε μὴ καταθεω-
ρεῖσθαι καὶ ἐπιβουλεύεσθαι αὐτόν, ἕως μήπω ἔλθωσιν ἀπὸ ἑνὸς ἢ δευτέρου σημείου:

Εἰ δὲ γυμνὸς ὁ τόπος καὶ καθαρὸς δὲ ἀήρ ἐστι, τότε τὰς κασσίδας προσκουτάριον
μὴ πρὸ πολλοῦ φορεῖσθαι, ἀλλὰ ταῖς χερσὶ κατέχεσθαι μέχρις ἂν ἐγγίσωσιν οἱ ἐ-
χθροί. ἀλλὰ καὶ τὰ σκουτάρια μικρὰ ὄντα ἐμπροσθεν εἰς τὸ στῆθος φέρειν καὶ σκέ-
πειν δι' αὐτῶν καὶ τὰ λωρίκια καὶ τὰς κασσίδας, ἢ ὄπισθεν κατὰ τὴν ὠμοπλά-
την φέρειν. εἰ ἔχουσι σιδηρᾶ σκουτάρια λαμπρά, ἀλλὰ καὶ τὰ σίδηρα τῶν κον-
ταρίων ἀποκρύπτειν εἰς τὸ παντὸς τὰ ὅπλα μήκοθεν μὴ διαλάμπειν διὰ
τὸν εἰρημένον τρόπον. ἀλλ' ὥστε καὶ διὰ τοιούτου σημείου ἐπισημαίνεσθαι
οἱ ἐναντίοι προκαταλαμβάνεσθαι τὰς γνώμας αὐτῶν, καὶ εἰς δειλίαν καὶ πρὸ
τῆς μάχης μεταπίπτειν:

Κατασκοπεύειν στρατηγὲ μάλιστα καὶ τὰς ἐνέδρας ἤτοι ἐγκρύμματα ἐν τῇ μάχῃ
κατάλληλον ποιεῖσθαι, ἤτοι κατὰ τὸν πρώην ἡμῶν διαλυπαθέντα τρόπον. αὗται γὰρ
ἐπιτηδείως καὶ πρεπόντως γινόμεναι μεγίστας ὠφελείας ἐν ταῖς μάχαις ποιοῦσιν ἐ-
διαφόρως μεγάλας δυνάμεις ὑπὸ ὀλίγων κατέλυσαν. ὥστε μηδὲ καιροῦ γενέ-
σθαι τὴν ὅλην παράταξιν συμπλακῆναι:

Εἰ δὲ ὁ γὰρ τόπων ἐπιτηδείων πρὸς ταῦτα εὐπορήσαντες. οἷον ἢ ὑλώδεις τὰς, ἢ κοι-
λάδας, ἢ βουνοῦ μεγάλου, ἢ φαραγγίων, ἢ ὀρέων ἐγγιζόντων καὶ μέχρι τῆς τῶν
ἐχθρῶν παρατάξεως συγκλινομένων. ὥστε δι' αὐτῶν λαθεῖν καὶ μὴ πόρρωθεν
ὁρώμενον τὸ ἔγκρυμμα μεθοδευθῆναι πρὸς ἐπιβουλήν. οὕτως οὖν τοῖς νώτοις
τῶν ἐχθρῶν ὄπισθεν ἄφνω ἐπελθόντες, πρὸ τῆς συμπλοκῆς διαταράξαι καὶ ἐ-
τρέψαι αὐτούς:

Ἄλλοι δὲ οὐ πλησίον τῶν ἐχθρῶν τῆς παρατάξεως ταύτην ἐποίησαν ἐπιτήδειον

οὐκ ἔχοντες τόπον, ἀλλὰ ἐκ πλαγίου αὐτῶν μετὰ τῆς ἰδίας καὶ τῆς τῶν ἐχθρῶν τάξεως ποιήσαντες· ἢ καὶ ὄπισθεν τῆς ἰδίας ἐκ πλαγίου, καὶ τὴν μείζονα δύναμιν εἰς ἐγκρύμματα ἔταξαν· τὴν δ᾽ ἥττονα φανερῶς ἔμπροσθεν ἔταξαν :—

Ἄλλοι δὲ μέρος τοῦ στρατοῦ ἔταξαν εἰς ἔγκρυμμα· καὶ οὐ τὸ μεῖζον μέρος, ἀλλὰ τὸ ὀλιγώτερον· τῆς δὲ συμβολῆς γενομένης ἑκουσίως τῶν τελευτῶν εἰς φυγὴν ὁρμησάντων, καὶ τῶν ἐχθρῶν τὴν δίωξιν ἀτάκτως ποιουμένων μετὰ τὸ παρελθεῖν αὐτοὺς τὸν τόπον τῆς ἐν ἐξελθόντες οἱ τὸ ἔγκρυμμα ποιήσαντες κατὰ τὸ νῶτον ὄπισθεν τῶν ἐχθρῶν ἐπέστησαν· εἶτα καὶ οἱ φεύγοντες ἀντίστροφοι γενόμενοι πρὸς τὸ σύνθημα ὅπερ προέθεντο ἐν τῷ μέσῳ ἀπέλαβον αὐτούς. τοῦτο δὲ ὡς ἐπὶ πολὺ ἐπὶ τῶν βαρβαροτέρων καὶ σκυθικῶν ἐθνῶν γίνεται διὰ τὸ ἄτακτα εἶναι· οἷον τούρκων καὶ τῶν ὁμοίων αὐτοῖς :—

Ἐὰν δέ τις καὶ φθάσαι βαθὺ ἴσως ὄρυγμα ἐπὶ η̄ ἢ ῑ πόδας τὸ πλάτος ἐπὶ ἱκανὸν διάστημα ὀρύξῃ, καὶ σκεπάσῃ ταύτην ξύλοις λεπτοῖς χόρτῳ δὲ καὶ χώματι· ὥστε ἡνωμένην καὶ ὁμοίαν τὴν ἐπιφάνειαν τοῦ ὀρύγματος εἶναι τῇ ἐπιζώσῃ αὐτῷ γῇ καὶ καλαμώδει διαλλάττειν, ἀλλὰ μηδὲ τὸ ἐπαρθὲν χῶμα ἐάσῃ παράκεισθαι αὐτῷ, ἵνα μὴ ἐμφαίνῃ τινὰ ξενοπρέπειαν. ἐν τῷ μέσῳ δὲ τοῦ αὐτοῦ ὀρύγματος καταλίπῃ τινὰς τόπους στερεοὺς σεσημειωμένους καὶ ἐγνωσμένους πρὸς τὸ πάροδον τῷ ἰδίῳ στρατῷ. ἑκατέρωθεν δὲ ἴσως ἔνθεν κἀκεῖθεν τοῦ πλησίον τοῦ ὀρύγματος ἔγκρυμμα εἰς ἀφανεῖς τόπους λοχητοὺς ποιήσει, ἐκπαρατάξει τοὺς λοιποὺς πρὸ τοῦ ὀρύγματος. εἶτα συμβολῆς γενομένης ἑκουσίως οἱ προτάττοντες τὴν ὑπὸ χρηματί αὐτοὶ μὲν διὰ τῶν ἐγνωσμένων αὐτοῖς αὐτοῖς τόπων καὶ στερεῶν ἀκινδύνως παρέλθωσιν· οἱ δὲ ἐναντίοι σφοδρῶς καὶ ἀτάκτως τὴν δίωξιν ποιησάμενοι, ἐμπέσωσιν ἐν τῷ ὀρύγματι τῷ προεξελθόντες τε ἄφνω οἱ τὸ ἔγκρυμμα ποιησάμενοι. εἶτα ἐπαναστρέψουσι καὶ οἱ τὴν ὑποχώρησιν χρηματισάμενοι, τοὺς πλείους τῶν ἐχθρῶν ἀπολέσωσι πάντως. τοὺς μὲν ὡς ἐμπεσόντας εἰς τὸ ὄρυγμα, τοὺς δὲ ὡς ταραχθέντας ἀτάκτως ἐπὶ τῷ ἀδοκήτῳ συμπτώματι. εἰ μὴ ἄρα παρὰ τῶν ἐχθρῶν προγνωσθῇ ἢ διά τινων προσφυγόντων αὐτοῖς καταμηνυθῇ :—

Ἐὰν δὲ τοῦ ὁμοίου τόπου καὶ δι᾽ ἀπόρων πεπηγμένων τις ποιήσῃ δύο δὲ ἢ τρεῖς εἰσόδους ἀπατηλῶς ἐπινοήσοι ἐγνωσμένας τῷ παραταττομένῳ στρατῷ. εἶτα πρὸ τῶν πάλων ἐκείνων παρατάξῃ, καὶ χρηματισάμενος ἐν τῇ συμβολῇ

τὴν φυγὴν κατὰ τὸν ὅμοιον τρόπον προτρέψαι τοὺς ἐχθροὺς τοῖς πάγοις περιπε-
σεῖν. καὶ ἐξαίφνης ἐπελθόντες οἵ τε τὸ ἔγκρυμμα ἔχοντες ἐκ πλαγίου καὶ οἱ
σχηματιζόμενοι τὴν φυγὴν κατὰ κράτος. καὶ οὕτως τοὺς ἐχθροὺς ἀπολέσωσι: ∸

Γίνεται δὲ τριβόλων δόλος κατὰ τῶν ἐχθρῶν, καὶ ῥύματος ἢ πάγου. ἐάν τις τριβόλους
σιδηρᾶς ἀσυμφανεῖς εἴη πρὸς θέαν ἐναφικνουμένοις ἀποδεδειγμένας
εἰς τὸ ἐντίμως συστέλλεσθαι μετὰ τὴν ἐξέτασιν. τουτέστιν ἐπὶ πλάτος ρ' ποδῶν. καὶ
πρὸς μῆκος δὲ πρὸς τὸ τῆς παρατάξεως διάστημα. ἔχειν μέντοι δὲ τέσσαρας ἢ
πέντε παρόδους κατὰ τὸ ἀπὸ τῶν ποδῶν πλάτος ἐγνωσμένας ἐφ' συμβάλλειν
τὸν στρατόν. καὶ σεσημειωμένας ἀκλάδων μεγάλων, ἢ κυπαρισσίων κεφαλὰς ξε-
νοπρεπεῖς ἐχόντων, ἢ τῆς ἀναβάσεως ὡς κιβωτίων, ἢ λίθων ἀποτεθειμένων, ἢ ἑτέ-
ρων εὐδήλων σημείων. οὐ μόνον κατὰ τὰς ἀρχάς, ἤτοι τῶν μετώπων τοῦ
μήκους τῶν τριβόλων, ἀλλὰ καὶ κατὰ τοῦ βάθους ἤτοι τοῦ πλάτους περὶ ἑκατέρα
τῶν παρόδων. ὥστε τῆς συμβολῆς γενομένης σχηματίζεσθαι φυγήν, καὶ μετὰ
τὸ παρελθεῖν διὰ τῶν τοιούτων ἐγνωσμένων παρόδων τὸν στρατὸν ἐπαίρεσθαι
τὰ τοιαῦτα σημεῖα ἤτοι καταστρέφεσθαι παρὰ τῶν εἰς τοῦτο ἀφοριζομένων
καβαλλαρίων. εἶθ' οὕτως τὴν ἐνέδραν ἐκ τῶν δύο πλαγίων ἐπεξέρχεσθαι
ἔνθεν κἀκεῖθεν κατὰ τῶν ἐχθρῶν περιπιπτόντων τοῖς τριβόλοις, καὶ οὐ δυναμέ-
νων οὔτε πρόσω οὔτε ὄπισθεν εὐκόλως ὑποχωρεῖν: ∸

Γίνεσθαι δὲ δύναται κατὰ τὸν ὅμοιον τρόπον καὶ ἄνευ τριβόλων. ἐάν τε στρογγύ-
λα ὀρύγματα ἅπερ οἱ παλαιότεροι ἱπποκλάσας ὀρύξῃ διεσπαρμένα ἀπὸ
ἑνὸς ποδὸς τὸ διάστημα ἔχοντα, καὶ βάθος δύο ἢ τριῶν ποδῶν. καὶ πάλους ὀξεῖς
ἐμπήξῃ ἐν αὐτοῖς. ταῦτα δὲ παρηλλαγμένα ὀρύξει καὶ μὴ ἐπ' εὐθείας ἢ ἀ-
πὸ τριῶν ποδῶν ἀλλήλων κατὰ τὰ τέσσαρα μέρη ἀφεστηκότων. ἐπὶ πλάτος δὲ
πόδας ρν'. μῆκος δὲ πρὸς τὸ τῆς τάξεως διάστημα. καὶ τούτου γενομένου ἐν
τῇ συμβολῇ, ὅταν μὲν ἡ πρώτη τάξις περιπαρατάσσεται πρέπον ἵνα ὡς περὶ ἑ-
νὸς μιλίου          τοῦ χώματος αὐτῇ ἵσταται. ἡ δὲ δευτέρα ὄπισθεν αὐ-
τοῦ δι' ὅλου τοῦ διαστήματος εἰς τὰ χώματα τῶν ὀρυγμάτων ὡς ἀπὸ δύο
ἢ τριῶν τῶν τριβόλων ὄπισθεν. ἵνα ἐὰν ἧττα γένηται καὶ οἱ ἐκ πολέμου τῆς
πρώτης διὰ τῶν ἀκινδύνων παρέρχωνται, καὶ τὴν δευτέραν τάξιν ἐὰν ἐξ-
αίρῃ ἐπιτίθεσθαι τοῖς ἐχθροῖς. διὰ τῶν αὐτῶν δηλαδὴ καιρῶν διαγνωσμένων δὲ καί-
ρως διερχομένην καὶ ἀνεμποδίστως οὕτως ἐπιτίθεσθαι τοῖς ἐχθροῖς: ∸

Ὅταν δὲ οὐ πρὸ τοῦ χώματος ἡ παράταξις γίνηται πάντα, ἀλλ' ὄπισθεν αὐτοῦ

δέον ἀπὸ τειχῶν τῶν τριβόλων τούτων ὄπισθεν τὴν παράταξιν ἵστασθαι· καὶ ὅταν οἱ ἐχθροὶ παρέλθωσιν ἢ καταλάβωσι τὸ βόθρισμα, τότε ὑπαντιάζειν αὐτοῖς ἵνα φθάσωσιν οἱ ἵπποι αὐτῶν ἐμπεσόντες ἀφανισθῆναι· ἀλλὰ τότε οὐ χρὴ πολὺ πλατέα τὰ διάστηματα χωρία τοῦ βοθρίσματος καταλιμπάνειν, ὅταν ἡ παράταξις ὄπισθεν αὐτῶν ἐστι· ὥστε μὴ τοὺς πολλοὺς τῶν ἐχθρῶν παροδεύοντας ἀκινδύνως τῆς μάχης περιγίνεσθαι :·-

Τὰ δὲ τοιαῦτα ἐγχειρήματα ἤτοι βοθρίσματα, λανθανόντως σε δεῖ ποιεῖν τῶν στρατιωτῶν δι' ὀλίγων καὶ πιστῶν αὐτῶν, ἢ ἐν αὐτῇ τῇ τοῦ πολέμου ἡμέρᾳ, ἢ πρὸ μιᾶς αὐτοῦ ἡμέρας περὶ τὰς δειλινὰς ὥρας, ἢ νυκτὸς ἐν ἐκείνῳ δηλονότι τῷ τόπῳ ἐν ᾧ ἡ μάχη προσδοκᾶται· καὶ οὕτω τοὺς ἐχθροὺς ἀναμένειν καὶ πρὸ ὥρας φανεροῦν τοῖς τοῦ στρατοῦ, καὶ κατεξαίρετον τοῖς βανδοφόροις, ἵνα εἰδότες φυλάξωνται καὶ ὄπισθεν τῶν βάνδων σφικτοὶ ἀκολουθῶσιν ὡς οἱ στενοὶ τόποι ἐπιδέχονται :·-

Τούτου δὲ πάντες παρατηρηθῶσιν, ἵνα τοῖς βάνδοις ἑαυτῶν ἐν τῷ ὑποχωρεῖν μάλιστα ἀκολουθῶσιν· ἵνα μὴ ὅπερ μὴ γένηται πλανώμενοι αὐτοὶ περιπέσωσι τῇ παγίδι :·-

Πάντων δὲ τῶν εἰρημένων βοθρισμάτων ὡς ἡγούμεθα ἡ διὰ τῶν τριβόλων ἀπάτη εὐκολωτέρως καὶ μᾶλλον λεληθότως ἐν ἑκάστῳ τόπῳ γίνεσθαι δύναται. διὰ τοῦτο οὖν χρὴ πρὸς τοὺς τόπους καὶ τὴν τάξιν ἁρμόζεσθαι :·-

Καὶ ἐὰν δόξῃ σοι συμφέρειν τὴν ἔφοδον κατὰ τῆς τῶν ἐχθρῶν παρατάξεως γενέσθαι ὡς ἤδη ἡμῖν εἴρηται ἀφορισθεὶς ἀπὸ ἑνὸς ἢ καὶ δευτέρου βάνδου. ἢ πρὸς τὸ ποσὸν τοῦ σοῦ στρατοῦ πλείονας τῶν ἀρχόντων ἀνδρείων ἐμπείρων καὶ φρονίμων καὶ στρατηγικῶν ἐγνωσμένων· εἰς μὲν τὸ ἴδιον δεξιὸν μέρος τοῦ τόπου δηλονότι συμπαρατιθέντος, μίαν ἐνέδραν ὀφείλουσαν κατὰ τῆς τῶν ἐχθρῶν ἐγχειρῆσαι παρατάξεως· κατὰ δὲ τὸ ἀριστερὸν τὴν ἄλλην ἐνέδραν :·-

Καὶ ἐὰν μὲν ἡ παράταξις τῶν ἐχθρῶν ἐγχειρῆται ταύτην τὴν ἐγχείρησιν βουλομένων τῶν ἐχθρῶν ἀναστέλλειν, καὶ μὴ δοῦναι καιρὸν ἐλθεῖν καὶ ταράξαι τὴν παράταξιν. εἰ δὲ μὴ ἐγχειρῆται παρὰ τῶν ἐχθρῶν ἐπέρχεσθαι, ἵνα διὰ τοῦ μέρους ἐκείνου ἢ εἰς τὸ ὕστερον τῶν ἐχθρῶν ὡς εἰκὸς ἐκεῖσε διεισκομένου ἐπιθῶσιν· ἢ καὶ τοῖς τῶν ἐχθρῶν νώτοις ἢ τῷ κέρατι ἤτοι τῷ κυκλοῦντι μέρει τῆς τῶν ἐχθρῶν παρατάξεως· ἵνα μὴ ὡς εἰκὸς καὶ τῶν ἐχθρῶν ἐν δευτέρᾳ τάξει τασσομένων, ἢ καὶ αὐτῶν ἔγκρυμμα ὄπισθεν τιθέντας αὐτῶν τάξε

ὡς ἐχόντων ἐρευνᾶσθαι τὰ τοιαῦτα ἐγκρύμματα ἐκ τοῦ ἐναντίου ἐπ' αὐτὰ τὰ βλαπτόμενα. δεῖ γὰρ καὶ αὐτοὺς τοὺς εἰς ἐγκρύμματα ἀπερχομένους προσκουλκεύειν ἀσφαλῶς, καὶ οὕτως ἁρμόζεσθαι τὴν κατὰ τῶν ἐχθρῶν ἐπίθεσιν:—

Τὸν δὲ καιρὸν τοῦ ἐγκρύμματος ἐπιτηδείως κανονίζειν, καὶ μὴ δὲ πρὸ πολλοῦ τῆς παρατάξεως ἐγχειρεῖν, ἵνα μὴ ὡς ὀλίγους ἔχουσα ἡ ἐνέδρα ὑπὸ τῶν ἐχθρῶν ἐπαρθῇ. μὴ δὲ πάλιν ὕστερον, ἵνα φθάσῃ ἡ συμβολὴ αὐτὴν εὑρεθῆ:—

Ἀλλὰ πρέπον ἐστὶ ἅμα τῷ κινεῖν τήν τε παράταξιν καὶ αὐτὰ, ἤγουν δύο ἴσον τὰ ἐγκρύμματα. μᾶλλον δὲ ὀλίγον προκινεῖσθαι τὴν παράταξιν, ἵνα ἡ μὲν παράταξις διὰ τῶν φανερῶν τόπων ἐρχομένη ἔμπροσθεν τοὺς ἐχθροὺς ἀντιπερισπᾷ, καὶ ἀλλήλους διὰ κούλκας καὶ σημείων κανονίζειν. καὶ τὸν ὡς εἰκὸς διὰ συντομωτέρου τόπου προλαμβάνοντα, ἐμβραδύνειν καὶ ἀναμένειν τὸν ἄλλον. ὥστε εἰ ἐνδέχεται ἴσως τὰς ἀμφοτέρας, τήν τε ἐνέδραν ἤγουν τὸ ἔγκρυμμα καὶ τὴν παράταξιν δεικνῆσθαι ὑπὸ τῶν ἐχθρῶν καὶ ὀλίγον τι τὴν ἐνέδραν μᾶλλον προκρούειν. ἵνα ὅταν ἄρξωνται οἱ ἐχθροὶ ὑπὸ τῆς ἐνέδρας διαταράττεσθαι, τότε ἡ παράταξις ἐπεισποιουμένη συμβάλλῃ:—

Διὰ δὲ τοῦτον τὸν τρόπον ἐὰν οἱ τόποι ἐπιτήδειοι εἰσὶν ἐκ τῶν δύο μερῶν, δεῖ τὰ ἐγκρύμματα ἐκπέμπειν. μάλιστα ἐὰν πολὺν καὶ μέγαν στρατὸν ἔχῃς, ἵνα τὸ μὲν ἔγκρυμμα τοὺς ἐπερχομένους ἀναστέλλῃ, τὸ δὲ ἕτερον ἁρμοδίως τοῖς ἐχθροῖς ἐπιχειρῇ:—

Ἐὰν δὲ ἐγκρούσαντες ὡς εἰκὸς μὴ ἐπιτύχωσιν, ἢ καὶ τὸ τῆς παρατάξεως ἐν τούτῳ παρακολουθήσῃ, μὴ δὲ οὕτως ἐνδιδόναι ἢ ἀφιέναι τοὺς ἐχθρούς, μὴ δὲ ἐπὶ τὴν δευτέραν τάξιν ἔρχεσθαι καὶ συναναπλέκεσθαι τοῖς φεύγουσιν. ἀλλὰ ἔξωθεν ἀπομένειν καὶ σπουδάζειν αὐτοὺς τὰ νῶτα τῶν ἐχθρῶν, ἢ τὰ ὄπισθεν ἐνεδρεύειν καὶ ἐπέρχεσθαι καὶ ἐντεῦθεν ἀνακαλεῖσθαι τὴν τῶν ἰδίων φυγήν:—

Ἀσφαλὲς δὲ ὑπολαμβάνομεν, ἵνα οἱ πρὸς ἐγκρύμματα πεμπόμενοι εἴτε εἰς τοῦ ἄλλου φυλακήν, εἴτε εἰς ὀξεῖαν βοήθειαν μέρους τινὸς ὡς εἰκὸς βαρουμένου, εἴτε εἰς νώτου παρατάξεως φυλακήν, εἴτε εἰς βίγλαν ὀλίγοι οἱ τοιοῦτοι ἁρμόδιοι εἰσιν· ἵνα μᾶλλον δρουγγιστὶ τάσσωνται, ἤγουν ὁμοῦ ὡς μάζα ἀνορδίνως. οὐχὶ δὲ ἐπὶ μακρᾶς παρατάξεως, τουτέστιν καθ' ὀρδίνους ἀκίας ἢ δεκαρχίας ἢ πενταρχίας. αὕτη γὰρ κρυπτὴ καὶ συνοικονομουμένη ἰσχυροτέρα καὶ ἀσφαλεστέρα ἐστὶν ἐν ἀσφαλῶς τὰς συμβολὰς ἐν ταῖς μάχαις

ποιεῖται. βραδεῖα δὲ καὶ δυσμετάθετος ἐστὶν ἐν ταῖς χρείαις. ἡ δὲ δρουγγιστὶ ταττομένη τὰ ἐναντία ἔχει, καὶ ἐν ταῖς ἐνέδραις μᾶλλον εὐκόλως λανθάνειν δύναται ὀλίγῳ τόπῳ ἀρκουμένη, καὶ εὐθέτως μετατίθεται πρὸς τὰς χρείας. διὸ χρὴ ἐν γυμνασίαις δοκιμάσθαι εὐκαίρως καὶ τὸ ἀναγκαιότερον διὰ τῆς πείρας ἐπιλέξασθαι:

Ἁρμόζει δὲ καὶ πρὸς τὸ ποιὸν τοῦ στρατοῦ τοῦ ἐπὶ τούτῳ πεμπομένου καὶ πρὸς τὰς τῶν τόπων θέσεις. ἐὰν γὰρ ἡ μείζων δύναμις ἢ τὸ ἥμερος τῆς φανερᾶς ταττομένης, πέμπεται εἰς ἔκρυμμα διὰ ἑνὸς τόπου ἐγχειρεῖται προσδοκῶντα τότε δεῖται κατὰ δεκαρχίαν ταττέσθαι. εἰ δὲ ὀλίγοι οἱ πεμπόμενοι, ἢ κατὰ διαφορὰν τόπου, τότε δρουγγιστὶ καὶ ὁμοστάνου ὀρδίνῳ ἐπαλλήλους ταττέσθαι:

Ἐν τούτοις γὰρ ὡς εἰκὸς ἐστὶν ἡ διαφορὰ ἀμφοτέρων· ὅτι ἡ μὲν ἐν ζυγοτάξει γινομένη ἐνέδρα, τὸ ἰσχυρὸν καὶ ἀσφαλῶς μάχεσθαι ἔχει. ἡ δὲ δρουγγιστὶ γενομένη, τὸ ὀξέως παρέχειν τὰς βοηθείας καὶ τὰς διώξεις καὶ τὰς ἀθρόας ἐπελεύσεις καὶ ταραχὰς ποιεῖσθαι:

Ταύτην οὖν τὴν τάξιν ἐπὶ τῶν καβαλλαρίων ἁρμόδιαν νομίζομεν· ἣν δεῖ κατορθοῦν διὰ συνεχοῦς γυμνασίας καθ᾽ ὃν εἰρήκαμεν τρόπον, ἐπεὶ μὴ ἐν πείρᾳ ταύτης προσεγγίσας. ἐὰν γὰρ αὐτὴ δεόντως κατορθωθῇ, οὐδὲ μανθάνειν χρεία ἐν καιρῷ πολέμου, οὐδὲ ἄλλης παραγγελίας. αὕτη γὰρ ἡ τάξις καὶ γυμνασία ἕκαστον διδάσκει καὶ τὰ δέοντα:

Ἴσως δέ τινες ἀπειρόκακοι νεώτεροι καὶ ἀσφαλέστερον λογίζονται· ποικίλην τινὰ καὶ πολυειδῆ τὴν τάξιν ταύτην εἶναι καὶ ἐντεῦθεν ἐπίπονον οὓς εἰδέναι δέον. ὅτε ἀθληταὶ καὶ ἡνίοχοι καὶ ἄλλοι τινὲς τῶν εἰς παίγνια καὶ τέρψιν ἀγωνιζομένων, ὧν ἡ μὲν ἐπιτυχία ὀλίγων ἐστὶ χρημάτων εὐπορία, ἡ δὲ ἀστοχία ἄτιμος ἐστὶ λύπη· οὗτοι ὅμως τὸν βίον μόχθον καὶ κάματον ὑπομένουσι μετὰ νηστείας βρωμάτων καὶ παραφυλακῆς καὶ ἀνενδότου γυμνασίας, εἰς τὸ δυνηθῆναι μαθεῖν ποῖα μέν ἐστι τὰ πρὸς βλάβην τῶν ἀντιπάλων γινόμενα, τίνα δὲ τὰ φυλάττοντα τὴν μὲν αὐτῶν ἐγχειρουμένην ἐργασίαν. πόσῳ μᾶλλον ἐνταῦθα χρὴ ἀόκνως καὶ πολυτρόπως καὶ ἐσπουδασμένως τὰς παρατάξεις καὶ γυμνασίας ποιεῖσθαι, ὅπου τὸ μὲν σφάλμα παρέπεται, ἢ τὸν θάνατον ἢ τὴν χείρονα θανάτου φυγὴν φέρει. ἡ δὲ ἐπιτυχία χαρὰν καὶ κέρδος καὶ ὑπόληψιν ἀγαθοῦ τε μνήμην ἔνδοξον διηνεκῶς τίκτει:

Πᾶσα γὰρ οὐκ ἄδηλον καὶ ἐπιβλαβὲς καὶ ὀλέθριον ἐνὶ καὶ τῷ αὐτῷ τόπῳ
ἁπλῶς τάττεσθαι, καὶ ἐκ τοῦ τυχόντος σφάλματος κρεῖττον τοσούτου πλή-
θους ἀνδρῶν γίνεσθαι· καὶ μὴ δὲ ἐπιγινώσκεσθαι τὸν ἁμαρτήσαντα, ἀλλὰ
διὰ σφάλματι τοῦ ἑνὸς πάντας ὑπάγεσθαι· ὁπόταν οὖν δὲ πολλάκις τάχα
τὰ κεφάλαια τὰ ὀφείλοντα γίνεσθαι, ἀλλ' οἱ λοχαγοὶ τὴν αἰτίαν αὐτῶν ἐ-
μήνυσαν τῷ λόχῳ:

Τοσαῦτα μὲν οὖν περὶ τῆς καβαλλαρικῆς τάξεως ἡμῖν εἰρήσθω· περὶ δὲ τῆς
πεζικῆς καὶ τῆς συμμίκτου ἐροῦμεν, ἅπερ ἀναγκαῖα καὶ τὸν τοῦ πολέμου ἤδη
καιροῦ γενέσθαι νομίζομεν· περὶ ὧν ἀκριβέστερον ἡμῖν καὶ ἐν ἑτέρῳ λόγῳ
πεφάρισται:

Τούτων γὰρ οἱ μὲν πρὸς σκουτάτοι λεγόμενοι, οὓς καὶ ὁπλίτας καλοῦμεν· καὶ
τοὺς μὲν σκουτάτους ὁρίσωμεν οὕτως· πρότερον μὲν ποιοῦντες τὰς ἀκίας ἤγουν
τοὺς ὄρδινους τοῦ τάγματος ἑκάστου τινὲς ἀριστερὰ καὶ τινὲς δεξιὰ τοῦ
βάνδου, ἤγουν τοὺς ἄρχοντας τάσσοντες:

Καὶ προπορευομένου τοῦ ἄρχοντος ἅμα τῷ βανδοφόρῳ καὶ τῷ βουκινάτω-
ρι καὶ τοῖς λοιποῖς, καὶ συνήθως ἐπακολουθοῦσιν ὡς ὡρίσθησαν οἱ λο-
χαγοί· πρῶτον οἱ τοῦ ἀριστεροῦ μέρους, εἶτα οἱ τοῦ δεξιοῦ:

Γενομένων δὲ αὐτῶν ἐν τῷ τῆς παρατάξεως τόπῳ, ἵσταται ὁ ἄρχων καὶ μετ'
αὐτὸν ὁ βανδοφόρος καὶ οἱ πρὸς συνήθως· ἐπαρατάσσονται αὐτῷ ἑκα-
τέρωθεν αἱ ἀκίαι ὡς ὡρίσθησαν πρῶτον σύμμετρον διάστημα, ἵνα μὴ συ-
μπέσωσιν ὑπ' ἀλλήλων εἰς ὄπισθεν· τὰ δὲ ξίφη τῶν κονταρίων ἴσως ἀνωβλέ-
ποντα ἵνα μὴ ἐμποδίζονται ὑπ' αὐτῶν:

Ἔμπροσθεν δὲ τοῦ μετώπου περιπατοῦσιν ὁ καμπιδούκτωρ ἤγουν ὁ τοὺς τό- ὁπλιτῶν.
πους ἐρευνῶν καὶ ὁ μανδάτωρ· ὁ μὲν ἐπὶ τοὺς τόπους, ὁ δὲ τὰ μανδάτα γινώ-
σκειν τοὺς ἄρχοντας διδοὺς:

Ὅταν δὲ καταστήσωσι τὰ τάγματα καθὼς προδιαιρούμεθα εἰς μοίρας καὶ
μέρη ἤγουν εἰς τοὺς δρούγγους αὐτῶν καὶ εἰς τὰς τούρμας, καὶ γίνηται ἡ πᾶ-
σα παράταξις τῶν σκουτάτων· τότε παρατάξεις καὶ τοὺς ψιλοὺς λεγομένους
κατὰ διαφόρους τόπους:

Τοὺς μὲν τοξότας ὄπισθεν ἑκάστης ἀκίας πρὸς τὸ μέγεθος τῶν ὄντων, τάττε-
σθαι εἰς τοὺς ιϛ σκουτάτους τέσσαρας ψιλούς· ἵνα καὶ μέχρι τεσσάρων με-
ριζομένης πλῆθος τῶν ὁπλιτῶν, ἤτοι τῶν λεγομένων σκουτάτων ἀκίας εὑρεθῇ

ἐς τζόλης ὄπισθεν αὐτῆς. ἐὰν δὲ ἀπαιτῇ τάξις αὐτοὺς εἰς τὸ βάθος τεθῆναι
ἀνὰ ἕνα παρ' ἕνα σκουτάτον καὶ τζόλιν. ποτὲ δὲ καὶ εἰς τὰς ἀκίας καὶ εἰς τὰ
κέρατα τῆς παρατάξεως, τουτέστιν ἔσωθεν τῶν καβαλλαρίων. πολλάκις δὲ
καὶ ἔξωθεν αὐτῶν ἀπὸ μικροῦ διαστήματος σὺν καὶ ὀλίγων σκουτάτων
εἰς τὸ διώκειν τοὺς ἔξωθεν εἰς τὰς καβαλλαρίους. τοῦτο δὲ καὶ ἐὰν
πολλοί εἰσιν οἱ ψιλοί οἱ δὲ τὰ εἰκλάεια ἢ τζικούρια ἢ βιοῦτα ἔχοντες, ἢ
ὄπισθεν τῶν ἀκιῶν τῶν σκουταράτων, ἢ εἰς τὰ ἄκρα τῆς παρατάξεως καὶ οὐκ
ἐν τῷ μέσῳ. οἱ δὲ σφενδονῖται πάντως εἰς τὰ ἄκρα τῆς παρατάξεως:

Εἰς δὲ τὰ ἄκρα τῆς πεζικῆς παρατάξεως τάσσεσθαι τοὺς καβαλλαρίους χρεὼν
ἐστί. τὰ δὲ μείζονα τάγματα σὺν τῶν ἀρχόντων αὐτῶν ἐξώτερα. καὶ ἐὰν μὲν πολ-
λοί εἰσιν οἱ καβαλλάριοι τουτέστι πλεῖον τῶν ιβ χιλιάδων ἀπὸ δέκα τὸ βά-
θος ἤγουν τὸ πάχος τῆς ἀκίας τῆς παράταξιν γίνεσθαι. εἰ δὲ καὶ ὀλιγώτεροι τὸ
μὲ [illegible] ἀπὸ ε. εἶναι δὲ καὶ περισσούς τινας ὄπισθεν εἰς ὑποβοήθειαν
αὐτῶν ἐξωτέρω ἀναμάχεσθαι, ἵνα ἐὰν μέν τινες τῶν ἐχθρῶν διὰ τοῦ νώτου ἤγουν τοῦ
ὄπισθεν φανῶσιν ἀποκρούσωσιν αὐτούς. εἰ δὲ μὴ προσέλθωσι τοῖς πλα-
γίοις καὶ αὐτοί. τάσσονται δὲ καὶ αὐτοὶ ἐς τὸ ἀριστερὸν πρὸ [illegible] διαστήματα ἵνα
μέλλουσι μεταβάλλεσθαι τὸ σχῆμα τῆς στάσεως αὐτῶν:

Τοὺς δὲ καβαλλαρίους παράγγελλε μὴ καταδιώκειν τῶν ἐχθρῶν, μηδὲ ἀφίστα-
σθαι τῆς πεζικῆς παρατάξεως ἐπὶ πολὺ διάστημα. καὶ τάχα σκεπάσουσιν οἱ ἐ-
χθροὶ ἵνα μὴ ἐνέδρας ἤγουν κρύμματος παρ' αὐτῶν γινομένου. ἐὰν γὰρ ἀ-
πὸ διαστήματος εἰσὶ γυμνούμενοι τῆς παρατάξεως ἐπηρεασθῶσιν ὡς εἰ-
κὸς ὑπὸ τῶν ἐναντίων κατὰ τὸ νῶτον ἤγουν ὄπισθεν τῆς παρατάξεως πρὸς
φεύγουσι καὶ μὴ παρέρχωνται τὰς ἁμάξας. ἐὰν μὴ οὕτως ἀντέχωσιν, κατέρ-
χεσθαι αὐτοὺς ἐκ τῶν ἵππων καὶ οὕτως πεζοὺς ἑαυτοὺς ἐκδικεῖν:

Ἐὰν δὲ βούλῃ τῆς παρατάξασθαι μετὰ τοῦ στρατοῦ, μὴ συμβάλλειν δὲ τὴν μάχην κατὰ
τὴν αὐτὴν ἡμέραν καὶ ὁρμήσωσιν οἱ ἐχθροὶ κατὰ τῶν καβαλλαρίων καὶ μὴ βαστά-
σωσιν αὐτοὺς ἐκεῖνοι, μὴ ἀναμένειν αὐτοὺς εἰς τὰ κέρατα τῆς παρατάξεως
καὶ τὴν ἀναμάχην. ἀλλ' εἰ τοῦτο γένηται τὸ ἐξ ἀμείζονος τὸ ἐν τῷ μέσῳ διαστή-
ματος, ἵνα μεταβαλλομένων ὡς εἰκὸς τῶν καβαλλαρίων μὴ στενοχωρηθῶ-
σιν, μὴ δὲ ἄλλων ἐχθρῶν τάχιον βλάψωσιν αὐτούς:

Οὐκ ἀγνοοῦμεν δὲ ὅτι τῶν νῦν εἰρημένων τινὰ καὶ ἐν τῇ περὶ γυμνασίας διατά-
ξει εἰρήκαμεν. ἀλλ' οὐδένα τόπον καὶ ἐν τῇ περὶ τοῦ πολέμου διατάξει περὶ

πολεμῆται περὶ αὐτῶν τοὺς ἐντυγχάνοντας· οὕτω γὰρ σκοποῦμεν ὥστε πάντα τὰ
εἰς πόλεμον ἁρμόζοντα καὶ ἐν τῇ γυμνασίᾳ δεῖν ἁρμόζειν. πλὴν μόνου τοῦ ἀσι-
δήρου γίνεσθαι τὴν ἔκταξιν καὶ ἄμαχον· ὅθεν καὶ πάλιν τοῖς ὁμοίοις ἐμφι-
λοχωρεῖται οὐκ ὀκνήσαμεν ὑπομνῆσαι χάριν ἐκείνων· οὐ γὰρ μικρὸν τὸ παρὰ
μικρόν:

Τάξις δὲ τὰ μέρη τῆς παρατάξεως ἀπὸ ρ΄ ποδῶν ἀλλήλων διακείμενα ἵνα
μὴ στενοχωρῶνται ὑπ' ἀλλήλων ἐν τοῖς περιπάτοις· ἐν δὲ τῷ καιρῷ τῆς συμβολῆς ἑνοῦσθαι
καὶ βοηθοῦσιν ἑαυτοῖς καὶ παραγγέλλονται τὰ μέσα μέρη πληθύνεσθαι ἔνθα τὸ
τοῦ στρατηγοῦ ἢ τινος ἑτέρου τεταγμένου ἄρχοντος βάνδον ὀφείλει ἵστασθαι. τὸν
γὰρ μέσον τόπον τῆς παρατάξεως οἱ ἀρχαῖοι διὰ τοῦτο στόμα ἐκάλεσαν καὶ ὀμφα-
λόν, ἵνα αὐτὰ τὰ λοιπὰ μέρη πληθύνονται:

Ἐπειδὴ δὲ τὸ σφίγγεσθαι ἤτοι πυκνοῦσθαι πρὸς τὸ ἀραιοῦσθαι καὶ πλατύνεσθαι
συμφορώτερον καὶ ἀσφαλέστερόν ἐστιν· οὐ χρὴ ἀπὸ περισσῶν ις΄ τὸ βάθος τῶν ὀρ-
δίνων ἤτοι τῶν ἀκιῶν ἵστασθαι, ἀλλ' ἀπὸ δ΄, ἵνα καὶ κομπωδεστέρα φαίνη-
ται τοῖς πολεμίοις ἡ παράταξις καὶ ἀνετώτεροι γένωνται οἱ ὁπλῖται ἐν τοῖς περι-
πάτοις μάλιστα ἐπὶ διάστημα. ἐὰν γὰρ γένηται χρεία ἢ ἀπὸ η΄ ἢ ἀπὸ ις΄ ἵστασθαι
τὸ βάθος ἐν τοῖς περιπάτοις συμμέτρως γίνεται καὶ σφίγγεται:

Εἰ μέντοι σφιγκτῆς καὶ κοινῆς οὔσης τῆς παρατάξεως χρεία γένηται ἐκπλατῦναι τὸ
μῆκος αὐτῆς, πολλῆς ὥρας δεῖται εἰς τοῦτο καὶ οὐκ ἔστι ἀσφαλὲς τῶν πολεμίων
ἐπειγόντων ἐκτείνειν παράταξιν:

Οἱ δὲ βανδοφόροι μέχρι ς΄ τῆς παρατάξεως καβαλλάριοι μετὰ τῶν ἀρχόντων αὐ-
τῶν. ἐν δὲ τῇ παρατάξει καὶ αὐτοὶ πεζοὶ ὀφείλουσιν ἵστασθαι. ἔστω ἀνάγκη μηδὲ
τῶν ις΄ πλέον τὸ βάθος τῶν ἀκιῶν γίνεσθαι, κἂν ἡ τῶν ἐναντίων βαθυτέρα ἐστί·
μηδὲ τῶν τεσσάρων ἧττον. κἂν ἡ λεπτοτέρα ἐστὶ ἐναντίων ἡ παράταξις. ὥστε
τὸ μὲν πλέον τῶν ις΄ ἄχρηστον. τὸ δὲ ὀλιγώτερον τῶν τεσσάρων ἀσθενές. μέση δὲ τάξις
τῶν η΄ σκουτάτων λεγομένων ἤτοι ὁπλιτῶν ἐστι:

Παραγγέλλομεν δὲ ὥστε πᾶσαν ἡσυχίαν γενέσθαι ἐν τῷ στρατῷ. καὶ οἱ ἑκάστης ἀκίας
οὐραγοὶ ἐὰν ἴσως ψιθυρισμοῦ ἀκούσωσι παρά τινος τῶν μετ' αὐτῶν, μετὰ τῶν ἀ-
σιχίων δι' εὐλαβείας νύσσουσιν αὐτούς. καὶ ἐν ταῖς συμβολαῖς δὲ ἴσως ἐν τῇ μά-
χῃ ὠθοῦσι τοὺς ἔμπροσθεν αὐτῶν εἰς τὸ μή τινας τῶν ὁπλιτῶν ἐξ ὀλιγωρίας ὀ-
κνηρῶς ἀπομένειν:

Μὴ ἐπιτηδεύσῃς δὲ ἐπὶ πολὺ διάστημα τοὺς πεζοὺς ὡπλισμένους περιπατεῖν, ἀλλὰ

καὶ ἐὰν ἐμβραδύνωσιν οἱ ἀντιταττόμενοι καὶ χρεία τοῦ ἀναμεῖναι τὴν παράταξιν γένηται ἢ τὸν καιρόν, μὴ ἀναγκάζειν αὐτοὺς ἵστασθαι πολλὰς ὥρας ἵνα μὴ ὡς βάρος ἄπληστον ἔχοντες ἐν τῇ συμβολῇ κεκοπωμένοι στερηθῶσιν, ἀλλὰ παρασκευάζειν αὐτοὺς καθέζεσθαι καὶ ἀναπαύεσθαι, καὶ ὅταν ἐκ τοῦ πλησίον ἔλθωσιν τότε ἐγείρειν αὐτοὺς ἵνα ἄκοποι καὶ [illegible] μείνωσιν :—

Μηδὲ ἐν καιρῷ μάχης ἔμπροσθεν τῆς παρατάξεως περιπατεῖν, πλὴν τῶν τουρμαρχῶν καβαλλαρίων καὶ μανδατόρων δύο καὶ καμπιδουκτόρων δύο καὶ στεάθεος ἑνὸς καὶ ἀσπαθαρίου ἑνός. ὥσπερ καὶ ἔμπροσθεν ἔρχονται καθ' ἕκαστον ἄρχοντα μέχρι τοῦ ἐπιτεθῶσιν οἱ πολέμιοι. τότε δὲ ἕκαστοι ἀσφαλῶς ἐν τῷ ἰδίῳ μέρει ἔρχεσθαι καὶ ἵστασθαι :—

Ἐὰν δὲ δόξῃ τῷ καιρῷ ἤγουν τὰς ἁμάξας ἀκολουθεῖν τῇ παρατάξει, τάσσεσθαι αὐτὰς ἀπὸ ἑνὸς τόξου κατὰ τὸ βόλου τῆς παρατάξεως, καὶ συνακολουθεῖν ἐν τάξει τῷ ἰδίῳ μέρει. τοῦτον δὲ διάστημα κρατεῖν τὰς ἁμάξας ὅτι ἡ παράταξις ἔχει ἵνα μὴ ἔξωθεν γινόμενοι ταύτης ἀβοήθητοι μένωσιν :—

Ἑκάστη δὲ τῶν ἁμαξῶν κλίνειν τὸ ὄπισθεν μέρος σκέπεσθαι, ἵνα καὶ οἱ ἁμαξηλάται ἄνω ἱστάμενοι καὶ μαχόμενοι ὡς ἀπὸ προμαχώνων βοηθῶνται καὶ οἱ βόες φυλάττωνται ἀπὸ τῶν βαλλομένων βελῶν. τὰς δὲ βαλιστροφόρας ἁμάξας, ἤγουν τὰς ἐχούσας τὰς λεγομένας τοξοβολίστρας καὶ τὰ μαγγανικὰ ὄργανα, ὀλίγους κατὰ μέσον εἶναι τοῦ διαστήματος, τὰς δὲ πλείονας κατὰ γωνίας ἐν τοῖς ἄκροις τάττειν :—

Τοὺς δὲ ἁμαξηλάτας ἀκοντιστὰς δεῖ εἶναι, ἢ σφενδοβόλων, ἢ τζικουρίων, ἢ ματζουκίων, ἢ σαλιτῶν. ἔσωθεν δὲ τῶν ἁμαξῶν εὐθέως τὸ λοιπὸν τάσσεσθαι τοῦλδον, ἐφ' ᾧ τὸ μέσον τόπον τῶν ἁμαξῶν ἐκ τῆς παρατάξεως εὔκαιρον εἶναι· ἵνα κἂν πρὸς ἀσφάλειαν καιρὸς γένηται μένειν τοὺς σπουδάζοντας βιαζομένων τῶν ἁμαξῶν, εἴτε τοὺς καβαλλαρίους, εἴτε τοὺς πεζοὺς μὴ ἔχωσιν ἐμπόδιον μηδὲ συγχέωνται :—

Ἐὰν δὲ πολλὴ δύναμις τῶν ἐναντίων ἐκ τῶν ὄπισθεν ταῖς ἁμάξαις ἐνοχλῇ καὶ οὐκ ἀντέχωσιν οἱ ἁμαξηλάται, ἢ ὡς ἔθος πρὸς ἀσφάλειαν ἀθροιζόμενοι τότε ἐπιτίθεσθαι ὀλίγας τριβόλους. ἀλλ' ἐὰν ἐπιτίθωνται παραφυλάττεσθαι περὶ τοῦ μὴ δι' αὐτῆς τῆς ὁδοῦ ὑποστρέψαι τὸν στρατόν, ἀλλὰ δι' ἑτέρας ἵνα μὴ βλάβη τις ὑπὸ τῶν τριβόλων γένηται αὐτῷ :—

Καὶ τοῦτο δὲ [illegible] ὦ στρατηγέ ἵνα ἐν ταῖς ἡμέραις τοῦ πολέμου τῆς πεζικῆς ἢ

συμμίκτου παρατάξεως ἐὰν πολλοὶ εἰσὶν οἱ καβαλλάριοι τῶν ἐναντίων καὶ ὑπὲρ τὸ ἡμέτερον ἐστὶ τὸ πλῆθος αὐτῶν, καὶ καιρὸς οὐκ ἀκολουθεῖ τοῖς ἡμετέροις, μὴ ἐκτιθέναι εἰς ἴσον καὶ ἐπίπεδον τόπον παρατάσσεσθαι. ἀλλὰ μᾶλλον εἰς τόπους δυσχερεῖς καὶ δυσβάτους τυχεῖν, ἢ ὑλώδεις καὶ παλαματώδεις, ἢ πετρώδεις καὶ ἀνωμάλους, ἢ δασεῖς :

Φυλάττειν δὲ καὶ τὰς ὡς εἰκὸς τῶν νώτων καὶ τῶν πλαγίων ἐπελεύσεις, καθὰ πολλάκις εἴρηται, τὸ ἀσφαλίζεσθαι διὰ βίγλας. ἔχειν δὲ καὶ ὀλίγους σκουτάτους εἰς τὰ ἄκρα τῶν ἁμαξῶν καὶ εἰς τὸ μέσον αὐτῶν. ἵνα ἐὰν ἐξαίφνης ἐπιβοηθῶσιν ἐκεῖ ὡς εἰκὸς βουλομένων παρενοχλεῖν ἐχθρῶν. ἢ αὐταῖς ἢ τῇ παρατάξει καὶ τοῖς καβαλλαρίοις αὐτῆς :

Ἐὰν δέ ποτε δυνηθῇς ἀκουσίων κλέψαι τὸν πόλεμον καὶ τότε συμβάλλειν αὐτοῖς, πάντως ἂν τὰ μέγιστα βλάψεις αὐτούς :

Πολλοὺς δὲ καβαλλαρίους εἰς τὰς πεζικὰς μάχας μὴ βάλλειν, ἀλλ' ὀλίγους ἐν τοῖς ἄκροις τῆς παρατάξεως ἄχρι τριῶν ἢ τεσσάρων χιλιάδων λογικῶν. καὶ ἀρίστους τοὺς ὀφείλοντας εἰ καιρὸς γένηται τοὺς τρεπομένους τῶν ἐναντίων ἐπιτίθεσθαι καὶ διώκειν. τὸ γὰρ τούτου πλέον ἐν συμμέτρῳ πεζικῷ οὐκ ἀσφαλές :

Ἐὰν δὲ οἱ ἐχθροὶ καβαλλάριοι ὄντες ἐνδιατρίβωσι πρὸς τὴν πεζικὴν μάχην, καὶ πολλοὶ ὦσιν οἱ καβαλλάριοι αὐτῶν ὀλίγοι δὲ οἱ πεζοί. τοὺς μὲν καβαλλαρίους τάσσειν εἰς τὰ ἔμπροσθεν μέρη, ὄπισθεν δὲ τὴν πεζικὴν παράταξιν ἐπακολουθεῖν ἐν τάξει ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου τῶν καβαλλαρίων, καὶ παραγγέλλειν τοῖς καβαλλαρίοις περαιτέρω τοῦ διαστήματος τούτου μὴ ἀφίστασθαι τῆς πεζικῆς παρατάξεως. εἰ δὲ καὶ βαρηθῶσιν ὑπὸ τῶν ἐχθρῶν διὰ τῶν πλαγίων ἢ τῶν νώτων τῆς παρατάξεως ἢ ἴσως ὄπισθεν αὐτῆς περιτρέχειν καὶ μέσα ὄντως, ἵνα μὴ διακόπτωσιν αὐτῆς :

Ἐν δὲ τῇ ἡμέρᾳ τῆς συμβολῆς μὴ σπουδάζειν τὴν πεζικὴν παράταξιν. ἄσκοι καὶ πέραθεν εἴρηται ἐπὶ πολὺ διάστημα κινεῖν περαιτέρω δύο μιλίων ἔξωθεν τοῦ φοσσάτου. ἵνα μὴ ἀπὸ βάρους καὶ τῆς ὁπλίσεως συντρίβηται. ἀλλ' ἐὰν ἐπιφέρωνται οἱ ἐχθροὶ τὴν τοῦ πολέμου συμβολὴν καθέζεσθαι αὐτοὺς καὶ ἀναπαύεσθαι μέχρις οὗ μέλλουσιν ἐγγίζειν :

Εἰ δὲ καιρὸς θέρους ἐστὶ καὶ τὰς κασσίδας αὐτῶν ἐπαίρειν, ἵνα διαπνέωνται αἱ κεφαλαὶ αὐτῶν. οἴνου δὲ ἐν τοῖς τοιούτοις καιροῖς μεταλαμβάνειν τοὺς στρα-

κόλας οὐ χρή· ἵνα μὴ ἀναξίων οὐδεὶς κολάσῃ αὐτούς. ἀλλὰ ὕστερον ἐν ταῖς ἀκμά-
ζαις βασάνοις καὶ καθ' ἕνα διδόναι τοῖς δεομένοις ὡς εἰσὶν ἐν τῇ παρατάξει
αὐτῶν :—

Περὶ δὲ τὸν καιρὸν τοῦ πολέμου δεῖ καὶ αὐτὸν τὸν πεζικὸν στρατὸν ὥσπερ καὶ τὸ ἐπί-
λεκτον καβαλλαρίων ἐνέλκη ἐν ἡμέρᾳ μιᾷ ὁμοῦ ζωννύμενον. καὶ εἰ μὲν ὅσα
περ οἱ στρατιῶται τὰ δὲ ἀπὸ τοῦ δήμου γνωστά τε ἤτοι τὰ στρατιωτικὰ ἐπιτήδευμα,
ὑπομνῆσαι αὐτοῖς διὰ τῶν ἰδικῶν αὐτῶν ἀρχόντων ἰδίως ἑκάστῳ τάγματι ἀ-
πὸ ἑτέρων ἤτοι ἐν τοῖς ἀνωτέρω κειμένοις περὶ τῶν τοῖς ἁμαρτάνουσι στρα-
τιώταις κειμένων ἐπιτιμίων ἐν μάχης καιρῷ. καὶ ταῦτα γινώσκοντας, οὕτως
ἤδη ἐπὶ τὴν παράταξιν :—

Οὐκ ἄχρηστον δὲ τῷ στρατηγῷ ὡς ἐν ἐπιτόμῳ καὶ τὴν τῶν παλαιοτέρων τακτικῶν
ὑπόδειξιν διατυπῶσαι· ἣν ἐν τοῖς πεζικοῖς τε καὶ συμμίκτοις ὁποιοισοῦν στρα-
τεύμασιν, ὅτε μάλιστα καὶ πολλοῦ εὐπόρουσι στρατοῦ :—

Τὴν γὰρ ἅπασαν πεζικὴν στρατιὰν εἰς δεκαὲξ χιλιάδας καὶ τριακοσίους ὀγδο-
ηκοντατέσσαρας ἄνδρας ἐμέτρουν, ὡς τελειοτάτου τούτου ἐκ πολλῶν ἀ-
ριθμοῦ τακτικοῦ ζωννυμένου καὶ ἁρμοδίως εἰς τήνδε παράταξιν. καὶ δυ-
ναμένου διαιρεῖσθαι καὶ καταμερίζεσθαι ἴσως ἀπὸ τοῦ τοσούτου πλήθους
μέχρι καὶ ἑνός· καὶ τὸ ἐξ ὅλου τοῦ στρατοῦ ἐκάλουν τήνδε φάλαγγα :—

Αὕτη δὲ ἡ φάλαγξ παρ' αὐτοῖς εἰς δύο διαιρεῖται μέρη, διχοτομουμένη ἐξ ἴσου
ἀπὸ τοῦ μετώπου τῆς φάλαγγος ἤτοι τῆς παρατάξεως μέχρι τῆς οὐραγίας διὰ
τοῦ βάθους. ἤτοι τοῦ πάχους τῆς μιᾶς διερχομένης. καὶ τὸ μὲν ἥμισυ μέρος
δεξιὸν καλεῖται κέρας καὶ κεφαλή, ἐν ᾧ χιλιάδες ὀκτὼ ρϙβ ἄνδρες εὑρί-
σκονται. τὸ δὲ ἕτερον ἥμισυ μέρος ἀριστερὸν λέγεται κέρας καὶ οὐρά, ἐν
ᾧ καὶ αὐτῷ τὸ ἴσον μέτρον τοῦ δεξιοῦ τάττονται ὁμοίως ὀκτάκις χίλιοι
ἑκατὸν ἐνενήκοντα δύο. ἡ δὲ διαίρεσις γινομένη διχοτομία ἤτοι ὁ κενὸς
τόπος ὀμφαλὸς καλεῖται καὶ στόμα τῆς φάλαγγος. ἐν ᾧ καὶ ἡ τοῦ στρατηγοῦ γίνε-
στάσεις πρὸς τὸ ἐπιβλέπειν τὰ ἐν τῷ πολέμῳ πραττόμενα καὶ διακυ-
βερνᾶν ὡς ἐνδέχεται :—

Αὕτη δὲ ἡ πᾶσα παράταξις ὁπλῖται καλοῦνται· διὰ τὸ σκουταρίων τε καὶ
κονταρίων καὶ σπαθίων, καὶ τῶν ἄλλων ὅπλων τῶν πεφρασμένων βαρυτέ-
ραν ἔχοντες ὅπλισιν τοῦ ἄλλου στρατοῦ :—

Ὄπισθεν δὲ τοῦ ἡμίσεως τῆς διπλῆς τῶν ὁπλιτῶν παρατάξεως τάσσεται ἡ τῶν ψιλῶν λε-

τομένων στρατιωτῶν. ἐὰν ἀφρόντιστον ὅπλισιν ἐχόντων τῆς πρώτης παρατάξεως διὰ
τὸ εὐχερῶς ἔνθα βούλωνται διαφέρειν αὐτοῖς τόξα καὶ ἀκοντίσαι καὶ τοξεῦσαι καὶ
σφενδονίσαι. τούτων δὲ ἡ παράταξις εἶναι ὀφείλει ἡμίσεια τοῦ ἀριθμοῦ τῆς προ
τέρας παρατάξεως ἤτοι χιλιάδες ὀκτὼ καὶ ἐνενήκοντα δύο:

Ἐφεξῆς δὲ ταύτης ὄπισθεν ἡ τῶν καβαλλαρίων παράταξις τάττεται καθωπλισμέ
νων. καὶ τούτων δὲ ὁ ἀριθμὸς ἥμισυ πάλιν ἐστὶ τῶν λεγομένων ψιλῶν παρα
τάξεως, ἤτοι τετρακισχιλίους ἐνενήκοντα ἕξ:

Καὶ τοὺς μὲν πεζοὺς εἰς τέσσαρα μέρη διοίσεις φυλάττοντες ἅμα καὶ τοὺς ὁ-
πλίτας καὶ τοὺς ψιλοὺς ὡς ἂν ἡ χρεία ἀπαιτῇ. εἴτε παρὰ τὰ πλάγια τῶν ὁπλι-
τῶν τοὺς ψιλοὺς εἰς δύο ἑτέρας παρατάξεις, εἴτε ἔμπροσθεν. ἢ ὡς ἂν ἐδόκει
τῷ στρατηγῷ χρήσιμον:

Τοὺς δὲ καβαλλαρίους εἰς δύο διαμέριζον ἔνθεν κἀκεῖθεν. ἤτοι ἐπὶ νώτου τῶν πε-
ζῶν ἤτοι ὄπισθεν, ἢ εἰς τὰ πλάγια. ἢ ὡς ἂν ἡ χρεία ἀπαιτῇ. ὁ γὰρ στρατηγὸς οὐχ
ὡς βούλεται, ἀλλὰ μᾶλλον ὡς ἀναγκάζεται οὕτως καὶ τάττει τὸ στράτευμα.
πρὸς γὰρ τὸ ἀντιπολέμιον καβαλλαρικὸν καὶ τὸ ἴδιον στοιχεῖ, ἵνα εὐρυχω
ρίαν ἔχοντες μὴ ἐμποδίζωνται πράττειν. ὅταν δὲ ποιῇς τοὺς καβαλλαρί
ους εἰς τὴν τῶν πεζῶν βοήθειαν. εἴτε κατὰ πρόσωπον, εἴτε ἐκ πλαγίου, εἴτε
ὄπισθεν κατὰ νώτου:

Κρεῖττον δὲ ποιήσεις τάττων τῶν λεγομένων ψιλῶν τῆς παρατάξεως ἡ χρεία οὕ
τω καλοῦσα ἐκ πλαγίων. εἰ γὰρ μέσοι ταχθῶσιν, ἀναμερίζεται αὐτῶν τὰ ὅ
πλα γίνονται. οἱ γὰρ ἀκοντίζοντες ἢ τοξεύοντες ἢ σφενδονισμῷ τῷ ἀναγκάζονται)
ἔνδος πέμπειν, καὶ μᾶλλον τοὺς ἰδίους βλάπτουσιν ἢ τοὺς πολεμίους. καὶ
γὰρ τὰ βέλη κατὰ κεφαλῆς ἐνεχθῶσι τῶν ἔμπροσθεν. οἱ δὲ σφενδονοῦντες
τῷ ἐμποδισθῆναι τὰς χεῖρας αὐτῶν μὴ δυνάμενοι τὴν σφενδόνην ἐ
λίσσειν:

Ἐὰν δὲ οἱ πολέμιοι πλείους ἔχωσι ψιλοὺς ὑπὲρ τοὺς ἡμετέρους, τότε τοὺς ὁ
πλίτας ἤτοι τοὺς πρωτοστάτας ἔμπροσθεν δεῖ τάττεσθαι ἔχοντας σκουτά
ρια μεγάλα ἐπιμήκη ἃ ἐπιλέγουσι θυρεοὺς ὡς σκέπειν ὅλα τὰ σώματα
ἀνδρὸς ἔχοντα μῆκος. οἱ δὲ μετὰ τούτους ὄπισθεν ταττόμενοι καὶ μέχρι
τῶν ὄπισθεν ὑπὲρ κεφαλῆς ἄραντες τοὺς θυρεοὺς. οὕτως περιέρχεσθαι ἕ- : ὄπισθ(εν)
ως ἂν ἐκτὸς γένωνται τῶν ἐπιπομένων βελῶν ἢ ἐκ πλαγίων. οὕτως γὰρ ὡς
εἰπεῖν κεραμίδας οὐδὲν πάθωσι κακὸν ἀπὸ τῶν ἐπιπομένων παρὰ τῶν

πολεμίων τηρεῖν :

Εἰ δὲ καὶ ἔνθεν κἀκεῖθεν ἡ παρὰ τῶν ψιλῶν βοήθεια πάρεστιν, οὕτω πρέπειν ἢ γένηται ἡ συμβολὴ καὶ ταύτας καὶ εἰ κλάσματα ἔλθωσι κατὰ τῶν αὐτῶν πάλων. ἢ καὶ μετὰ τὴν συμπλοκὴν τῆς μάχης ἐκ πλαγίων τῆς τῶν ἐχθρῶν παρατάξεως ἐπιτεθέντες περιπέμπωσι τὰ βέλη κατ' αὐτῶν, ἵνα συγχαυνῶνται οἱ καὶ ἀπὸ τῶν πλαγίων θορυβούμενοι καὶ ἡττώμενοι πρὸς τοὺς ἔμπροσθεν :

Ἐὰν δὲ παράκειται ὀχύρωμα, τότε μᾶλλον τοὺς ψιλοὺς βοηθοῦσιν. βάλλειν γὰρ τὰ βέλη κατὰ τῶν πολεμίων καὶ εἰς αὐτοὺς καταξέοντες ἀφοβώτερον δύνανται. οἷον εἴτε κρημνώδης τόπος, εἴτε ποταμοῦ ὄχθη, ἢ καὶ βουνὸς ὑπερανέχων, ἢ καὶ ἕτερόν τι ὀχύρωμα :

Ὀφείλει δὲ εἶναι διάστημα εἰς τὰς παρατάξεις. ἵνα ἐὰν οὕτως συμβῇ καὶ οἱ ψιλοὶ ἐκκενώσωσι τὰ βέλη αὐτῶν καὶ οὔπω γένηται ἡ συμβολὴ ἀλλ' ἔτι προάγουσιν οἱ πολέμιοι. τότε ὑποστρέφουσιν οἱ ψιλοὶ μετὰ εὐταξίας, καὶ διελθόντες μέσον τὴν φάλαγγα ἀταράχως ὑπόπισθεν διασωθῶσιν. οὐ γάρ ἐστιν ἀσφαλὲς κελεύειν αὐτοὺς ἔξωθεν τὸ στράτευμα καὶ οὕτω διέρχεσθαι, ἵνα μὴ παρὰ τῶν ἐχθρῶν ἐπερχομένων μετὰ τὸ κενώσασθαι διαπέσωσιν. οὔτε δὲ εἰς τὰ ὅπλα παγιωμένους ἐμπεπλῆσθαι, πεπυκνωμένης οὔσης τῆς τάξεως τοσοῦτον βιάζεσθαι :

Ἑτέρας δὲ τάξεις ἔχειν ἐνόπλους καὶ ἐντίμους, ἵνα ὅταν οἱ ψιλοὶ τὰ ὅπλα κενώσωσι, τότε ἐκεῖνοι αὐτοὺς διαδέξωνται καὶ τὴν τάξιν ἐκείνων τηρεύωσιν :

Ἐπειδὴ δὲ τὸ πλάτος τῆς παρατάξεως πρὸς τὰς ἐχθρὰς ἐκτεινομένης αὐτῆς ἐπὶ μῆκος συστέλλεται καὶ λεπτύνεται. δέον ἐστὶ μὴ ἐκτείνειν τὴν παράταξιν ὑπὲρ τὸ δέον, ὥστε πάντων ἀσθενῆ καὶ χωρὶς βάθους ποιῆσαι ἤγουν κατὰ τὸ πάχος φοβούμενον τὰς κυκλώσεις. συμβαίνει γὰρ τοὺς πολεμίους ταχὺ δύνασθαι αὐτὴν καὶ διόδους ποιῆσαι καὶ μὴ μόνον ἀπὸ ἔμπροσθεν μόνον ἐνεργεῖν τὴν κύκλωσιν, ἀλλὰ καὶ διαβαλλομένους διελθόντας ἀπὸ ὄπισθεν εὑρεθῆναι καὶ οὕτω ποιῆσαι τὴν βλάβην. τότε δὲ δεῖ τὸν στρατηγὸν μάλιστα φυλάττεσθαι ἵνα μὴ πάθῃ, ἀλλὰ καὶ σπεύδειν ὅπως τοιοῦτον ποιήσῃ κατὰ τῶν πολεμίων :

Πρέπει δὲ μὴ οὕτως πυκνοῦσθαι τὴν παράταξιν εἰς πάχος, ὥστε εὐκόλως κυκλώσεις παθεῖν παρὰ τῶν πολεμίων. ἀλλὰ μᾶλλον καὶ τοὺς ἐκ τῶν πλαγίων καὶ τοὺς εἰς τὸ ὄπισθεν ἐστῶτας στρατιώτας, κατὰ τὸ ἴσον ὁπλίσαι δεῖ

πρωτοστατῶν· οὔτε γὰρ δύνανται τὰς κυκλώσεις μᾶλλον ἀποδιδρᾶν τῶν ὑπο-
λειμμένων :

Σοφοῦ δὲ καὶ φρονίμου στρατηγοῦ τὸ εἰς τοιούτους τόπους παρατάσσεσθαι· ἐν
αἷς γὰρ καὶ ἐπὶ τέλει τοῦ σκοποῦ ἐνδοὺς οὔτε κυκλώσεις, οὔτε ἄλλο τι τοιοῦτον
δύνανται γίνεσθαι ὡς ἂν ἐν πεδίῳ ἡμῖν δεδήλωται· πολλὰ γὰρ ἰσχύει φρόνησις
στρατηγοῦ ἐν καιρῷ πολέμου ἐφευρίσκουσα τὰ συμφέροντα, ὅτι τῆς ἄνω-
θεν τῶν θεῶν ῥοπῆς καὶ εὐμενείας δῶροι καὶ νίκη καὶ ἐπίσταμαι τοῖς ἀ-
ξίοις τῶν θεῶν διὰ τὴν αὐτῶν ἀρετὴν παρεχόμενοι :

Καὶ ποτὲ δὲ ἐν καιρῷ μάχης τῶν πολεμίων προτερούντων, ψεῦδος ἐφή-
μισεν βοήσας τεθνηκέναι τὸν τῶν πολεμίων στρατηγόν· ταύτης δὲ τῆς φωνῆς διαδο-
θείσης ἐπειδὴ ὁ καιρὸς ὀξὺς ὢν οὐκ ἐνδίδου τάχος τὸ δέον πᾶσι νοεῖν· οἱ
μὲν πολέμιοι πόρρω τοῦ ἰδίου ὄντες στρατηγοῦ οἱ μὲν ἀπέστησαν· οἱ δὲ τοῦ φη-
μίσαντος στρατηγοῦ θάρσος ἀναλαβόντες ὡς ἀληθοῦς τῆς φήμης οὔσης, προθυμό-
τεροι ἠγωνίζοντο, καὶ οὕτω τῆς σεσοφισμένης φήμης καὶ ψευδοῦς τὴν νί-
κην ὠφελείας ἠρατο· οὕτως ἀγχινοία ἐπὶ καιροῖς τῶν πραγμάτων ἐπι-
λαβομένη πολλάκις καὶ στρατηγοῦ σοφισαμένη τοὺς ἀντιπάλους :

Εἴρηται δὲ τοῖς νεωτέροις περὶ τοῦ μὴ λαμπρὰν φαίνεσθαι τοῖς πολεμίοις
τὴν σὴν παράταξιν, ἀλλὰ κρύπτειν τῶν ὅπλων τὴν στίλψιν ἕως αὐτῆς τῆς
διὰ χειρῶν συμβολῆς διὰ τὴν ἐπικρατοῦσαν τοῖς ἔθνεσι φήμην· ὀνήσαν-
δρος δὲ καὶ αὐτὸς στρατηγικὸν συντάξας λόγον· οὐχ οὕτως λέγειν δοκεῖ, ἀλλὰ
μᾶλλον λαμπρὰν ἀξιοῖ τὴν παράταξιν φαίνεσθαι πρὸς τὴν τῶν πολεμίων
κατάπληξιν :

Ἐμοὶ δὲ δοκεῖ ἢ ἀγνοεῖν ἐκεῖνον τότε τὴν τοιαύτην φήμην ὡς νεωτέραν γενο-
μένην, ἢ τάχα περὶ τῆς συμβολῆς ἀθροίσαι· κατ᾽ αὐτὴν δὲ τὴν συμβολὴν καὶ αὐ-
τὸς σὺν τοῖς νεωτέροις καὶ ἡμῖν ὁμοίως παραγγέλλει λαμπρὰ τὰ ὅπλα-
δεικνύειν ἀθρόως· κατάπληξις γὰρ μᾶλλον γίνεται οὐχ ὅταν μακρόθεν ἐρ-
χομένων λαμπρῶν τῶν ὁπλιτῶν ἤθεα συνήθης γίνηται, ἀλλ᾽ ὅταν ἰδοῦσ-
α καὶ φαινομένη συνήθη παράταξις, ἀθρόον καὶ παρευθὺ ἀναδειχθῇ ἐξ
ἀπροσδοκήτου λαμπρά· τότε γὰρ μᾶλλον καὶ θέας βοηθείας σημεῖον τά-
χα ὑπονοήσωσι καθ᾽ ἑαυτῶν οἱ πολέμιοι· ἀσφαλέστερον δέ σοι ὦ στρατηγέ
καὶ τὸ μὴ πρότερον τὴν σὴν παράταξιν δεικνύειν τοῖς πολεμίοις ἐν ἡμέ-
ρᾳ πολέμου πρὶν αὐτὴν ἐκείνων μάθῃς πῶς καὶ ὁποίᾳ σχήματι πα-

ρελάξαι :

Σκόπει δὲ καὶ τὸν καιρὸν τῆς μάχης προνοῶν μᾶλλον τῶν μαχομένων καθεστῶσι καὶ προσάγειν ὑπὲρ μέτρα ἢ βλέπειν ἕτερον ἀλείφειν καὶ ταῖς χερσὶ συμπλέκεσθαι ὅταν μὴ ἀνάγκης ἐστὶ καιρός· μᾶλλον δὲ τὸ παντελῶς ἀπέχεσθαι διὰ χειρῶν τοῖς πολεμίοις συμπλέκεσθαι καὶ ἀνυπέρβλητον ἀνδρείαν ἀπαιτεῖν· οὐ τοσοῦτον γὰρ ὠφελήσεις τὸ στράτευμα μαχόμενος ὅσον ἀποθανὼν βλάψεις αὐτό, ὅτι γὰρ τοῖς συμπλεκομένοις οὐκ ἀπροσδόκητόν ἐστιν· εἰ γὰρ διαφθείρεις μόνος φθάσοις ὡς πρόσκαιρον ἤτοι εἰρηθὲν ὅτε πέπτωκεν ὁ στρατηγός, οἱ τοῦ ἔθνους αὐτοῦ ἀπόλλυνται. πόσῳ μᾶλλον εἰ τῇ ἀληθείᾳ γένηται τοῦτο μεγάλη παρακολουθεῖ βλάβη τῷ τοῦ πεσόντος ἀρχηγοῦ στρατηγοῦ στρατεύματι :

Μᾶλλον δὲ ἐν ἀσφαλείᾳ ὀξέως βλέπε καὶ πράττε τὰ δέοντα. τότε γὰρ μᾶλλον θαυμάζεται στρατηγὸς ὅταν κατὰ τὸ ὀξὺ τῆς ἀνάγκης τὰ πρέποντα διοικήσῃ, ἢ ὅτε ἐν ἀδείᾳ ὢν τὰ εἰκότα προβουλεύσηται :

Εἰ δὲ χρὴ τότε καὶ κατὰ τὴν αὐτὴν ὥραν λόγοις ἀναθαρσύνειν τοὺς στρατιώτας καὶ ἐπαγγελίαις ταῖς ἀπὸ τῆς βασιλείας ἤτοι τοῖς ἀριστεύουσιν ἀποκειμέναις, καὶ τὴν ἀπὸ θεοῦ βοήθειαν παροῦσαν. ἔδει δὲ πλέον καὶ σημεῖά τινα ἐπινοεῖν καὶ δεικνύειν καὶ ὑποτίθεσθαι φαντάσματα καὶ τὴν ἤδη μετὰ θεὸν συμμαχοῦσαν νίκην καὶ ἕτερα τινὰ ποιεῖν ἁρμοζομέναις γνώμαις κατὰ τὸ ἦθος τοῦ στρατεύματος εὐείσοισιν ἀναγνώθοις· ὅσα σε δεῖ καὶ πρὸ τοῦ πολέμου καὶ ἐν τῷ πολέμῳ καὶ μετὰ τὸν πόλεμον ἢ λέγειν ἢ πράττειν, καὶ διὰ τούτων καθεξῆς τῶν πολεμίων ἀναδείκνυσθαι. τοιαῦτα καὶ περὶ τῶν ἐν αὐτῷ τῷ πολέμῳ πράξεων ὡς ἐν συντόμῳ ἤτοι εἴρηται.

Ταῦτα σοι ὡς περὶ τῶν πολεμικῶν παρασκευῶν ὅσα τε καβαλλαρικὰ καὶ ὅσα πεζικὰ εἴρηται ἤτοι ὡς ἐν συντόμῳ :

## Τοῦ αὐτοῦ πολεμικῶν παρασκευῶν διάταξις ιε΄. Περὶ πολιορκίας :

Ἑξῆς δεῖ καὶ περὶ πολιορκίας ἡμῶν διατάξασθαι τῷ στρατηγῷ· ἀπὸ τῶν παλαιῶν καὶ νέων ἀπολογίσασθαι. καὶ ὅσα δεῖ πράττειν ἢ πολιορκοῦν

τὰ πολεμίους ὡς εἰκός, ἢ πολιορκούμενον ὑπ' αὐτῶν ὕδατι καὶ σίτων ἐνδείαν πιέζων ἢ ἄλλοις διὰ τῆς δυνάμεως προσεπινοήσῃ λαβόμενος ἀφορμῆς· καὶ ὅσα καὶ ἐν ταύταις ταῖς ἐπιβουλαῖς δυνατὰ δὲ γίνεσθαι τῆς χρείας κατὰ τοὺς καιροὺς καὶ τόπους διδασκοσης τὰ ἕκαστα. :–

Πολιορκίας δεῖται στρατηγοῦ ἀνδρείαν ἐπιστήμην καὶ διάνοιαν ὀξεῖαν καὶ στρατηγικὴν καὶ ἔμφρονα, καὶ παρεσκευασμένας μηχανημάτων· ἀσφάλειαν δὲ ἐν τῷ παρακαθῆσθαι ἢ πόλει ἢ φρουρίῳ ἢ ὀχυρώματι, καὶ μετὰ πολλῆς προσοχῆς ταύτην γίνεσθαι τὴν ἀσφάλειαν. :–

Χρὴ δὲ ὅπως οἱ στρατιῶται παρακαθεζόμενοι τινὶ τῶν εἰρημένων ἐν ᾧ τόπῳ καθέζονται φοσσᾶτον ὀχυρὸν ποιεῖν, ἤτοι ἢ τάφρον βαθεῖαν ἢ ἀποκλεισμάτων ἢ λίθων ἢ πλίνθων ἢ ξύλων. ἢ ὡς ἐπινοήσεις πρὸς φρασσεῖν ἑαυτοὺς ἀπὸ τῶν πολεμίων καὶ βίγλας πολλὰς καὶ ἀκριβεῖς ἔχειν, καὶ μάλιστα εἰς τοὺς ἀνυπονοήτους τόπους. ἵνα μὴ οἱ πολιορκούμενοι ἢ ἔξωθεν ὄντες πολέμιοι ἄφνω ἐπερχόμενοι ἢ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ κινδύνους τῷ στρατῷ προσάξουσιν ὅπερ γέγονε πολλάκις ἐπὶ τῶν πολιορκουμένων πόλεων· οἱ γὰρ ἔξωθεν ἀπὸ τοῦ τείχους βλέπουσιν ὅτι καὶ πράττειν μέλλεις καὶ αὐτῶν διὸ πρέπον τὸ ἴδιον ἀσφαλίζεσθαι στράτευμα. :–

Κρεῖττον δὲ ποιήσεις ἐὰν παρὰ τὰς πόρτας ἢ εἰς τὰ παραπόρτια τῆς πόλεως ἢ κάστρου ἢ τὰς διεξόδους ἑτέρου ὀχυρώματος παρακαθίσεις τινὰς στρατιώτας οἵτινες τὰς αἰφνιδίους καταδρομὰς τῶν πολεμίων ἀποκωλύσαι δύνανται. καὶ μάλιστα ἐν ταῖς νυξὶ χρή σε τὴν τοιαύτην ἔχειν ἀσφάλειαν. τότε γὰρ μᾶλλον αἱ τοιαῦται καταδρομαὶ γίνονται. :–

Ἀλλὰ καὶ αὐτὸς ἐὰν ἐν νυκτὶ ἐπιβάλλῃς τὴν πολιορκίαν φοβερώτερος γενήσῃ τοῖς ἔσωθεν πολιορκουμένοις. οὐ γὰρ δύνανται ὁρᾶν τὰ γινόμενα διὰ τὸ σκότος. καὶ πλέον ταράττονται καὶ τὰ φρονήματα αὐτῶν ὑποχαλῶσιν καὶ πολλὰ δεινὰ κατὰ τὴν νύκτα γίνεσθαι ὑπονοοῦσι καὶ αὐτῶν ὅτε πολλάκις οὐδὲ αὐτὸς ἐπινοεῖς. πᾶν γὰρ τὸ ἐν νυκτὶ γινόμενον κἂν μικρὸν ἐστὶ φοβερώτερον γίνεται τοῖς πολιορκουμένοις. διὸ καὶ ταχύτερον ὑποχαλῶσιν καὶ τὴν ὑποταγὴν ἀσπάζονται. εἰ γὰρ ἴδωσιν ἕνα που ἢ δύο ἐπὶ τὸ τεῖχος ἀναβιβάσαι νομίζουσιν οἱ ἔνδον τὸ πᾶν στράτευμα ἐπὶ τὰ τείχη ἀναβῆναι καὶ τραπῆναι καὶ ἔρημα καταλείπουσι τὰ τείχη. :–

Ἐπὶ δὲ τῶν τοιούτων διὰ τὴν εὐτεχνίαν τοῦ στρατηγοῦ καὶ ἀνδρείαν φαίνεσθαι. ἵνα

καὶ αὐτὸς τῶν τοιούτων ἐπιπόνων τῆς πολιορκίας ἔργων ἅπτεσθαι χερσὶν οἰκείαις. μᾶλλον γὰρ ὁ στρατὸς ἐντραπήσεται καὶ οὐχ ἧττον ὡς ἐπιτασσόμενοι, ἀλλ' ὡς ἐξ ἴσου φίλῳ συμπονοῦντες ἐπὶ τὰ δυσχερῆ τῶν ἔργων ἐπιδώσουσιν ἑαυτοὺς προθυμότερον:-

Χρεὼν δέ σε ἀνασκοπεῖσθαι ἀκριβῶς καὶ τῆς πολιορκίας ἀρχόμενον. πρῶτον μὲν ἐὰν δυνατόν ἐστι στενοχωρεῖν τοὺς ἔνδον περί τε τὸ ὕδωρ ἢ περὶ τὴν τροφήν. εἰ δὲ ταῦτα ἀφθόνως ἔχουσιν τότε μηχαναῖς κεχρῆσθαι πολεμικαῖς:-

Καταπλήξεις δὲ αὐτοὺς ἐὰν τοὺς ἀρίστους τοῦ στρατεύματος ἢ ἀρχόντων ἐπιλεξάμενος, ἡλικίᾳ καὶ θεωρίᾳ τελείους καὶ ὅπλοις ἀστράπτοντας τούτους ἐκ τοῦ πλησίον τοῦ τείχους ἢ τοῦ ὀχυρώματος ἐν παρόδῳ ὑποδείξῃς τοῖς πολιορκουμένοις. τοὺς δὲ ὑποδεεστέρους μετὰ τῆς ἀποσκευῆς μακρόθεν ἐκτάξῃς, ἵνα μὴ δύνωνται οἱ πολέμιοι διακρίνειν αὐτοὺς ἢ ἄνδρας ἢ ἀχρείους. ὅλως γὰρ πάντας τοὺς φαινομένους ἄνδρας εἶναι νομίζουσι, καὶ τοιούτους οἵους εἶδον πλησίον ἐλθόντας:-

Πάντως δὲ ἐπιτήδειόν ἐστι τὸ πολλοὺς λωρικάτους ἢ καταφράκτους φαίνεσθαι τοῖς πολιορκουμένοις, ἀλλὰ καὶ τοὺς μὴ ἔχοντας λωρίκια καὶ κασσίδας δι' ἐπιτηδεύσεως δεικνύειν ὡς λωρικάτους καὶ καταφράκτους. ἵνα πάντες τοιοῦτοι φαινόμενοι δειλίαν ἐμποιῶσι τοῖς ἔσωθεν:-

Καὶ τὰ ἄπληκτα δὲ ἀπὸ μακρόθεν ποίει, ἵνα πάντα τὰ ὁρώμενα παρὰ τοῦ ἑνὸς στρατεύματα φαίνωνται:-

Καὶ προτείνων μὲν δηλοποίει τοῖς ἐν τῇ πόλει ἢ τῷ φρουρίῳ καὶ προβάλλεσθαι εἰς ἐπιτήδειόν σοι διαλύσεως πράγματα εὐχερῆ ἤτοι ἄλογα αὐτῶν, ἤ τινα ἄρματα, ἢ ἕτερα τινὰ τῶν ὑπαρχόντων αὐτοῖς πραγμάτων φερτά. ἵνα τῇ εὐχερείᾳ τῶν προτεινομένων καὶ τῇ ἐλπίδι τῆς σωτηρίας εἰς διχόνοιαν ἔλθωσι καὶ χαυνότεροι γένωνται πρὸς ἀντικατάστασιν καὶ κινδύνους:-

Τὸ γὰρ ἀθρόως ἐκ προοιμίων σκληρὰ καὶ βαρέα προτείνειν, οὐκ ἐμφρόνως κρίνομεν στρατηγοῦ. τῇ γὰρ δυσχερείᾳ καὶ τῷ βάρει τῶν προτεινομένων λόγων λόγων ἀφορητότερον λογίζονται τὸν κίνδυνον οἱ πολιορκούμενοι. καὶ διὰ τοῦτο εἰς ἀπόγνωσιν καὶ ἀπόνοιαν ἔρχονται:-

Πρὸ πάντων δὲ πρέπον ἐστὶ καὶ μάλιστα ἐν ταῖς μακραῖς, ἵνα ἀστενοχωρήτως καθέζηται ὁ στρατὸς μηδενὸς λειπόμενος:-

Ἀφορίσεις δὲ καὶ τοὺς ἀνθρώπους τοὺς ἐπὶ ἑκάστῃ ἔργα ἰδιάζοντας ἐργάζεσθαι καὶ

κάμνειν τοῖς πόνοις ὀφείλοντας καὶ διὸ εἶναι τίς ποίαν ἔχοιεν ποιεῖν ὀφείλει:

Ὅταν δὲ ἀπάρξῃ τοῦ προσβάλλειν εἰς πολιορκίαν, οὐ χρή σε πάντα τὸν στρατὸν τοῦ καθ᾽ ἑκάστην ἡμέραν ἄγειν εἰς πόλεμον· ἵνα μὴ πάντες ὁμοῦ ἀποκάμωσιν. ἀλλ᾽ εἰς μέρη διάφορα αὐτὸν διαμερίσας καὶ ἀφορίσας, πόσοι καὶ πόσας ὥρας τῆς ἡμέρας ὀφείλουσι κάμνειν. καὶ διακρίνας τίνες οἱ ἐν τῇ νυκτὶ καὶ τίνες οἱ ἐν τῇ ἡμέρᾳ. δεῖ γὰρ καὶ ἐν ταῖς ἡμέραις ὀχλεῖσθαι τοὺς πολιορκουμένους διὰ πολέμου ἐκ διαδοχῆς ἀλλήλων· καὶ ἐν ταῖς νυξὶν ὁμοίως διὰ φόβου ἐπὶ τούτῳ ἀφοριζομένων τινῶν καὶ ποιούντων διὰ νυκτὸς τοὺς φόβους, οἵους καὶ ὅσους ἐπινοοῦσι:

Εἰ δὲ στρατὸν ἔχεις πολὺν ὥστε δύνασθαι καὶ ἐν νυκτὶ ταύτῃ ἔχεσθαι πολιορκεῖν. καλῶς ποιήσεις ἐὰν τοῦτον διέλῃς εἰς τὰ τέσσαρα μέρη. καὶ οἱ μὲν αὐτῶν ἐπὶ ὥρας τῆς νυκτὸς ἀφωρισμένας κοιμῶνται οἱ δὲ προσβάλλουσι καὶ πάλιν οἱ καμόντες τῇ προσβολῇ ὑπνοῦσιν. καὶ οἱ πρῴην ὑπνώσαντες πολιορκοῦσιν, καὶ τοῦτο ἐκ διαδοχῆς ἀλλήλων καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἄνευ δόλως ποιεῖς, ὥστε μὴ ἐᾶσαι καὶ μικρὰν ἄνεσιν τοὺς πολιορκουμένους λαβεῖν. οὕτως γὰρ ἐκλυόμενοι ὑπό τε τῆς ἀγρυπνίας καὶ τῆς συνοχῆς τοῦ καμάτου συχνῶς διὰ τῶν προσβαλλομένων καὶ μηχανημάτων καὶ λογισμῶν, ἢ ἑαυτοὺς ἐπιδοῦναι συντίθενται ἑκουσίως ἢ καὶ ἀκόντων ἁρπάζονται μικρὸν ἀμελήσαντες διὰ τὸ ἀνένδοτον τῶν ἐπερχομένων αὐτοῖς κινδύνων:

Τὸ πολλάκις γινόμενον διὰ προσβολῶν μᾶλλον καὶ δυσχερέστερον αὐτοὺς παραλαβεῖς ἀνυπονοήτου τόπου, ἢ τόπου τινὸς διὰ τούτων ὑποδειχθέντος:

Ἐν δὲ ταῖς βιαίαις ἐκ διαδοχῆς πολιορκίαις καὶ αὐτὸς ὁ στρατηγὸς ἔχων ὀλίγον ἀναπαύου καὶ ζωοθρεμῶν, ἵνα νήφῃς πρὸς τὰ ἁρμόζοντά τι διατάττεσθαι:

Ἐὰν δὲ ἀνδρειότερον διακείμενος χρείας οὔσης διαμερισθῆναι εἰς πολλὰ μέρη τὸν στρατὸν καὶ ἕκαστον μέρος προσφέρειν σκάλας εἰς τὸ τεῖχος κρεῖττον ποιήσεις. ἐν κύκλῳ γὰρ γινομένης τῆς προσβολῆς ὁμοῦ εἰς ἀμηχανίαν καὶ ὀλιγωρίαν οἱ πολιορκούμενοι ἐμπεσοῦνται. μάλιστα δὲ μετὰ τῶν σκηνῶν καὶ τὰ ἕτερα μηχανήματα προσβάλλῃς, οἷον κριούς, ἢ χελώνας, ἢ πύργους, ἢ ἕτερον τι πολιορκητικὸν ὄργανον. ἐὰν ὁμοῦ καὶ τὰ μηχανήματα προσφέρῃς ὁμοῦ καὶ τὰς σκάλας εἰς τὸ τεῖχος ἐπιστήσῃς διὰ πολλῶν ἡμερῶν συνταράττονται οἱ ἔνδον. εἴτε γὰρ ἀφήσαντες τὰ ἀνὰ ἄλλων μερῶν τοῦ τείχους εἰς τὰς προσβαλλομένας μηχανὰς ἀντιμάχονται, πάντως οἱ τὰς σκάλας προσφέροντες μηδενὸς

ἀποκωλύοντος βιαίως σκάλας ἀνακλιθῆναι ἐπὶ τὸ τεῖχος, κἄν τε διαμένει ρίψωσιν ἑαυτοὺς κατὰ τῶν προσφερόντων τὰς σκάλας. τότε οἱ τὰς μηχανὰς περιέχοντες τὴν ὀρδίναν σφοδροτέρας αὐτοῖς ποιήσουσιν τὰς ἐπιθέσεις, καὶ οὐ δυνήσονται τὰ ἐπιφερόμενα κακὰ διὰ τὴν ἀμφοτέρων τὴν προσβολὴν ἀποκρούσασθαι :—

Πολλάκις δὲ ἐπὶ τῆς πολιορκίας οἱ νομιζόμενοι ὀχυρώτατοι καὶ ἀνεπιχείρητοι πρὸς ἅλωσιν τόποι, μᾶλλον ἀφορμάς τοι παρέξουσιν ἁλώσεως. οἱ γὰρ ἔνδον διὰ τὴν δοκοῦσαν ὀχυρότητα τοὺς τοιούτους τόπους ἀφυλάκτους καταλιμπάνουσιν. οἱ δὲ διὰ τὸ τῆς ἐπινοίας καὶ τῆς ἐπιπόνου ἐργασίας τοὺς τοιούτους τόπους κατανοεῖν, τάχα μηχανῆς εὑρίσκουσι καταλαβεῖν αὐτοὺς ἀφυλάκτους ὄντας, ἢ διὰ σκαλῶν ἀναβαινόντων, ἢ διά τινος βιαίας ἀναβάσεως εὐτόλμων ἀνδρῶν ἐπαγγελίας λαβόντων δωρεῶν καὶ τιμῶν. ἐντεῦθεν γὰρ [illegible] δοκεῖ τοῦ θεωρήσαντες οἱ ἔνδον τοὺς τοιούτους τόπους καταληφθέντας ἀποπαύσωνται καὶ τὰ ὅπλα ἐκ τῶν αὐτῶν, ἢ ἀλλάξουσιν τὴν στάσιν, ἢ κατὰ κράτος διαφθαρήσωνται. οἱ γὰρ ἀναβάντες εἰς τὸ τεῖχος διὰ τῆς δυσχερείας ἐκείνης, ἢ ἐλπίδα σι καὶ φόβον ἐμποιήσουσι μείζονα ὁραθέντες, ἢ διαδραμοῦνται τὴν βοήθειαν, καὶ τὰς πόρτας ἀνοίξουσιν εἴτουν τοῖς ἔξω στρατιώταις, ἢ διά τινων ἑτέρων ἐπινοιῶν τὴν ἅλωσιν τῆς πόλεως, ἢ τοῦ κάστρου διαθήσουσι :—

Εἰ δὲ τὸ κάστρον ἢ ἡ πόλις πλῆθος ἔχει λαοῦ καὶ δύναμιν καὶ τολμήσωσιν οἱ πανικάζοντες ἀμύνεσθαι τοὺς εἰσελθόντας, διὰ τὸ αὐτοὺς τοὺς ὑψηλοτέρους τόπους καταλαβεῖν, ἢ τὰ ἄκρα τῆς πόλεως καὶ ἐκεῖθεν πολεμοῦντας κακοῦσθαι τοὺς ἐν τῇ πόλει ὄντας, κηρύξουσι δὲ τότε ἵνα μηδεὶς κτείνῃ τὸν ἔχοντα ὅπλον, μόνους δὲ κτείνειν τοὺς τὰ ὅπλα φέροντας. ταύτην δὲ τὴν φωνὴν κηρύττεσθαι κατὰ τὴν πολιτικὴν διάλεκτον. ἕκαστος γὰρ ἀκούσας καὶ τῆς ἰδίας προνοούμενος σωτηρίας, ἐν τῇ ἀκμῇ τοῦ φόβου ἀπορρίψει τὰ ὅπλα καὶ τῶν αὐτῶν πολεμούντων ὀλιγουμένων κατὰ κράτος οἱ πολιορκοῦντες νικήσουσιν. οἱ γὰρ πολιορκούμενοι καὶ οὕτως ἀπογινωσκόμενοι ὅταν μικρὰν ἐλπίδα τῆς σωτηρίας λάβωσιν, οἰκέται χεῖρον αὐτοὶ πολεμίων γίνονται :—

Εἰ δὲ χρόνιος γένηται ἡ πολιορκία καὶ συμβῇ συλλαβεῖν τινὰς ἔξω τῆς πόλεως, τοὺς μὲν ἀκμάζοντας ταῖς ἡλικίαις νεωτέρους ὅσαν βούλει κάτεχε, γυναῖκας δὲ καὶ παιδάρια καὶ γέροντας καὶ ἀσθενεῖς ἐάσεις ἀπόπεμπε πρὸς τὴν πόλιν αὐτῶν. οὕτως γὰρ ἡ ἄχρηστος ἡλικία κατὰ τὰς τροφὰς δαπανήσει,

καὶ τοὺς πολιορκουμένους οὐδὲν ὠφέλησεν μᾶλλον δὲ καὶ ἔβλαψε. ἔτι δὲ καὶ φιλανθρωπίας ὑπόνοιαν δώσεις τοῖς ἐντὸς ὥστε διαιρεθῆναι τὰ φρονήματα αὐτῶν ἐκ ἀφορμῆς γενέσθαι ἐλευθερίας πρὸς σὲ ὑποταγῆς αὐτῶν :—

Ἐπειδὴ δὲ εἴωθε καὶ θόρυβος γίνεσθαι ἐν ταῖς πολιορκίαις ὑπὸ τῆς κραυγῆς τῶν ἀνθρώπων ἢ ὑπὸ τοῦ ἤχου τῶν σκευασιῶν ἵνα μὴ βαρῶνται καὶ ἐνοχλῶνται οἱ τοῦ στρατοῦ πάντες ὁμοῦ δέονσε ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου ποιεῖν αὐτοὺς ἀπληκεύειν τοῦ ὀχυρώματος ὅπουθεν οὐκ ἐξακούεται ὁ ἦχος τῶν θορυβούντων τοὺς πολιορκουμένους :—

Μὴ ἐπικινδύνως δὲ καὶ ἀσκόπως προστάττῃς ποιεῖσθαι τὰς προσβολάς, ἵνα μὴ τινὲς διαπίπτωσιν καὶ οἱ τοῦ στρατοῦ δειλιάσωσιν. καὶ οἱ πολιορκούμενοι προθυμότεροι γένωνται. τοῦτο γὰρ πολλάκις ἀνέγνωμεν γενόμενον, καὶ ὁ κρείττων τῶν ἄλλων στρατηγὸς ὑπὸ γυναικὸς οὕτω τύχοι καὶ ἀσθενοῦς, ἢ διὰ λίθου βληθεὶς, ἢ κεράμου, ἢ διὰ ξύλου κατενεχθέντος πληγεὶς ἀπώλετο :—

Ἐὰν δὲ μικρὰ ὀχυρώματα παρακάθηται καὶ ἐπιζήμιον ἢ ἐπικίνδυνον νομίζῃς τὴν προσβολήν, καὶ οἶδας ὅτι οὐδὲ τῶν ἐπιτηδείων λείπονται, σπούδαζε διὰ θορύβων αὐτοὺς καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐνοχλεῖν ἵνα τῷ ὄχλῳ ἀποκάμωσιν. ὀλίγοι ὄντες πρὸς πλῆθος κατὰ διαδοχὴν ἀνενδότως αὐτοῖς προσβάλλοντας :—

Εἰ δὲ καὶ οἶκοι εἰσὶν ἐν τῷ φρουρίῳ ἐπιτήδειοι πρὸς τὸ καῆναι διὰ πυρφόρων βελῶν συνεχῶς διὰ πολλῶν τόπων ἀνέμου μάλιστα σφοδροῦ κινουμένου, πέμπε καὶ ἐμπύριζε ὕλην πυρὸς προσδεσμοῦντες τοῖς βέλεσι διὰ τῶν πετροβόλων μαγγανικῶν τῶν λεγομένων ἀγκαλίων, ἢ τετραρέων τῶν πηλίνων πυρὸς πεπληρωμένων δι' ὕλης. καὶ βαλλομένων κατὰ τῶν ἐμπρηστῶν οἴκων. καὶ ἐν ὅσῳ εἰς τὴν τοῦ πυρὸς ἀσχολοῦνται σβέσιν, σκάλας ἐξ τοὺς ἐπιδεχομένους τόπους ἱστᾶν καὶ δι' αὐτῶν ἀσφαλῶς ἐπιβαίνειν κέλευε :—

Ἐστὶ δὲ ὡς ἐπίπαν ἐν ταῖς πολιορκίαις εἴδη μηχανημάτων πολιορκητικὰ διάφορα. ὅσα οἵ τε παλαιοὶ στρατηγοὶ καὶ οἱ μικρὸν πρὸ ἡμῶν ἐπενόησαν καὶ δύναται ἕκαστος, καὶ τὴν καλοῦσαν τοῦ καιροῦ καὶ τοῦ τόπου τεχνᾶν. οὐ γὰρ νῦν ἐστι λέγειν διὰ ποίων ὀργάνων πολιορκήσεις, ἀλλὰ τοῦ καιροῦ ἡ χρεία διδάξει ἕκαστα :—

Καὶ γὰρ ὅτι καὶ οἱ λεγόμενοι κριοὶ δι' ὧν τὰ τείχη κρουόμενα συντρίβεται :—

Εἰσὶ δὲ καὶ πύργοι ἀπὸ ξύλων γινόμενοι καὶ διὰ βυρσῶν ἢ ἑτέρας ὕλης ἐπισκεπόμενοι, ὥστε διὰ πυρὸς μὴ φθείρεσθαι. οἵτινες καὶ διὰ τροχῶν τοῖς τείχεσι προσφερόμενοι, ἀπὸ ὕψους μάχονται τοῖς ἐν τῷ τείχει :—

Καὶ χελῶναι δὲ προσφερόμεναι τῷ τείχει, καὶ τὰ θεμέλια ἐξορύττουσαι:

Καὶ σκάλαι ξύλιναι, ἢ ἐπιτιθέμεναι τῷ τείχει, ἢ ἐν ὀρθοῖς ξύλοις ἐπικείμεναι καὶ διὰ τροχῶν προσφερόμεναι:

Καὶ ὀρύγματα ἔξω τοῦ τείχους κατὰ γῆν ἀπαρχόμενα, ἕως δὲ διὰ τῶν θεμελίων εἰσερχόμενα καὶ ἀνακύπτοντα ἐπὶ γῆν ἔσωθεν τῆς πόλεως, ἤτοι ἐν ἐπιπέδῳ τόπῳ τείχει κειμένῃ:

Καὶ ἁπλῶς εἴ τι ἕτερον μηχανικὸν ὄργανον ἀπήρτηται ταῖς ἄλλαις ἱστορίαις· μᾶλλον δὲ ἐν τοῖς πλάτεσι τῶν στρατηγικῶν ἐρευνεῖν ἀκριβῶς καὶ ὅπως κατασκευάζονται καὶ ὅπως προσάγονται, καὶ ἐν ὁποίοις τόποις τῶν πολιορκουμένων:

Τούτων δὲ τῶν μηχανημάτων αἱ παρασκευαὶ καὶ ἐργασίαι οὐ μόνον παρὰ τῶν ἐναντίων γίνεσθαι, ἀλλὰ καὶ δι᾽ ἐπινοίας τῶν σῶν ὀφείλουσι μαγγανείων καὶ ἐπιτηδείων ἀνδρῶν πρὸς τὰς τοιαύτας κατασκευάς· ἵνα καὶ αὐτὸς ἐπινοῇς τὰ δυνατὰ καὶ ἐνδεχόμενα μηχανήματα, κἀκεῖνοι τοῖς διὰ χειρῶν ἔργοις, καὶ τοῖς διὰ τῆς πείρας ἐπινοίαις συμβοηθοῦσί σοι:

Τοὺς δὲ προδότας λεγομένους ἢ πόλεως ἢ ἄλλου τινὸς ὀχυρώματος ἢ ὁδοῦ τῆς πολεμίων εἰσόδου, καὶ ὑποδέχου εὐμενῶς καὶ τὰς πίστεις πρὸς αὐτοὺς ἐπαγγελίας φύλαττε ἐὰν καὶ αὐτοὶ ἀληθεύωσιν. οὐχὶ δι᾽ αὐτούς, ἀλλὰ διὰ τοὺς μέλλοντας καὶ πείθουσί σοι τοιαύτας προξενεῖν χάριτας. ὁ γὰρ διδούς τι τῷ προδότῃ μᾶλλον λαμβάνει παρ᾽ αὐτοῦ πλεῖον παρ᾽ ὃ ἐκείνῳ χαρίζεται. οὐ γὰρ κριτὴς τῆς παρ᾽ ἐχθροῦ ὑπάρχεις, ἀλλὰ στρατηγὸς καὶ διὰ πολλῶν τρόπων ὑπὲρ τοῦ σοῦ λαοῦ λυπεῖν καὶ διαφθείρειν τοὺς πολεμίους σπούδαζον. τὸ γὰρ δοκεῖν τοὺς κακοὺς μὴ εὐεργετεῖν ἐνταῦθα ἀπειρόκαλόν μοι φαίνεται. πάντα γὰρ καλὰ ἐν καιρῷ αὐτῶν. ὁ γὰρ προδότης καὶ πρὸς τοὺς σοὺς πολεμίους κακὸς γέγονεν, ἀλλ᾽ οὖν πρὸς σὲ καὶ τὸν ὅλον σου λαὸν ἀγαθὸς ἀπεδείχθη:

Ἐὰν δὲ θεοῦ παρέχοντος τὴν χάριν ὑποταγῇ σοι ἡ πόλις, ἢ φρούριον ἤτοι κάστρον, ἢ διὰ φόβον πολιορκίας, ἢ δι᾽ ἄλλην τινὰ αἰτίαν, πράως καὶ εὐμενῶς διατέθητι πρὸς αὐτούς. καὶ μήτε πάντως αὐτοὺς καταβαρήσῃς μήτε ἀπηνῶς ἀπειλήσῃς ἢ ἐκφοβήσῃς διά τινος τιμωρίας, μήτε ἀδικίαις λυπήσῃς, ἀλλὰ μᾶλλον ἀγαθὸς καὶ ἐπιεικὴς αὐτοῖς γενοῦ ἵνα καὶ οἱ λοιποὶ ὁρῶντες τὴν σὴν στοργὴν ἑτοίμως εἴκωσί σοι. μηδὲν κακὸν ὅπερ ὑπενεγκεῖν οὐ δύνανται παρὰ σοῦ παθεῖν ἤλπιζον:

Τοῦτο γὰρ ἴσμεν καὶ νικηφόρον τὸν ἡμέτερον στρατηγὸν πρὸς τὸ κατὰ βαρβάρων ἔθνος πεποιηκότα, ὅτε παρὰ τοῦ βασιλέως κελευσθεὶς εἰς τὸ ὑποτάξαι αὐτοὺς ἐξαπεστά-

τι. οὐ μόνον γὰρ διὰ πολέμων ἀκριβῶς ἐκπεπαιδευμένον τὸ τοιοῦτον ὑποτάτ-
τει τὸ ἔθνος, ἀλλὰ καὶ ἀγχινοίᾳ ἐργαζόμενος καὶ δικαιοσύνῃ καὶ χρηστότητι
ἐπιεικῶς τε τοῖς προσερχομένοις προσφερόμενος καὶ τὴν ἐλευθερίαν αὐτοῖς
πάσης τε δουλείας καὶ τῶν ἄλλων φορολογιῶν χαριζόμενος :-

Οὐ γὰρ κέρδους ἕνεκεν ἡ βασιλεία ἡμῶν τὴν ὑποταγὴν τῶν ἀντικαθισταμένων ἐπι-
ζητεῖ, ἀλλὰ δόξης τῆς ἰδίας καὶ ἡμετέρας σωτηρίας καὶ ἐλευθερίας εὐεργετοῦσα-
ζωῇ ἐλευθερίᾳ τῶν ὑπηκόων αὐτῆς :-

Ὅλως οὖν εὐμενῶς τοῖς προσερχομένοις τε καὶ ὑποτασσομένοις διακείμε-
νος, δι' αὐτῶν καὶ τοὺς μήπω προσελθόντας οἰκειώσῃ. ἡ γὰρ τεθεαμένη τού-
των καὶ ἀπηνὴς καὶ τοὺς μήπω ὑποταγέντας ἀναστέλλει καὶ μᾶλλον προθυμο-
τέρους τοιούτου ἀπηνοῦς στρατηγοῦ ἐμπίπτειν. καὶ τάχα πολεμικῶς πολιορκοῦν-
τας καὶ μικρὸν ἀνύων. εἰ δ' ἀληθῶς σε μάθωσιν οὕτω ταχέως ἐνδιδόν-
τες τῇ ὑποταγῇ :-

Τίς γὰρ βασιλείας ἡμῶν τὸ εὐμενὲς καὶ χρηστὸν καὶ εἰρηνικὸν ἁπάσης πρὸς τοὺς
ὑπηκόους ὁπηνίκα διὰ τοῦ πρὸς ἡμᾶς προσχωρῆσαι βουληθῇ ἡ πόλις, ἢ
φρούριον, ἢ ἔθνος τῆς ἡμετέρας εὐμενείας ἀπολαύσοις σε δι' ἀφορμήν, καὶ τὰς
ἡμῶν εὐμενεῖς καὶ θείους χεῖρας πρὸς αὐτῶν δέχεσθαι ἔκραζον :-

Οὐκ ἄνευ δὲ σκοποῦ νομίζω καὶ τοῦτο ὡς τελειῶσαί σε ἀκριβῶς, ὥστε πρὸς τὰς ἡμε-
ρινὰς ὥρας οὕτω καὶ τὰς νυκτερινὰς διὰ τῆς τῶν φαινομένων ἀστέρων καὶ τῆς
σελήνης κινήσεων. ἵνα ἐν καιρῷ πολέμου ὑποσχέσεως ὥρας, ἢ παρὰ προδότου
προτεινομένης, ἢ παρὰ τοῦ αὐτοῦ ἐπινοουμένης, ἢ ἐν πολιορκίᾳ, ἢ ἐν ὁδοιπο-
ρίᾳ ἀσφαλὴς περὶ τὸ σύνθημα τοῦ καιροῦ ἢ τοῦ ὡρισμένου ὑπάρχῃς. τὸ γὰρ ταχύ-
τερον ἢ βραδύτερον πολλάκις φθάνει τῷ συνθήματι ἢ τοῦ ὡρισμένου ἀπράκτου ἀποι-
ῆσαι τὸ προκείμενον ἔργον :-

Ἐξερχόμενος δὲ ἐν τῇ πολιορκίᾳ εἴτε διὰ προδότου, εἴτε ἄλλως πως ὄντος ἐν τῇ
ὁδῷ ὑπαντῶντας παράλαμβανε πάντας διὰ τινῶν καβαλλαρίων προαποστελλομένων
ἐπ' αὐτῷ τούτῳ, ἢ διὰ τῶν μετὰ τοῦ στρατηγοῦ ἱππέων δι' αὐτῶν ἐπιτηδευσεστέρου με-
νοῦσι. τὰ γὰρ τοιαῦτα ἐν τῶν πολεμίων ἔργα αἰφνιδίως γίνεσθαι ἐναντιοῦντας :-

Ὅταν γὰρ ἀπροσδοκήτως ἐπέλθῃ καὶ ἐχθρῶν στράτευμα καὶ ὀλιγώτεροι ὦσι
τῶν πολεμίων διὰ τὴν ἀνεμφάνιστον ἐπιδρομὴν ἐκπλήττει τοὺς ἐναντίους.
καὶ κρείττονες ὄντες ἐκεῖνοι καὶ ἐκ τούτου διὰ πολλῶν ἐκφοβοῦνται. δι' ὃ δεῖ σε
μᾶλλον πρὸς τὸ θαρρεῖν αὐτοὺς οἰκειῶσαι εἰς τὸ σὸν βούλημα :-

Οὕτως οὖν δεῖ ἐκεῖνον ἢ πόλιν, ἢ κάστρον ἢ ἄλλο τι ὀχύρωμα παραλαβεῖν καὶ λαβεῖν πρὸς ὃ πολέμιος, μὴ γίνεσθαι βαρὺς διὰ τὴν εὐπραγίαν, ἢ τοῖς δυστυχήσασιν, ἢ τοῖς ἅμα σοι ἐκστρατεύουσιν· μηδὲ τῦφον καὶ ἀπόνοιαν περιφέρῃς, ἀλλὰ εὐμενὴς ὡς εἴρηται καὶ φιλάνθρωπος καὶ ταπεινόφρων γίνου· φιλάνθρωπος μὲν περὶ τοὺς ἡττηθέντας καὶ δυστυχήσαντας, ἀλλὰ δὲ πρὸς τοὺς μέλλοντας ἔτι πρὸς σὲ ἢ πολεμεῖσθαι ἢ πολιορκεῖσθαι· ταπεινόφρων δὲ περὶ τοὺς πλησίον καὶ φίλους· τοὺς μὲν γὰρ πλησίον καὶ φίλους οὐ μόνον εἰς φθόνον οὐ κινήσεις, ἀλλὰ καὶ εἰς ζῆλον τῶν ὁμοίων τοῦ κατορθοῦν μᾶλλον διεγείρεις· τοὺς δὲ πολιορκεῖσθαι μέλλοντας εὐπαθεῖς μᾶλλον καὶ ὑποταττομένους σοι παρασκευάσεις διὰ τὴν ἐπιζητουμένην παρὰ σοὶ εὐμένειαν καὶ ἀγαθότητα. Ταῦτα μὲν παρακελευόμεθά σοι ὦ στρατηγὲ παραφυλάττειν ὅταν αὐτὸς πολεμίοις ἐπελθὼν πολιορκεῖν τι ἐκείνων μέλλῃς :—

Εἰ δὲ ὅπερ πολλάκις συμβαίνει πόλις ἢ κάστρον ἢ τι ἕτερον ὀχύρωμα ὑπὸ σὲ ὑπάρχων μέλλει παρὰ πολεμίων πολιορκεῖσθαι· εἰ μὲν δύναται τοὺς ἐπερχομένους ἀπιέναι καὶ ἄπρακτον αὐτῶν διὰ τῶν σῶν προβουλῶν τὴν βουλὴν ἀποδεῖξαι, ὀρθῶς πράξεις· εἰ δὲ μή γε πάντως παρασκευάσεις τοὺς μέλλοντας πολιορκεῖσθαι, εἴτε αὐτὸς μέλλεις ἐξ ἀνάγκης τινὸς ἐκεῖ παρεῖναι, εἴτε ἕτερός τις τῶν ὑπὸ σὲ ἀρχόντων ἀνὴρ ἐλλόγιμος καὶ ἔμπειρος :—

Πρὸ πάντων μὲν ἁπάντων ἀεὶ τῶν ἀναγκαίων εἰς ἀπόθεσιν φροντίσαι τῶν ἐγκλειομένων ὅσον οἶδας τοῖς ἔνδον ἐξαρκεῖν ἐπὶ τῇ πολιορκίᾳ χρόνον· καὶ εἰ μὲν εὐπορία ἐστὶ τῆς τούτων ἀποθέσεως, εἰ δὲ μή γε τὴν ἄχρειστον ἡλικίαν ἔκβαλε ἐκ τοῦ ὀχυρώματος πρὸ τῆς τῶν ἐχθρῶν παρουσίας· οἷον γυναῖκας, γέροντας, ἀδυνάτους καὶ παιδία· ἵνα τοῖς δυναμένοις ὠφελεῖν ἢ εὑρισκομένοις ἡ δαπάνη ἐξαρκέσῃ :—

Καὶ ἵνα ὁ μέλλων πολιορκεῖσθαι προευτρεπίσῃ μηχανήματα ἀντικείμενα πρὸς τὴν ἀποβολὴν τῶν πετροβόλων μαγγάνων τῶν ἐχθρῶν :—

Ἀντίκεινται δὲ ταῖς βιαίαις βολαῖς κιλίκια κρεμάμενα ἔξωθεν τοῦ τείχους κατὰ τοὺς προμαχῶνας, ἢ σάρκινα, ἢ σχοινία εἰλημένα, ἢ πουπέλα, ἢ τὰ ξύλα κρεμάμενα, καὶ πλίνθος δὲ ἐν τοῖς προμαχῶσιν οἰκοδομουμένη· καὶ πρὸς τοὺς κριοὺς δὲ ἀντίκεινται τελάρια καὶ σακκία γέμοντα ἄχυρα ἢ ψάμμον :—

Πρὸς δὲ τὰς χελώνας ἁρπάγες ἤγουν ξύλα μεγάλα ἔχοντα ξίφη καὶ ἐσκαπουσμένα· ὥστε ἢ ἐκστρέψαι αὐτὴν ἢ ἀνακουφίσαι καὶ γυμνῶσαι τοὺς ἔσωθεν τῆς χε-

χεῖνος καὶ σύλας κατ' αὐτῶν ἐξελθεῖν ἀναγκαῖον :-

Ἀλλὰ καὶ πίσσα διὰ τῆς κενουμένης ἐμπιπραμένη ῥιπτέσθω καὶ πῦρ καὶ λίθοι βαρεῖς κα-
τακενούσθωσαν ἀπὸ μαγγάνων ἄφνω χαλώμενοι διὰ σχοινίων ἤτοι ἁλύσεων, εἶτα πά-
λιν ἀνασπώμενοι δι' ἑτέρων ἀντιβαρημάτων :-

Πρὸς δὲ τοὺς ἐπαγομένους πύργους πυρσοβόλα ἔστω καὶ πετροβόλοι· ἢ ἐκ μὲν
τῶν ἀντικρὺ ἀντιπύργους ὁμοίως οἰκοδομεῖν ἢ διὰ ξύλων, ἢ δι' ἑτέρας ἐλισ-
τοὺς ἔσωθεν τοῦ τείχους· καὶ τὰς ἐκείνων ἢ ἁπλῶς ὅσα ἂν δυνατὸν πρὸς τὴν
μηχανὴν τῶν ἔξωθεν ἀντιμηχανᾶσθαι τοὺς ἔσωθεν καθ' ἑκάστην πλὴν μετὰ
σχολῆς ἐρευνητέον, εὑρίσκοντας πρὸς ἑκάστην μηχανὴν ἀντεξευρημένα :-

Ἀναγκαῖον δέ ἐστι τοὺς πύργους τοὺς ἐπικειμένους τοῦ τείχους ἀσκεπεῖς εἶναι.
ὥστε τοὺς μαχομένους ἀκωλύτως ἐκεῖθεν μάχεσθαι καὶ τὰ μάγγανα ἀσκό-
πως ἵστασθαι καὶ ἐξεργάζεσθαι :-

Καὶ παραπόρτια δὲ ἐν τοῖς τοιούτοις πύργοις ἐκ πλαγίου στενὰ ἀνοίγεσθαι ἢ
τοῦ δεξιοῦ μέρους τῶν προσπελαζομένων μαγγάνων τῶν ἐχθρῶν· ἵνα πεζοὶ ἐ-
ξερχόμενοι ἐκ τῶν παραπυλίων καὶ κατὰ χεῖρα ἀγωνιζόμενοι τοῖς σκουτάτοις
σκεπόμενοι καὶ ὑπὸ τῶν ἄνωθεν βοηθούμενοι δυνάμενοι ἀποβαλεῖν τὰ μάγ-
γανα· ἔχειν δὲ ταῦτα πύλας δι' ὧν δέον ἀσφαλίζεσθαι ἐν καιρῷ καὶ
μένειν ἠνεῳγμένα :-

Ἀποκρεμᾶν δὲ κατὰ τῶν προμαχώνων ξύλα βαρέα πάνυ κορμία καὶ μύλους
λιθίνους διὰ σχοινίων· ἵνα ἐὰν προσάγωσι σκάλας εἰς τὰ τείχη κοπτομένων
τῶν σχοινίων ἐπιπέσωσιν ἐπάνω τῶν ἀναβαινόντων καὶ διαφθείρωσιν αὐτούς.
τῷ δὲ ἐν κύκλῳ τοῦ τείχους γενέσθαι κησούλης καὶ μηδένα λείπειν προμαχῶν
ἀδύνατον, ὅστις οὐκ ἔχει ἢ λίθον βαρύτατον ἤτοι μύλον, ἢ ξύλον μακρὸν καὶ
βαρὺ πάνυ, δυνάμενον συντρῖψαι καὶ σκάλαν καὶ τοὺς ἐπ' αὐτῆς ἀναβαίνοντας :-

Χρὴ δὲ καὶ καταλιπεῖσθαι τὴν βοήθειαν διόλου τοῦ τείχους καὶ ἔχειν ἄλλην δύνα-
μιν ἐκ περισσοῦ ἵνα τῷ δεομένῳ μέρει ἐὰν χρεία γένηται βοηθῇ. καὶ μὴ ἀναγκά-
ζωνται ἐν καιρῷ ἀνάγκης ἐκ τόπου εἰς τόπον διαζεύγειν οἱ πρὸς τὴν φυλακὴν
τοῦ τείχους τεταγμένοι, καὶ ἐκ τούτου γυμνοῦσθαι τινὰς αὐτῶν τόπους ὅ-
περ ἐστὶν ἐπικίνδυνον :-

Ἐὰν δὲ καὶ διχοστασία ἐστὶ παρὰ λαῶν ἐν τῇ πόλει ἢ τῷ κάστρῳ δέον, ἢ κινδύνοις
εἰρηνεῦσαι καὶ συμμῖξαι ἐν τοῖς τοῦ τείχους πρὸ θύραις τοῖς στρατιώταις, ἐκ
τούτου γὰρ οὐκ εὐκαιροῦσι στάσιν κινεῖσθαι, ἢ τὸ τοῦ κοινοῦ ἢ καθ' ἑαυτῶν.

ἀλλὰ καὶ δοκοῦντα τὴν φυλακὴν τῆς πόλεως πιστευθῆναι ἐδοκιμωτεῖσθαι. ἢ ἐὰν μὴ τοῦτο πάντως αὐτοὺς προσκαταστῆσαι ἀλλαχοῦ καὶ μηδὲν ἐξ αὐτῶν ὑφοράσθαι παθεῖν σαθρῶς ἐν τῇ πολιορκίᾳ. ἀλλὰ καὶ τὰς προδοσίας ὑφορᾶσθαι τινὰ τοῖς πολεμίοις ἢ γράφειν ἢ συντυχεῖν ἐκ τῆς βουλῆς τοῦ πεπιστευμένου τὴν πόλιν ἢ τὸ κάστρον :–

Καὶ τὰς πύλας δὲ τῆς πόλεως πιστοῖς ἀνδράσι παραδοθῆναι καὶ μηδόλως θαρρῆσαι τινὰς τῶν στρατιωτῶν ἢ πολιτῶν. ἐν τοῖς προοιμίοις μάλιστα τῆς πολιορκίας ἐξέρχεσθαι τοῦ τείχους καὶ μάχεσθαι, κἂν συμβῇ πολλοὺς καὶ γενναίους εἰς ἀνδρείαν εἶναι τοὺς ἐγκεκλεισμένους. ἐὰν μήπου καιρὸς γένηται ἢ μάγγανον ἐνοχλοῦν ἐπικινδύνως τῷ τείχει ἀποστέλλειν τοὺς πῶς δυναμένους λαθραίως διὰ τάχους καὶ ἐξὸν φρούριον τὸν βουλόμενον στρατηγὸν ἐν μεθορίῳ πολεμίων. ἀλλαχοῦ που λανθάνοντα τοὺς ἐχθρούς :–

Πρότερον δὲ τῆς ὥρας δεῖ κατασκοπῆσαι τόπον ὀχυρὸν δυνάμενον διὰ δέκα ἢ δώδεκα ἡμερῶν διὰ ξηρᾶς ὕλης περιβληθῆναι ἐν καιρῷ ἐφόδου προσβολῆς τῶν πολεμίων. καὶ ἐὰν εἰσὶν ὕλαι πλησίον λίθου ἢ ξύλου ἢ πλίνθου ἐπιτίμης, καὶ εἴ ἐστιν ὕδωρ ἢ ἐπινοηθῆναι δυνατόν :–

Καὶ προπαρασκευάσαι τεχνίτας ἱκανοὺς καὶ πόρτας καὶ μάγγανα τείχους τε βοήθειαν ἀρκοῦσαν πεζῶν ἐνόπλων καὶ γενναίων καὶ ἀρχόντων φρονίμων καὶ εὐψύχων ἅμα καὶ ἁμαξῶν ὡς τὴν φοσσάτου τάξιν καὶ ἀσφάλειαν αὐτῶν καὶ δαπάνην τινῶν τεσσάρων μηνῶν. καὶ εἰ καιρὸς ἐστὶ θέρους ἐμπρῆσαι τὰς βοσκὰς τὰς πλησίον τοῦ τόπου. εἰ δὲ καῦναι δυσχερὲς ἐστί, καταδαπανῆσαι αὐτὰς καὶ διαφθεῖραι ὡς ἐν ἐχθρῷ τόπῳ ποιοῦντες κατὰ τῶν ἐχθρῶν ἐπέλευσιν. καὶ πέμψαι βοήθειαν ἀσφαλῆ κατὰ τοῦ πολιορκουμένου τόπου. ἵνα ἐκεῖ προσδοκοῦντες προσπελάσουσιν οἱ ἐχθροί. καὶ τότε πρὸ μιᾶς ἡμέρας θαρρεῖν τοῖς ὀφείλουσιν βοήθειαν ἐν τῷ τόπῳ καὶ ἵνα τις διδρα-σκῆναι εἰς προτροπὴν αὐτῶν, ἵνα δὲ καὶ ἐπαγγέλλεσθαι καὶ αἰφνίδιον ἐν ἑτέρῳ τόπῳ τῶν ἐχθρῶν ἀκολουθουμένων μετὰ παντὸς τοῦ στρατοῦ ἐπὶ στάσιν τῷ εἰσομένῳ τόπῳ. καὶ στῆσαι βίγλας ἀσφαλεῖς, καὶ οἱ πεζοὶ ἀπληκεύουσιν κύκλῳ τοῦ ὀχυρώματος καὶ τάφρον βαθυτάτην ποιοῦντες εἰ ἐπιδέχεται ὁ τόπος :–

Καὶ εἰ μὲν λίθος ἢ πλίνθος εὑρίσκεται, οἰκοδομῆσαι ξηρὸν δὲ καὶ διὰ τειχῶν ἀπὸ ξύλων ἀσφαλῶς καὶ συνεχῶς. εἰ δὲ ξύλα μόνον εἰσὶν διὰ τῶν ἀπὸ

κλεῖσαι ὀλίγου καὶ ὀχυροῦ τόπου καὶ μὴ μεγαλέως:

Μετὰ δὲ τὸ ἀποκλεισθῆναι αὐτοὺς κατὰ τὸν λεχθέντα τόπον εἰ τύχῃ ὁρμήσωσιν οἱ ἐχθροὶ κατὰ τοῦ τόπου καὶ οἴδασιν ὅτι οὐ δύναται πρὸς μάχην ἀντέχειν. τότε ἀναχωρήσεις περὶ τῆς παρουσίας αὐτῶν καταλιπὼν ἔσωθεν τοὺς ἱκανοὺς καὶ ἀπληκεύσεις ἔξωθεν ὥστε μήτε ἐγγὺς τῶν ἐχθρῶν εἶναι καὶ ἀναγκασθῆναι πολεμῆσαι· μήτε μακρόθεν τῶν ἐκεῖ ὀχυρωμάτων ἵνα μὴ εὐκαιροῦντες οἱ ἐχθροὶ σφοδρῶς ἐπίκεινται τοῖς ἔσωθεν:

Δώσεις δὲ σημεῖον τοῖς ἐν αὐτῷ κατὰ τὴν ἡμέραν. κατὰ δὲ τὴν νύκτα ὃ θέλουσι ποιεῖν διὰ τοῦ φανεροῦ ἔσονται ἐν ποίᾳ εἰσὶν οἱ ἀποκλεισθέντες καταστάσει:

Εἰ δὲ δυνατὸν διὰ πεζικῆς μάχης ἀποσοβηθῆναι τοὺς ἐχθρούς ἐὰν ἄρα πείσαις ὡς εἰκὸς συμβῆ τοῖς ἐν τῷ φρουρίῳ· οὐ δὲ τοῦτο δεῖ ὑπερτίθεσθαι ἵνα μὴ ἔσωθεν κινδυνεύσωσιν:

Ὅταν δὲ ἀναγκάζηται εὐθέως κατ᾽ ὀλίγον ἀποτειχίζειν χρὴ τὸ πρὸς ποιητὸν οἰκοδόμημα καὶ ἐξωρίζειν ἰσχυροτειχίζειν αὐτὸ καὶ ἰσχυροποιεῖν καὶ τῶν ἀναγκαίων ἐν αὐτῷ φροντίζειν:

Γίνονται δὲ αἱ τοιαῦται ἐγκλείσεις ἁρμοδίως κατὰ καβαλλαρικοῦ ἔθνους. περὶ τὸν Ἰούλιον ἢ Αὔγουστον ἢ Σεπτέμβριον μῆνα ὅταν ἡ βοτάνη ἐν καιρῷ ξηραινομένη καὶ ὀξεῖαι. καὶ οἱ καβαλλάριοι τῶν ἐχθρῶν στενοχωροῦνται περὶ καθέδραν χρόνον ἱκανόν:

Εἰ δὲ ἀπόρως πρὸς τὸ ὕδωρ ὁ τόπος ἔχει μηδὲ κρουνὸν ἐν αὐτῷ ὄντος μηδὲ ἐνόρυγμα ἢ εὐεισοδευμένου. δεῖ ἢ πίθους ὀστρακίνους ἢ βουτία τεκταίνεσθαι προσεπιζητεῖν καὶ γεμίζειν ὕδατος καὶ κόλλακας ἐν αὐτῷ ποταμίους ἐμβάλλειν εἰς τὸ αὐτὸ κεῖσθαι μέχρι τῆς χειμερινῆς ὥρας. καὶ φθάσει καὶ κινστέρνα οἰκοδομηθῆναι καὶ ὄμβριον ὑποδέχηται ὕδωρ:

Ἵνα δὲ μὴ ὡς εἰκὸς ὀξὺ ἀκίνητον μένον τὸ ὕδωρ ἐν τοῖς ἀγγείοις καὶ δοχεῖα σακρὰ δέον αὐτοῖς παραλείπεσθαι ἵνα κατ᾽ ὀλίγον ἀποστάζοι τὸ ὕδωρ ἐν αὐτοῖς κενοῦσθαι δέχεται. ἅμα δὲ τοῦ πληροῦσθαι τὰ δοχεῖα πάλιν ἀποκενοῦνται ἐν τοῖς πίθοις ἢ τοῖς βουτίοις. τοῦτο ἵνα διὰ τῆς κινήσεως ταύτης διαπνέηται τὸ ὕδωρ καὶ μὴ ἀφανίζηται:

Χρήσιμον δέ ἐστι καὶ τὸ σανίδας περιπαρασκευάσαι παχυτέρας καὶ ἐν κατορύγματι συμπῆξαι αὐτὰς ὡς ἐπὶ σαρπίου καὶ διαπίωνης καὶ σουπίου κατασφαγιάσασθαι τὰς ζεύξεις ἢ τοὺς ἁρμοὺς αὐτοῦ. καὶ ἐν τάξει ξυλίνης κιν

στέρνας συμμέτρου κατασκευάζει· ἔστω μὲν, ἤτε πλάτους ἐχούσας εἴκοσι δὶ
δέκα πόδας τὸ πλάτος· τὸ δ᾽ ὕψος π ἢ ι· μέχρι τοῦ ἐπιχωρίου αἱ κινστέρναι γέ
νονται· δῆλον γὰρ ἐστιν ὡς ἐν τοῖς μείζοσι τοῖς ἀγγείοις πλέον τὸ ὕδωρ διαμένει.
καλόν γε καὶ ξύλινα ἐν ταῖς μέσαις τῶν κινστερνῶν οἷον συνδέσμους ὡς τραπέ
ζια δὲ βάλλεσθαι καὶ σανίδας παχείας ἵνα μὴ τῷ πλήθει τοῦ ὕδατος βιαζό
μεναι αἱ σανίδες στρέφωνται ἐς τὸ ὕδωρ ἀπολλύουσι:—

Οὕτω μὲν οὖν καὶ περὶ τούτων εἰρήσθω ἴσως ποτὲ καιροῦ καλοῦντος. ἐξῆς
δὲ ἑβδόμου καὶ τὴν τριακοστὴν διάταξιν. ταῦτα μὲν οὖν περὶ τῆς πολιορκίας
καὶ τῶν ἄλλων εἰρήσθω:—

## Διάταξις ιγ΄.
## Περὶ τῶν μετὰ τὸν πόλεμον:—

Ἐφεξῆς δὲ τούτων καὶ ὅσα μετὰ τὴν πολέμου ἔκβασιν δέον γίνεσθαι ῥητέον. καὶ
γὰρ ἐὰν καλῶς ἐκτάξῃς τὸ στράτευμα, μετὰ τῆς τοῦ θεοῦ βοηθείας ἐπιτύχοις καὶ τὴν νίκην
φέρεσθαι:—

Καὶ πρῶτον μὲν ἀποδώσεις κατὰ τὴν θεῶν νόμων τὸ χρέος τὴν εὐχαριστίαν· καὶ εἴ τι εὔξω
τύχῃς περὶ τῆς νίκης τοῦ πολέμου ἀποδώσεις μετὰ τὴν νίκην χαριστήριον μὴ ἀμε
λήσῃς ἀποδοῦναι:—

Καὶ ἐπιθέσεις ἀνερευνήσεις τοὺς ἀριστεύσαντας ἐν τοῖς τῆς μάχης κινδύνοις, καὶ
τούτους ἀναστείσαντες τιμήσεις αὐτοὺς δωρεαῖς καὶ τιμαῖς ταῖς ἑκάστῳ πρε
πούσαις. τοὺς δὲ κακοὺς φανέντας κόλαζε:—

Τιμήσεις δὲ τοὺς ἀριστεύσαντας δωρεαῖς τοιαύταις· οἷον πανοπλίας ἐπιδώ
σεις λαμπρὰς καὶ τὰ ἀπὸ τοῦ πολέμου συνηγμένα σκῦλα διανέμεις αὐτοῖς·
τιμήσεις δὲ καὶ εἰς ἀξιώματα κατὰ ἀναλογίαν ἁρμοδίως ἑκάστου· οἷον εἰς δεκ
ταρχίους, εἰς βάνδα, εἰς χιλιαρχίας καὶ εἰς τὰς ἄλλας συνήθεις ὑπὸ τὴν σὴν
ἐξουσίαν ἀρχοντικὰς προβολάς· τοὺς μὲν λοιποὺς στρατιώτας τοὺς ἀνδραγαθή
σαντας εἰς μικροτέρας τιμάς· τοὺς δὲ ἄρχοντας εἰς μείζονας ἀρχάς· οὕτως
γὰρ μεγαλόψυχοι καὶ γενναῖοι ἔσονται οἱ ἀγωνιζόμενοι, τυγχάνοντες μάλιστα
καὶ ὧν ἐπιθυμοῦσιν:—

Ὅπου δὲ τιμαί τε καὶ κέρδη ἀποδίδονται τοῖς ἀγαθοῖς, τιμωρίαι δὲ ἐπάγονται

τοῖς κακοῖς. ἐνταῦθα καλὰς ἐλπίδας ἔχειν ἐξ ἐναντίας τὸ στρατόπεδον. οἱ μὲν γὰρ κακοὶ φοβοῦνται ἁμαρτάνειν, οἱ δὲ ἀγαθοὶ σπουδάζουσιν ἀνδραγαθεῖν:

Καὶ μὴ μόνον καθ' ἕνα ἄνδρα τὰς ἀμοιβὰς ἀποδίδου, ἀλλὰ καὶ ὅλον τάγμα ἢ δροῦγγον ἢ τοῦρμαν ἀνδραγαθήσαντας ἐπίτρεπε διαρπάζειν τὰ τῶν πολεμίων τοὺς στρατιώτας εἴτε ἀποσκευαί εἰσιν, εἴτε τόλδον, εἴτε πόλις, ἢ κάστρον, εἴτε ἕτερον. ἐὰν ἄρα μὴ βούλει χρησότερόν τι περὶ τῶν σκύλων ἢ πραγμάτων καὶ αἰχμαλώτων βουλεύσασθαι:

Καὶ πῶς γὰρ οὐ δίκαιον τοῖς εἰρημένοις ἀπὸ τῶν πολεμίων σκύλοις τοὺς ἀριστεύσαντας στρατιώτας φιλοτιμεῖσθαι. ὁρῶμεν γὰρ δὲ καὶ τοὺς κυνηγετικοὺς κύνας οἱ κυνηγοὶ τοῦ θηρευομένου ζώου τῷ αἵματι, καὶ ποτὲ καὶ τοῖς ἐντοσθίοις δελεάζειν ἀναγκαῖον ποιοῦνται ἵνα προθυμοτέρους καὶ πάλιν εἰς τοὺς ἀγῶνας τοὺς θήρας ποιήσωσιν. οὕτως γὰρ μάλιστα εἰ καὶ μήπω τέλος δέξεται ὁ πόλεμος, προθυμότερος ὁ στρατὸς πρὸς τὰς μάχας γενήσεται:

Διαφέρει γὰρ ὁ πόλεμος τῆς μάχης. ὁ μὲν γὰρ πόλεμος ἀπὸ ἀρχῆς καὶ μέχρι τέλους καὶ καταπαύσεως τῶν μαχομένων λέγεται πολλὰς ἐν ἑαυτῷ μάχας περιέχων. ἡ δὲ μάχη μερικὸς λέγεται πόλεμος πολλάκις γινομένη ἐν τῷ τοῦ καθόλου πολέμου καιρῷ ἀπογινομένη. οὐ μὴν δὲ πάντως τέλος ἐπάγουσα πολέμου, ἀλλὰ πρὸς τὴν ἡμέραν καὶ δὶς τρὶς καὶ πολλάκις ἐν ὅλῳ τῷ τοῦ πολέμου καιρῷ τὰς συμβολὰς ποιουμένη:

Τὰς δὲ ἁρπαγὰς οὐκ ἐπὶ πάσης μάχης λέγομεν γίνεσθαι, ἀλλὰ ποτὲ μέν, ποτὲ δὲ οὔ. καθὼς αὐτὸ συμφέρον ἀπαιτήσῃ τοῦ καιροῦ:

Καὶ τὰ μὲν αἰχμάλωτα σώματα πιπράσκειν τὸν στρατόν. εἰ δὲ χρημάτων ἐστὶ χρεία καὶ δαπάνης κοινῆς καὶ μεγάλης, πάντα πρὸς σὲ ἀναφέρεσθαι κήρυξον. πᾶσαν ἐπιθυμίαν καὶ τὰ αὐτὰ καὶ τῶν ὑπὸ σὲ ἀρχόντων ἀπὸ τῶν τοιούτων ἐπισωρευομένων χρημάτων. ταμίευσον καὶ ἀναλογίζου τὴν χρείαν τῶν ἀναγκαίων. καὶ οὕτως δύνασαι ∴ καὶ τοὺς ἐν τῇ μάχῃ ἀγωνισαμένους παραμυθήσασθαι. εἰ μὲν δύνασαι διὰ χρημάτων, εἰ δὲ οὐκ ἐπαρκεῖ διὰ τιμῶν καὶ ἀξιωμάτων:

∴ καὶ τὴν τοῦ κοινοῦ δαπάνην κατὰ τὸ δυνατὸν ἀναλογῶσαι.

Τοὺς δὲ αἰχμαλώτους πρὸ τοῦ τέλους καταπαῦσαι τὸν πόλεμον μὴ κτεῖναι. καὶ μάλιστα τοὺς ἐνδόξους καὶ μεγάλους παρὰ τοῖς πολεμίοις ὄντας ἐνθυμούμενος τὸ ἄδηλον τῆς τύχης καὶ τὸ παλίντροπον ὡς ἐπὶ τὸ πολὺ τῆς νίκης. ἐν οἷς εἴτε συμβῇ ἢ τῶν ὑπὸ σὲ τινὰς κρατηθῆναι, ἢ κάστρου γενέσθαι ἰδίου

δέχωσιν δι' αὐτῶν φιλικῶς καταλλάττειν καὶ ἀνακαλεῖσθαι τὰ ὡς εἰκὸς συμβαίνοντα ἐγκλήματα, καὶ αὐτὴν τῶν πολεμίων αἰχμαλώτων ἀναλάβῃς τοὺς φίλους καὶ συμμάχους ἐλευθερώσεις κατὰ τὸ ἴσον ἀμοιβὴν διαλλαξάμενος ὡς βούλει ἐπὶ λύπῃ τῶν ἐναντίων:

Μετὰ δὲ τὰ κατορθώματα καὶ τὰς νίκας ὁ στρατηγὸς καὶ πρὸς εὐωχίας ἤτοι τραπέζας καὶ ἀρίστους προτρέπου καθίστασθαι τούς τε ἄρχοντας καὶ τοὺς στρατιώτας. τὰ μὲν διὰ σεαυτοῦ, τὰ δὲ διὰ τῶν ἀρχόντων, τὰ δὲ διὰ τῶν χουβερνίων ἰδίως καὶ μάλιστα ἐκ τῶν κερδηθέντων ἀπὸ τῶν πολεμίων. καὶ οὕτως διὰ πολλῶν ἀριστοποιεῖσθαι καὶ ἀναπαύεσθαι τοὺς στρατιώτας παρασκεύαζε. ἵνα εἰδότες οἵων ἀξιοῦνται μετὰ τὸ παρελθεῖν τοὺς πολεμίους ἄθλων οἱ ἀριστεύοντες καὶ τὰς ἐπὶ θεῷ μάρτυρι τεθειμένας σπονδάς. ἀλλ' εἶναι ὕποπτον ὥστε φυλάττεσθαι τὸ τῶν πολεμίων δολερὸν καὶ ὕπουλον. ἄδηλοι γὰρ αἱ τῶν σπεισαμένων ἤτοι τῶν εἰρηνευσάντων ἐναντίων γνῶμαι. καὶ σὺ μὲν ἔχε τὸ βέβαιον ὥστε μὴ ἀδικῆσαι διὰ τὸ εὐσεβές. τῶν δὲ πολεμίων τὸ ἄπιστον ὑπονόει ὥστε μὴ ἀδικηθῆναι διὰ τὸ ἀσεβές:

Τὸ γὰρ πάντα ἀναφέρειν εἰς τὴν ἀπὸ τοῦ θεοῦ ἐκδίκησιν οὐκ ἔστιν ἀκεραίου γνώμης. οὐ γὰρ εὐθὺς ἡ θεία δίκη ἐπιτίθεται, ἀλλ' ὅτε ὁ πάντων προνοητής. τίς γὰρ οἶδεν εἰ ἅμα τῷ ἀσεβῆσαι τοὺς ἐχθροὺς αὐτοὶ μὲν διολεσθῶσιν σὺ δὲ περισωθῇς:

Ἐνδέχεται οὖν ἡμῖν μετὰ τῆς τῶν ἡμετέρων πραγμάτων ἀσφαλείας, εἰ οὕτως τύχῃ πέρας λαμβάνειν τῆς τῶν πολεμίων ἀσεβείας. οὕτως γὰρ σὺ μὲν διὰ τὴν σὴν πρόνοιαν οὐδὲν κακὸν πάθῃς. οἱ δὲ κακῶς βουλευθέντες ἐχθροὶ ἀσεβήσουσι μὲν ὡς πράξαντες ἃ εἰ ἐδυνήθησαν, σὲ τοῦ θεοῦ διὰ τὴν πίστιν τῶν ὁμολογηθέντων φυλάξαντος:

Πάντα δὲ τὸν βουλόμενον τι ἀπαγγέλλειν σοι ἔνδουλον καὶ ἐλεύθερον, καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, καὶ ἐν ὁδοιπορίᾳ καὶ ἐν ἀπλίκτῳ καὶ ἐν ἀναπαυόμενον καὶ ὑπνοῦντα, καὶ ἐπὶ λουτροῦ καὶ ἐπὶ τροφῆς καὶ παντὸς ἑτέρου καιροῦ καὶ τόπου μὴ ἀποστρέψῃς, ἀλλὰ προσκαλοῦ αὐτόν. οἱ γὰρ ἀναβαλλόμενοι καὶ ἀπωθοῦντες καὶ τοῖς ὑπηρέταις αὐτῶν κελεύοντες ἀνακόπτειν τοὺς οὕτως προσερχομένους. πολλῶν καὶ μεγάλων εἰκότως διαμαρτάνουσι πραγμάτων. ταῦτα δὲ καὶ μετὰ τὸν πόλεμον, καὶ ἔτι τούτοις παραπλήσιον ἐπινοηθῆναι ἰσχυρῶς παραφυλάττειν διατασσόμεθα. ἑξῆς δὲ καὶ ὅσα τι δέον ἐν καιρῷ προσήκοντι γενέσθαι δι' ἐπιτηδεύσεων ἀδοκήτων ἢ τῆς τῶν

πολεμίων καὶ ὅπως αὐτὸς κατὰ τῆς ἐπελεύσεως τῶν πολεμίων ἀντιμαχοῦσιν ἐν τοῖς ἰδίοις. ὅτε μὴ καιρὸς εἰρήνης ἐπὶ πλάτους τὸν λόγον ζητεῖ, μετρίαν ἐν ὀλίγοις διεξήλθομεν:

## Τοῦ αὐτοῦ πολεμικῶν παρασκευῶν διάταξις ια'.

## Περὶ ἐφόδων ἀδοκήτων:

Ἀρχαῖός που διδάσκει λόγος ἡμᾶς, ὅτι καὶ οἱ μάλιστα συνετοὶ πρὸς τῶν στρατηγῶν καὶ πάλαι παρεφυλάξαντο· καὶ νῦν ὡς ἐπίπαν παραφυλάττοντες εὐδοκιμοῦσι καὶ ἀριστεύουσι, τὸ δίχα ἰδίας βλάβης τὰς τῶν πολεμίων ἐφόδους ἢ τὰς διαδρομὰς ποιεῖσθαι. τοῦτο δὲ γίνεσθαι δυνατόν ἐστι

Πολλὰ δὲ σχηματισάμενος ἀναχώρησιν ἐξ αὐτῶν δῆθεν τόπων, ἄφνω ἐπαναστρέψας τοῖς ἐχθροῖς ἐπιτίθεται:

Καὶ τινὲς δὲ προβαλλόμενοι καὶ ἀγέλας ζώων καὶ ἐντεῦθεν τοὺς ἐχθροὺς εἰς τὴν τούτων διαρπαγὴν προτρεψάμενοι, ὡς εἶδον αὐτοὺς ἀτάκτως κατὰ τῶν διασκεδασθέντων ἐπέθεντο αὐτοῖς:

Γίνονται δὲ καὶ φανεραὶ ἔφοδοι, ὅταν ἐν τῷ μεταξὺ διαστήματι τῶν ἐχθρῶν ποταμὸς εὑρεθῇ δύσβατος. καὶ μάλιστα τοῦτο ποιοῦσιν οἱ καβαλλάριοι. ἐνταῦθα γὰρ συμπηγνύουσι γέφυραν ἢ διὰ ξύλων μεγάλων ὡς ἔστιν ἔθος τὰς πολλὰς γεφύρας γίνεσθαι, ἢ διὰ μικρῶν πλοιαρίων τῶν λεγομένων μονοξύλων· πύργους τε ξυλίνους ἢ ἀπὸ οἰκοδομῆς ἐκ λίθων ξηρῶν, ἢ χώματος ἑκατέρωθεν τὰ ἄκρα τῆς γεφύρας ἐγείρουσιν· ἵνα ὅταν μετὰ δι' αὐτῆς ἀσφαλῶς τὴν διάβασιν ποιῇ

θῶσι, καὶ πάλιν ἀναχωρῇ ὅτε βούλονται. ὥστε ἐπὶ τῇ τοῦ στρατηγοῦ ἀποκεῖσθαι γνώμῃ· ἢ περαιουμένῳ ὅθεν ἐμβαίνειν αὐτῷ ἔδοξεν, ἢ συμβάλλειν τοῖς ἐχθροῖς ἀσφαλῶς, ἢ ἀναχωρεῖν ἀβλαβῶς τῆς γεφύρας παρ' αὐτοῦ κατεχομένης :-

Ἀλλὰ ἐν ταῖς τοιαύταις ἐγχειρήσεσι καὶ ταῖς ἐφόδοις τῆς τῶν ἐχθρῶν χώρας οὐ δεῖ ἀφανίζειν τὰς δαπάνας ἐκείνων τῶν χωρίων δι' ὧν μέλλεις ὑποστρέφειν. ἵνα μὴ ἑαυτὸν στενώσῃς :-

Τὰς δὲ τοιαύτας γεφύρας γίνεσθαι ἀναγκαῖον νομίζω καὶ ἐν καιρῷ δημοσίας μάχης, καὶ τὰ ἄπληκτα ἐν τοῖς τοιούτοις γίνεσθαι. ἐὰν ἄρα δύσβατος εὑρεθῇ ἐν οἱῳδήποτε μέρει ἵνα τὴν τοῦ ποταμοῦ ὄχθην καὶ ἐξαίρετον κατὰ τοῦ μέρους τῶν ἐχθρῶν καταλίπῃς, ὥστε ἀνεμποδίστως καὶ ἀστενοχωρήτως ἐν τῇ ἡμέρᾳ τῆς μάχης τὸν στρατὸν ἐκτάττεσθαι. εἶτα καὶ ἐν καιρῷ τόπους ἔνθα ἀπλίκτῳ μένειν αὐτοὺς ἀσφαλῶς φυλαττομένους, καὶ μὴ ἀναγκάζεσθαι ἐν αὐτῇ τῇ ὥρᾳ τῶν ἐχθρῶν ἐπικειμένων τὴν διάβασιν τῆς γεφύρας ποιεῖσθαι. καὶ μὴ βουλομένους, καὶ διὰ τοῦτο δέον εἰς τὴν ὄχθην τὴν ἐπὶ τὸ μέρος τῶν ἐχθρῶν ἐξεναντίας τὸ ἄπληκτον γίνεσθαι :-

Νενίκε εἶναι δὲ ἐπελεύσεις διάφοροι παρὰ τῶν παλαιῶν στρατηγῶν ἐπιτηδευθῆναι. ἐξ ὧν τρεῖς ἡμεῖς ταύτας ὑποτιθέμεθα. ἵνα ποτὲ μὲν πλησίον τῶν ἐναντίων ἀπληκεύσας ὡς ἀπὸ ἑνὸς ἀπλήκτου πρεσβείαν τε μίαν καὶ δευτέραν εἰρηνικὴν δηλώσας καὶ ἐλπίδας πρὸς εἰρήνην δεδωκὼς τοῖς ἐναντίοις, καὶ ἀμεριμνους ποιήσας ἀδοκήτως αὐτοῖς ἐπιθῇς πρὸ ἡμέρας ἐν νυκτὶ τὴν ὁδοιπορίαν ποιησάμενος :-

Ποτὲ δὲ ἐὰν βούλῃ ἐπιθέσθαι τοῖς ἐχθροῖς νυκτός, ἡμέρας τινὰς παραταξάμενος πλησίον τοῦ ἰδίου ἀπλήκτου ὡς ἐπὶ μάχῃ δημοσίᾳ, καὶ σχηματιζόμενος φοβεῖσθαι τοὺς ἐναντίους. καὶ διὰ τοῦτο μὴ παρεξέρχεσθαι πλέον τοὺς τόπους τοῦ ἰδίου ἀπλήκτου καὶ ἐντεῦθεν αὐτοὺς παραλογίσας ἐπιθῇς ἐν νυκτί :-

ἢ ἐπεναντίους

Τοῦτο δὲ γινώσκομεν πεποιηκότα τὸν χαγάνον τῶν ἀβάρων ἐπὶ τῶν χρόνων Ἡρακλείου τοῦ βασιλέως περὶ τὴν Ἡράκλειαν τῆς Θράκης κατὰ τῶν ῥωμαίων καβαλλαρίων. μὴ βουλομένων ἐν φοσσάτῳ ἀσφαλῶς μετὰ τῶν ῥωμαίων μετὰ τῶν πεζῶν ἀπληκεύειν, ἀλλ' ἔξωθεν ἀφυλάκτως :-

Σοφοῦ δὲ ποιήσεις ὅταν εὐτάκτους καὶ ἀνδρείους μετὰ σεαυτοῦ στρατιώτας ἔχῃς. ἐὰν ὑποθήσῃς τι ὥστε προσφυγεῖν τοῖς ἐχθροῖς καὶ εἰπεῖν ὅτι ἐν δειλίᾳ ἐστὶν ὁ στρατός, εἶτα πρόφασιν ποιήσῃς ὅτι εἰς τὰ ὀπίσω ὑπαναχωρεῖς καὶ ὀλίγον διάστημα τὸ φοσσᾶτον ἤγουν τὰ ἄπληκτα μεταστήσας αἰφνίδιον ἐν νυκτὶ ἐπιθῇς

τοῖς ἐναντίοις:

Ποιήσεις δὲ κινεῖν τὰς ἐπελεύσεις κατὰ τῶν ἐχθρῶν ἁρμοδίως· ὑπό τε πεζῶν καὶ καβαλλαρίων τῶν σῶν· μάλιστα καὶ ἀκοντιστῶν κατὰ ἐθνῶν πεζῶν καὶ καβαλλαρίων, οὐ μὴν ἐν φοσσάτῳ καὶ τάξει ἀπληκευόντων· ἀλλ' ἀτάκτως καὶ ἀφυλάκτως καὶ διεσπαρμένως σκηνούντων:

Καὶ κατὰ τῶν μὴ ἐχόντων τόξα ἢ ἀκόντια πολλάκις, ἀλλὰ ἔγγιστα μᾶλλον τὴν μάχην ποιουμένων· οἱ δὲ τοῖς τόξοις καὶ ἀκοντίοις καὶ τοῖς ἄλλοις χρώμενοι δυσεπιχείρητοι πρὸς τὰς τοιαύτας ἐπελεύσεις γίνονται· εἰ μὴ ἄρα ἀφύλακτοι καὶ διεσπαρμένοι ἀπληκεύουσι:

Νύκτας δὲ ἐπιλέξαι πρὸς τὰς τοιαύτας ἀπροσδοκήτους ἐφόδους· τουτέστιν ἢ ὅταν ὁλόκυκλος φαίνῃ ἡ σελήνη, ἢ ὅταν οὕτως ἀρκεῖ τὸ φέγγος αὐτῆς διαβαστάσαι τῆς ὅλης τοῦ ὁδοιπορείας· ἢ ὅταν ἔστιν ἀστρόφωτον ἵνα μὴ ὁ στρατὸς ἐν σκοτίᾳ περιπατῶν σκοντεύεται καὶ πλανᾶται:

Ἀεὶ δὲ ἐξοπλικὸν καὶ παρασκευασμένον τὸν στρατὸν κίνει καὶ μηδὲν περιττὸν ἐπιφερόμενον· καὶ οὕτως κανόνιζε καὶ στοχάζου πρὸς τὰ διαστήματα τὰ ἐν τῷ μέσῳ, ὥστε συμμέτρως περιπατεῖν, ἵνα μὴ κατατρίβεται ὁ στρατός· καὶ πρὸ δύο ὡρῶν τῆς ἡμέρας φθάσῃς πλησίον ὡς ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου τῶν τῶν ἐχθρῶν ἀπλίκτων, καὶ ἐκτὸς λανθανόντως ἀναπαύσῃς τὸν στρατόν· καὶ πρὶν ἢ ἄρξηται αὐγάζειν ἡ ἡμέρα ἐπέλθῃς τοῖς ἐχθροῖς:

Εἰς δὲ τὰς τοιαύτας ὁδοιπορείας ἵνα ἔχῃς ὁδηγοὺς τοὺς πάνυ ἀκριβῶς εἰδότας τοὺς τόπους εἰς τὸ μὴ πλανᾶσθαι τὸν στρατόν:

Παντελῆ δὲ ἡσυχίαν ἐπιτάττειν· καὶ μήτε βούκινον λαλεῖσθαι μήτε ἄλλην οἱανδήποτε κραυγὴν γίνεσθαι· ἀλλὰ ἐὰν ἔστι δέον τοῦ μεῖναι τὸν στρατὸν ὡς ἔχει ἢ τοῦ κινῆσαι, ἢ διὰ συριγμοῦ ἢ διὰ κτύπου σκουταρίου, ἢ διὰ παραγγέλματος σημαίνειν τὸ κίνημα ἢ τὴν στάσιν:

Ἵνα δὲ μὴ θόρυβος τῶν κτύπων γίνεται μηδὲ ἐπὶ πολὺ ἐκτεινομένη ἡ παράταξις πλάνην καὶ ἀνισότητα ποιῇ· καὶ διὰ τοῦτο ἐξανάγκης κραυγὰς καὶ μανδάτα, ὥστε καὶ εὔγνωστον τοῖς ἐχθροῖς τὴν παρουσίαν τοῦ στρατοῦ γενέσθαι· διὰ τοῦτο χρὴ μὴ ἐπὶ μετώπου ἤγουν ἐπὶ ἔκτασιν πολλὴν εἰς πλάτος, ἀλλὰ ἐπὶ κέρως· τουτέστιν ἐπὶ ὀρθίᾳ παρατάξει ὡς ἐπὶ ἀκίας καὶ στίχου κατὰ οὐρὰν ἀλλήλων περιπατεῖν· δηλονότι τοῦ βάθους ἤγουν τοῦ πάχους τῆς τάξεως φυλαττομένου:

Καὶ ὅταν πλησίον τῶν ἐχθρῶν φθάσῃ ὁ στρατός, τὸ [illegible] καὶ κρυφαίως ἀνά

παυε αὐτοὺς καὶ ὄρθωσον τὴν τάξιν καθὼς ὁ τύπος ἐπιδέχεται· εἴτε διὰ δύο εἴτε διὰ τριῶν μερῶν τὴν ἐπέλευσιν ποίησον. οὐ γὰρ κατὰ τῶν τεσσάρων μερῶν χρεία ἵνα μὴ περιλαμβανόμενοι πανταχόθεν οἱ ἐχθροὶ ἀπεισάκτως συμφράξωνται, ἀλλ᾽ ἵνα ἔχωσιν ἄδειαν διὰ ἑνὸς μέρους οἱ θέλοντες φεύγειν :—

Καὶ τότε ἐὰν πλῆθος ἔχῃς στρατοῦ, τὸ ἐπερχόμενον ἐν ᾗ καὶ δευτέροις βούκινον παρασκεύαζε λαλεῖν ἵνα πρὸς ὀλίγον στρατὸν δοκοῦντες ἔχειν λανθάνωνται οἱ πολέμιοι· εἰ δὲ ὀλίγον στρατὸν ἔχῃς, πλείονα βούκινα λαλείτωσαν ἵνα πλῆθος νομίζωνται τὸ ἐπερχόμενον :—

Χρὴ δέ σε πάντως δύναμίν τινα σῶσαι στρατοῦ, τὴν μετιοῦσαν ἔξω κατὰ τὴν ὥραν ἐκείνην· ἀλλὰ καὶ εὐκαίρως ἱσταμένην καὶ ὀφείλουσαν τοὺς ὡς ἔτυχε περιτρέχοντας ἐκ τῶν ἰδίων προσδέχεσθαι :—

Τὰς δὲ καβαλλαρικῶν ἐφόδους μάλιστα ἀσφαλῶς ποιοῦ, καὶ ὡς ἐπὶ δημοσίας μάχης ἵνα ἐὰν τὰ τῆς ἐφόδου μὴ κατὰ σκοπὸν προχωρήσῃ, ἄλλοι πολέμιοι περαιδόμενοι αὐτοῖς παρατάξωνται· μὴ ἡ στρατιὰ τῆς ἐν τῇ κινουμένῃ μάχῃ ὡς ἀπαράσκευος καὶ ἀνέτοιμος :—

Ἐὰν γὰρ πεζοὶ ὦσιν οἱ ἐναντίοι, καβαλλάριοι δὲ οἱ μετὰ σοῦ ἐπερχόμενοι, πρόδηλόν ἐστιν ὅτι ἢ βλάψει τοὺς ἐναντίους, ἢ ἀβλαβὴς ἀναχώρησις τῶν πεζῶν δι᾽ ἔσται τοὺς καβαλλαρίους οὐ δυναμένων :—

Εἰ δὲ καβαλλάριοι εἰσὶ καὶ οἱ ἐναντίοι, ζητεῖ σε πρὸς τὰ συμβαίνοντα πολλάκις ἐναντία ἑτοίμως εἶναι καὶ παρασκευασμένον :—

Εἰ δὲ ἐν νυκτὶ ἔφοδος γένηται κατὰ φοσσάτου, εἴτε ἐν ἡμέρᾳ ἢ κατὰ ὁδευόντων, ἢ κατὰ τούλδου, δεῖ ἀφωρισμένα τάγματα ἔχειν σε πρὸς διαρπαγὴν τῶν πραγμάτων· ἵνα μὴ εἰς τοῦτο πάντων ἀσχολουμένων, ἐπέλευσις ὑπὸ ἐχθρῶν γένηται καὶ κινδυνεύσῃ ὁ στρατός :—

Τὰς δὲ τοιαύτας ἐφόδους, τὰς μείζονας δὲ καὶ ἥττας δι᾽ ἑαυτοῦ ποιήσῃς. δύνανται δὲ τοῦ μᾶλλον καὶ διὰ τουρμαρχῶν τῶν ἐπὶ τοιούτοις πράγμασι χρησίμων αὐτὰς γίνεσθαι· οἵτινες ἱκανοί εἰσι τὸν σὸν τόπον ἀναπληροῦσθαι διὰ τὴν ἀποδεδειγμένην αὐτῶν καὶ ἀνδρείαν καὶ ἀγχίνοιαν :—

Ἐὰν δὲ ἐν τῇ τῶν πολεμίων χώρᾳ εἰσβάλλων ὁδοιπορεῖν μέλλῃς διά τε καὶ προδεῦσαι βλάβης ἰδίας χωρίς· πρὸ τούτου ἴδιον καὶ ἁρμόδιον καιρὸν ἐπιτηρεῦσαι· τοῦτο δ᾽ ἔστιν ὁ ἀσφαλὴς τῆς ἐξελάσεως καιρός, ὅτε ἢ συμβαλὼν ἤδη τοῖς ἐχθροῖς μάχῃ ἐκράτησας αὐτῶν, ἢ νομίσῃς ὅτι οὐκ εἰσὶ δυναμεῖ πρὸς τὴν σὴν

δύναμιν, ἢ ὅταν ἀνετοίμοις αὐτοῖς καὶ ἀπαρασκευάστοις οὖσιν, αἰφνιδίως ἐπιτεθῆναι μελλήσῃς ὡς ἤδη προείπομεν :–

Δέον σε πρὸ πάντων ὦ στρατηγὲ εἰσβάλλοντα εἰς τὴν πολεμίαν τῆς ἀποτροφῆς φροντίζειν τοῦ στρατοῦ, καὶ ἢ διὰ βαστάγης δημοσίας, ἢ δι' αὐτῶν τῶν στρατιωτῶν, ἢ ἄλλως πως ἐστὶ νοῆσαι βαστάσαι ἀποτροφὴν καὶ ἀρκοῦσαν καὶ αὐτῶν ἵνα μὴ περὶ μέσην τὴν χώραν ἄφνω τῶν ἐχθρῶν ὡς εἰκὸς ἀφανιζόντων τὰ ἐπιτήδεια τότε στενοχωρηθῇ ὁ στρατός :–

Μὴ ἐπιτηδεύσῃς δὲ κυκλευτικὰς ὁδοιπορίας ἐν πολεμίᾳ χώρᾳ ποιεῖσθαι, εἰ μὴ προσάπαξ ἤτοι μίαν καὶ μόνην· καὶ τοῦτο λυσιτελῶς ἴσως χρείας ἀναγκαίας καλούσης εἰς τὸ λαθεῖν τοὺς ἐχθροὺς καὶ τὸ ὑποδυσχερῆ προκαταλαβεῖν χαλεπὸν ὀχύρωμα, ἢ παρελθεῖν ἐν ἐνέδρᾳ ὑπὸ τῶν ἐχθρῶν μὴ γινωσκόντων :–

Πρῶτον δὲ περιεργάζεσθαί σε δεῖ καὶ ἐρευνᾶν τὰς ὁδούς, καὶ οὕτως τὰς ὁδοιπορίας ποιεῖσθαι :–

Πᾶσαν δὲ πάντως ποιήσασθαι σπουδήν, ἵνα τινὰς τῶν τῆς χώρας ζωγρήσῃς· ὅπως ἐξ αὐτῶν τὴν τῶν ἐχθρῶν μάθῃς δύναμιν καὶ τὰ αὐτῶν βουλεύματα καὶ ἅπερ σπουδάζουσι ποιῆσαι :–

Τὰς ἐρωτήσεις δὲ τῶν κρατουμένων διὰ σεαυτοῦ ποίει καὶ μὴ δι' ἑτέρου τινός· καὶ γὰρ πολλάκις ἀναγκαῖά τινα παρὰ πᾶσαν ὑπόνοιαν διὰ τῶν ἐρωτωμένων ἐφανερώθησαν :–

Ἀλλὰ μηδὲ τοῖς προσφεύγουσί σοι προχείρως πίστευε, ἀλλὰ τοῖς ἐξ αἰφνιδίου ἐπιδρομῆς κρατουμένοις· ἐπειδὴ συμβαίνει πεπλασμένα καὶ ἐκ τῶν προσφευγόντων καὶ ἐκ τῶν κρατουμένων λέγεσθαι :–

Ἀλλὰ μηδὲ τοῖς ἀπὸ ἑνὸς μόνου λεγομένοις πίστευε ἢ πρόσεχε, ἀλλὰ τῇ ἐκ τῶν πλειόνων συμφωνίᾳ πείθου· μάλιστα δὲ τῶν ἐξ ἐπιδρομῆς ἀθρόας ἁλισκομένων ὡς εἴπομεν, ἤπερ τῶν προσφευγόντων σοι :–

Πρὸς δὲ τοὺς προσφεύγοντάς σοι ἀπὸ τῶν ἐχθρῶν, καὶ τινὰ μηνύειν ἐπαγγελλομένους μυστήρια, ἢ ἐν δεσμοῖς φύλαττε τέως, ἢ ἄλλως πως ἐν ἀσφαλείᾳ ἔχε· καὶ πρόλεγε αὐτοῖς δωρεὰς δώσειν ἐὰν ἀληθεύωσιν· ἐὰν δὲ ψεύδωνται ἀπείλει θάνατον :–

Ἐὰν δὲ συνέστηκεν ὁ στρατὸς ἐχθρῶν, καὶ ἔξωθεν ὀχυρωμάτων διάγῃ, μὴ ἐπιτρέψῃς τῶν στρατιωτῶν τινὰς ἐπὶ ἁρπαγῇ ἢ περὶ σκῦλα τε αἰχμαλώτων, ἀλλὰ πρότερον ἐπέρχου κατ' αὐτοῦ· καὶ εἰ μὲν καλῶς ἐξέλθῃ τὸ τοῦ πολέμου πέρας, μὴ ἀ-

ναβάλλου τὸν καιρόν· ἀλλ' ἐν ὅσῳ ἐν φόβῳ καὶ ταραχῇ εἰσὶν οἱ ἐχθροί, ἐπιτί-
θου αὐτοῖς μέχρις οὗ τελείως καταλυθῶσι καὶ σκορπισθῶσιν· ἡ γὰρ συμφωνία τῶν
φευγόντων γίνονται ἀσφαλῶς :-

Ἐὰν δὲ οἱ ἐχθροὶ στάσιν τινὰ ποιήσωσιν, ἀναβαλλόμενοι δὲ συμμίξαι μάχῃ, τότε
σπούδαζε ἡνωμένως καὶ ἀδιασπάστως περιπατεῖν, καὶ τὰ ἐν ποσὶν ἀφανίζειν :-

Εἰ δὲ διὰ τῆς αὐτῆς ὁδοῦ ἡ ὑποστροφή σου ἐλπίζεται γενέσθαι, καὶ οὐκ εἰσὶν ἄλ-
λαι ἀποστροφαὶ ἢ βοσκαί· τότε φείδου τὰ ἐν ποσὶν ἤγουν τὸ ἀφανίζειν τὰς δαπά-
νας· ἐν δὲ τῷ ὑποστρέφειν σε, τότε μᾶλλον ἀφάνιζε ταύτας :-

Ὥστε μὴ ἐν τῇ ἀλλοτρίᾳ γῇ πλανᾶσθαί σε εἰς τὰς ὁδούς, δέον σημεῖά τινα ἐν ταῖς
ὁδοῖς καὶ τοῖς ἀμφιβόλοις τίθεσθαι· ἐὰν μὲν ὗλαι εἰσὶν ἐν τοῖς δένδρεσι·
εἰ δὲ γυμνοὶ οἱ τόποι, διὰ σωρῶν λίθων ἢ ὑπομνημάτων μικρῶν, διὰ τὸ ἐπιτι-
νεσοντας διὰ τούτων τοὺς ὑστερίζοντας ἐν τῷ στρατῷ μὴ πλανᾶσθαι τὴν ὁδόν :-

Ὅσους δὲ εἰς πραῖδαν ἀφορίσεις καὶ ἀποστείλῃς, παράγγελλε μὴ πάντας εἰς τὴν
διαρπαγὴν ἀσχολεῖσθαι, ἀλλὰ διῃρημένους εἶναι· ἵνα οἱ μὲν αὐτῶν πραιδεύω-
σιν, οἱ δὲ πλείους αὐτῶν συντεταγμένοι ἵστανται εἰς φυλακήν, ἢ παρακολουθῶ-
σιν· εἴτε κατὰ χωρίον, εἴτε κατὰ φοσσάτον ἐχθρῶν, εἴτε κατὰ ἀγέλας, εἴτε κατὰ
τόλδον, ἢ ἑτέρου τινὸς ἡ ἐπέλευσις γένηται :-

Τοῦτο δὲ ποιεῖν καὶ ὅταν ἡνωμένου ὄντος τοῦ παντὸς στρατοῦ τὴν πραῖδαν ἐγχειρί-
σῃς, ὡς τὸ μὴ πάντας ἐπὶ τῇ ἁρπαγῇ ἀσχολεῖσθαι :-

Ἀλλὰ καὶ συχνοτέραις δαπάναις καιρὸς γίνεται διὰ τοὺς μὲν συλλέγειν, τοὺς δὲ συντεταγ-
μένους καὶ παρατεταγμένους ἀκολουθεῖν· ὥστε πάντων εἰς ἁρπαγὴν ἢ συλλογὴν
τῶν ἐπιτηδείων σχεδὸν ἀσχολουμένων μὴ ἀφυλάκτους τινὰς ἢ ἐγκρύμματι ὑ-
πὸ τῶν ἐναντίων συμβῇ γενέσθαι· εἰ γὰρ καὶ συμβῇ τοῦτο μὴ ὅλων αὐτῶν συν-
τεταγμένων, οὐ δυνήσονται ἑαυτοὺς ἀνακαλέσασθαι :-

Ὅταν δὲ χρεία        τοῦ αἰφνιδίου τὰς ἐγχειρήσεις κατὰ τῶν σκυθικῶν ἢ τῶν ὁμοί-
ων ἐθνῶν ποιεῖσθαι, διὰ τὸ μάλιστα ἀνύποπτον, χρὴ μετὰ σκοπῆς τὰς ἐκδάσεις
καὶ τὰς δυσχωρίας προσέχειν καὶ διερευνᾶσθαι· καὶ οὕτως προορίζεσθαι χρὴ
τὰ βάνδα εἰς τὸ εἰδέναι αὐτὰ ποῖον πρῶτον καὶ ποῖον δεύτερον εἶναι, καὶ
ἐφεξῆς ὀφείλουσι περιπατεῖν· καὶ μάλιστα ἐὰν διὰ στενῶν τόπων ἡ ἔφοδος
γίνεται· καὶ ἵνα μὴ συγχέωνται βραδέως ἐν τῷ διαμερισμῷ συνέρχονται :-

Ἄφνω γὰρ τῆς ἐπιθέσεως γινομένης, εἰ μὲν διὰ δύο τόπων ἐπιτήδειόν ἐστι τὴν ἐγχεί-
ρησιν ποιήσασθαι, δεῖ τὸν στρατὸν εἰς δύο μερίζεσθαι· ἓν τὸ μὲν μέρος λαμβά-

νην ἢ τὸν μεράρχην ὃν οἱ παλαιοὶ ὑποστράτηγον λέγουσιν, ἢ τὸν τουρμάρχην, ἢ ὁποῖοι ἂν ἄρχοντες τὴν ἔφοδον ποιοῦνται. δύο πάντως ἄρχοντας πρὸ τοῦ ἐπελεύσειν εἰς τὰ δύο μέρη ἕνα καθ᾽ ἕκαστον ἐπιστῆναι. καὶ τὸ μὲν ἓν μέρος ὡς εἴρηται τὸν ἕνα ἄρχοντα ἐξ ἀπλήκτου ἔχειν, καὶ χωρεῖς τὸ λοιπὸν καὶ προκόπτοντα ὡς ιε καὶ κ΄ μιλίων διάστημα διὰ τόπων ἀνύδρων ἐκ πλαγίου, καὶ ἐγγίζοντα τοῖς χωρίοις ἐκεῖθεν ἄρχεσθαι τῆς πραίδας ὡς ἐπὶ τὸ μέρος τοῦ στρατοῦ ἔρχεσθαι. τὸν δὲ στρατηγὸν ἔχοντα τὸ ἄλλο μέρος διὰ τῆς ἑτέρας ἀρχῆς τῶν χωρίων εἰσβάλλειν καὶ πραιδεύειν, καὶ ἀμφοτέρους εἰς ἀπάντησιν ἀλλήλων ἐρχομένους καὶ πραιδεύοντας τὰ ἐν μέσῳ χωρία ἐν ᾧ συμφθάσωσιν εἰς ἑαυτοὺς, ἐκεῖσε ἐν φοσσάτῳ ἀπληκεύειν. ἀκίνδυνος γὰρ καὶ ἀσφαλὴς ἡ ἐγχείρησις γίνεται, καὶ οἱ διαφεύγοντες τῶν ἐχθρῶν τὸν ἕνα αὐτῶν τῷ ἄλλῳ περιπίπτουσιν ἀδοκήτως μὴ ἐπισυναχθῆναι δυνάμενοι :—

Εἰ δὲ μακρά ἐστιν ἡ ἐπιδιάοδος διὰ τὴν εἰσβολὴν κατὰ τὴν τῶν ἐχθρῶν δυνατοῦ τε νέσθαι χρή, καὶ οὕτως τὸν στρατὸν διανεμηθῆναι. καὶ τὸ μὲν δίμοιρον αὐτοῦ ἐν τῷ πλέον τούτου ἐξ ἀπλήκτου ἐν δυνάμει τὸν ὑποστράτηγον λαμβάνειν καὶ μετὰ τοῦ ἰδίου αὐτοῦ ἐν ᾧ αὐτὸς τάττεται βάνδου ἔμπροσθεν πάντων προηγεῖσθαι, ἔχοντα μεθ᾽ ἑαυτοῦ πάντας τοὺς τῶν ταγμάτων αὐτοῦ ἄρχοντας. καὶ ὅταν τῷ πρώτῳ χωρίῳ ἐπιστῇ, πρὸς τὴν αὐτοῦ δύναμιν ἀφορίζειν. εἶτα ἐν ἑτέρῳ δύο βάνδα ὥστε τοὺς μὲν πραιδεύειν, τοὺς δὲ φυλάττειν τοὺς πραιδεύοντας :—

Καὶ οὐ δέδοτεν ἐν τοῖς πρώτοις χωρίοις μὴ πολλὰ βάνδα ἀφορίζεσθαι, κἂν ἢ μεγάλα συμβαίνει τὰ χωρία εἶναι. ἐπιφθάζοντος γὰρ ὄπισθεν τοῦ στρατοῦ οὐ δέδοται καὶ ὡς ἂν καταστάθως τοῖς ἐν αὐτοῖς ἐνεισπομένοις. συντόμως τὸν ὑποστράτηγον ἐπὶ τὰ πρόσω τὴν ἔφοδον ποιούμενον, ὁμοίως καὶ εἰς τὰ λοιπὰ χωρία ἐφεξῆς τοῦτο ποιεῖν μέχρις ἂν ἐπαρκέσωσι τὰ παρὰ σοῦ διδόμενα αὐτῷ τάγματα. αὐτὸν τὸν ὑποστράτηγον ἐξωτέρῳ πάντων ἐνεισπόμενον, διὰ τρία ἢ τέσσαρα βάνδα ἄχρι χιλίων ἀνδρῶν ἀρίστων περὶ αὐτὸν ἔχειν ἕως τῆς τοῦ πράγματος ἐκβάσεως ἢ ἴσω τῆς ἐφόδου. ἵνα βίγλα ἀκριβὴς καὶ ἀσφαλὴς τοῖς λοιποῖς γένηται :—

Τούτων οὖν ἐκεῖ τοῦ ὑποστρατήγου γινομένων, δέον σε τὸν στρατηγὸν, ἢ εἴ τις ἕτερος ὁ τὴν ταύτης ἐπιμέλειαν τὴν διοίκησιν πεπιστευμένος, ἵνα παρακολουθῇς τοῖς κατὰ μέρος πραιδεύουσι καὶ ἐπισυνάγῃς καὶ ἐπὶ τὰ ἔμπροσθεν προκόπτῃς, ὡς ἐπὶ τὸν ὑποστράτηγον ἢ τὸν τουρμάρχην. ὁμοίως δὲ καὶ ἐκεῖνον τὸ αὐτὸ ποιεῖν καὶ ἐπισυνάγειν παρερχόμενον τοὺς πραιδεύοντας. καὶ ἐν ᾧ ἂν τόπῳ ὑπαντήσεται

ἀλλήλοις, ἀπληκεύεται ἅμα καὶ τὴν αὐτὴν ἡμέραν· διὸ οὐ χρὴ πλέον δύο τε ἢ κ΄ μιλίων χωριζομένους ποιεῖσθαι τὰς βιαίας ἀφυλάκτους ἐπελεύσεις· ἵνα φθάσῃ ἀμφότεροι καὶ τὴν πραῖδαν ποιεῖν, καὶ κατὰ τὴν αὐτὴν ἡμέραν ἅμα ἀπληκεύειν :

Ἐν δὲ ταῖς βιαίαις ἐπιδρομαῖς, οὐ χρὴ τοὺς δυναμένους αὐτῆς καθίσασθαι ἐχθροὺς ζωγρεῖν ἢ συλλαμβάνειν· ἀλλὰ πάντας τοὺς παρατυγχάνοντας διὰ τοὺς σφάζεσθαι καὶ παρέρχεσθαι καὶ μὴ εἰς αὐτοὺς ἐμβραδύνειν τὴν πάροδον μάλιστα ποιουμένους, καὶ τὸν καιρὸν δαπανᾶσθαι :

Ἐὰν δέ ποτε βουληθῇς φρούριον ἢ κάστρον ἀκραιφνῶς [?] παραλαβεῖν ἢ ἕτερόν που, μὴ πέμψῃς τῷ πλήθει ἀλλ' εἰς αὐτὸ ἐπὶ τὸν τόπον γενόμενος ἐγχειρήσῃς τοῦ ἔργου :

Ἐὰν δὲ καὶ ἀνάγκη ποτὲ γένηται ὥστε ἐκ παντὸς τόπου τὴν στρατιὰν πλησίον ὀχυρώματος πολεμίων ἢ ἀπληκεῦσαι εἰς τὰς ἐξόδους τοῦ ὀχυρώματος, ἵνα τὰς ὡς εἰκὸς ἀφυλάκτους ἐπιδρομὰς ἐναντίων κωλύσῃ. τοῦτο δὲ ἐν τοῖς ξένοις τόποις γίνεσθαι ἀναγκαῖον :

Πλησίον δὲ ὀχυρώματος ἐχθροῦ ἢ ὕλης, μὴ ἐπιμελῶς ἀπληκεύειν τὸν στρατόν. εἰ δὲ ἀνάγκη πάντα ἐκεῖσε ἀπληκεύειν, ἀκριβῶς τὰς παραφυλακὰς ποιοῦ. διὰ τὰς τῶν ἐχθρῶν ἐπιθέσεις· καὶ μᾶλλον σπούδαζε ἵνα ἀπληκευμένῳ καὶ ἐν ἀσφαλεστέρῳ τόπῳ καὶ ὀχυρωτέρᾳ ἀπληκεύσῃς :

Ὅταν δὲ εἰς τὴν πολεμίαν γῆν εἰσέρχῃ, τὴν ἀποσκευὴν πᾶσαν ἔνδον τοῦ τούλδου ὄπισθεν ἀκολουθεῖν ποίησον· πλησιαζόντων δὲ τῶν ἐχθρῶν ἐν μέσῳ τοῦ στρατοῦ τὸ τοῦλδον εἶναι παρασκεύασον :

Κεχωρισμένην δὲ εἶναι ἀπὸ τῶν ὁπλοφόρων στρατιωτῶν τὴν ἀποσκευήν, καὶ τοὺς αἰχμαλώτους ἐὰν ὦσι μήποτε πολεμίων ἀθρόως ἐπιγενομένων τοῖς ἀγωνιζομένοις ἐναπόστασια [?] γένηται. μὴ μόνον δὲ ἐν τῇ ὁδοιπορείᾳ τοῦτο φύλαττε, ἀλλὰ καὶ ὅταν ἀπληκεύῃς :

Ἐπὶ δὲ τῆς πολεμίας γῆς τοὺς συμβουλάτορας [?] ἀπεσταλμένους μὴ ἀποστείλῃς περιλαμβάνειν, ἄνευ βοηθοῦ ἄρχοντος αὐτοῖς. ἀλλὰ μόνον διὰ τῶν αἰχμαλώτων καὶ αὐτομόλων ἀσφαλῶς ἀνερεύνα τὴν τῶν τόπων ποιότητα :

Ὅταν δὲ ὁ στρατὸς ἀπληκεύειν μέλλῃ, μὴ ἀναμεμιγμένως καὶ ἀτάκτως ἐπερχέσθωσαν ἐν τῷ τοῦ φοσσάτου ἀπλήκτῳ. ἀλλὰ ἐὰν ἐχθροὶ ἐπίκεινται ἐξ ἐμπροσθεν [?] πρὸ τοῦ στρατοῦ πρότερον τὰς ἁμάξας ἐκβάλλειν [?], καὶ ἐν τάξει τὰ ὀρύγματα

τα ποιήσωσαν, τρέποντας τοῦ τάφρου. οἱ δὲ ἐξάπλικτοι, ἤγουν οἱ ἔξω ἀπλίκτου ἄ-
νευ βάρους περιπατοῦντες πάντες ἀπὸ ὀλίγου διαστήματος ἐβίγλευσαν ἐκεῖσε,
καὶ τότε τὴν ἀποσκευὴν ἐν τάξει εἰσέρχεσθαι καὶ ἀπληκεύειν. καὶ ὅταν ἀπολύσῃς
τὰς βούλκας, τότε εἰσερχέσθωσαν καὶ αὐτοὶ οἱ ὁπλῖται ἐν τάξει καὶ ἀπληκευέτω-
σαν. καθὼς ἤδη καὶ ἐν τῷ περὶ ἀπλίκτου λόγῳ διετάξαμεν :—

Ἐὰν δὲ πλησίον μὴ εἰσὶν ἐχθροί, ἀρκεῖ καὶ δι' ἑνὸς δρουγγίου τοῦτο γίνεσθαι τὸ χρῆ-
μα. καὶ οὕτως ἐκείνων ἱσταμένων, τοὺς λοιποὺς ἀπληκεύειν :—

Ἐχθρῶν δὲ ἐπικειμένων καὶ συστάσεις ποιούντων, ἢ ὀχυρωμάτων ὄντων πλησίον, ἢ ἔτι
ἢ τόπου δυσχεροῦς μὴ ἀφιέντος ὡς ἔτυχε τινὰς βόσκειν τοὺς ἵππους. ἀλλὰ καὶ τὰς
βίγλας ἀσφαλῶς πέμπε, καὶ ἔχε μετὰ τοὺς ἵππους ἐν τῷ χάρακι. σπουδάζειν
δὲ ὥστε ἀπὸ χειρῶν συνάγειν ἐκ τῶν εὑρισκομένων καρπῶν ἐν τοῖς πλησίον
χωρίοις, τό τε χόρτον καὶ τὸν κριθὸν τὴν συλλογὴν ποιεῖσθαι οὕτως. ὥστε μετὰ τῶν
παλικαρίων τοῦ τούλδου ἐξαπλίκτως ἀπὸ ἑκάστου μέρους συνέρχονται ὁπλι-
σμένοι στρατιῶται ἐν τάξει περιπατοῦντες διὰ τὰς αἰφνιδίους τῶν ἐχθρῶν ἐπε-
λεύσεις :—

Ἐὰν δὲ χλοαζούσης ᾖ τόπῳ, καὶ ὁ καιρὸς ἐπιτήδειος ἐστί καὶ ὁ τόπος ὁμοίως
πρὸς ἀποτροφάς, ἐστὶ δὲ καὶ τῶν ἐχθρῶν ἡ δύναμις ἀπὸ μακρόθεν, τότε δυνατόν
ἐστι βόσκεσθαι τοὺς ἵππους. βίγλας διπλᾶς καὶ τριπλᾶς πολλάκις πεμπομέ-
νης ἀπὸ πολλῶν διαστημάτων, καὶ ταύτης συχνῶς ἀλλασσομένης :—

Ἐὰν δέ τινας ἐπὶ πραίδαν τάξῃς, οὗτοι μόνοι ἐξερχέσθωσαν. εἰ δέ τινες τῶν
στρατιωτῶν ἐπιχειρήσουσιν αὐτοῖς ἰδίᾳ αὐθεντίᾳ ποιήσαντες γενέσθαι διαφαγίαν.
ὥστε μηδένα ἕτερον πλὴν τῶν ὁρισμένων ἐξιέναι εἰς πραίδαν. καὶ τότε μὲν
τὸ μανδάτον τοὺς παρακούοντας συνέχεσθαι καὶ παραπέμπεσθαι τοῖς ἰδίοις
ἄρχουσιν εἰς τὸ σωφρονίζεσθαι ἵνα μὴ οἱ λοιποὶ λαμβάνοντες ἄδειαν καὶ
εἰς ἁρπαγὴν ἐκτρέχοντες, γυμνωθῶσι ἀπὸ στρατοῦ καὶ κινδυνεύσοι ὁ λαὸς
ὅλως :—

Ἀκρίβειαν δὲ καὶ ἀσφάλειαν ἔχε, ἵνα ἐὰν τύχῃ καὶ εὑρεθῇ οἶνος, ἢ ἄρτος μὴ
γεύειν αὐτὸν καὶ πίνειν προχείρως. ἐὰν μὴ πρότερον διὰ τῶν αἰχμαλώτων
δοκιμάσῃς αὐτὸν καὶ οὕτως διαγνώσῃς ἀπαθῆ καὶ ὑγιῆ, τότε ποιήσεις ἐσθί-
εσθαι αὐτὰ τοὺς στρατιώτας. ἀλλὰ μηδὲ τὸ ἐν τοῖς φρέασιν ὕδωρ ἢ κιν-
στέρναις ἢ λάκκοις, ἢ ἐν ἄλλοις ἀγγείοις πολλάκις γὰρ διὰ φαρμάκων ἀ-
φανίζονται, καὶ θανατηφόρον γίνεται :—

Εὑρέθησαν γὰρ πολλοὶ καὶ κεῖσθαι οὕτως φαρμακευθέντες καὶ μὴ ἔχοντας ἄλλοθεν τῶν στρατιωτῶν τοῖς σχολαίοις ἀπὸ τοῦ φιν. ἵνα ἐγκαθήσωσιν ἐκεῖθεν αὖθις παραλαβόντες τὸ φιν καὶ οὐ κόλλιτοι διὰ τοῦτο ἵπποι ἀπώλοντο:

Παραστέλλειν δὲ ὀφείλει ὁ στρατηγὸς καθὼς ἐν τῷ περὶ ὁδοιπορίας ἡμῖν εἴρηται λόγῳ. ἵνα ἐὰν ὡς πολλάκις γένηται ταραχὴ εἰς τὸν λαόν, μὴ ἀλλαχοῦ ποτε καὶ ἐκεῖσε τρέχειν αὐτοὺς καὶ περιφέρεσθαι, ἀλλ' ἐκεῖ ὁρμᾶν πάντας, ὅπου ἡ ταραχὴ γέγονεν. ἐκ τούτου γὰρ καὶ πρὸς τοὺς πολεμίους εὐάλωτοι γίνονται ἐάν τι τοιοῦτον συμβῇ, καὶ οὐ συμφέρονται εἰς ἀλλήλους καὶ συγχέονται:

Τὰς δὲ βίγλας ἡνίκα εἰσβάλλεις εἰς τὴν πολεμίαν γῆν, μὴ μόνον κατὰ τὸ ἔμπροσθεν μέρος ἀποστέλλειν πάντοτε ἐκ τοῦ δέοντος ἀσφαλίζῃ, ἀλλὰ καὶ κατὰ τὸ νῶτον ὄπισθεν εὐπλίκτους καὶ εὐόπλους στρατιώτας ἤγουν ἱκανὴν δύναμιν μετὰ ἀξιολόγου ἄρχοντος. παράταττε τοὺς λεγομένους νωτοφύλακας ὡς ἀπὸ δέκα μιλίων, ἢ ιε, ἢ ὅσον οἶδας διάστημα μετὰ βίγλας ἀκριβοῦς διὰ τοὺς ὡς εἰκὸς ὑποστρέφοντας ἐκ τοῦ στρατοῦ ἢ δι' ἀρρωστίαν, ἢ κατὰ ἑτέραν ἀνάγκην, ὅπως μὴ αἰφνιδίως οἱ ἐχθροὶ ἐπιπεσόντες συλλάβωνται αὐτούς:

Εἰώθασι γὰρ τότε μάλιστα ποιεῖσθαι τὰς ἐγχειρήσεις οἱ ἐχθροί, ὅτε καὶ ἀμερίμνως ὁδεύουσιν οἱ στρατιῶται, καὶ οἱ ἔμπροσθεν τοῖς ὄπισθεν εὐκόλως βοηθεῖν οὐ δύνανται:

Τοῦτο δὲ καὶ ἐν τῇ ἡμετέρᾳ γῇ ἐὰν ποιήσῃς οὐκ ἀπρεπές ἐστι διὰ τοὺς ὡς εἰκὸς ῥεμβομένους ποτὲ καὶ κλέπτας στρατιώτας, καὶ μὴ κακῶς διαγινομένους προδηλώσειν τοὺς ἄρχοντας αὐτῶν. ἐκ τούτου γινώσκεις τὴν ἀκρίβειαν τῆς τῶν στρατιωτῶν καταστάσεως:

Περὶ δὲ στενῶν τόπων καὶ δυσβάτων διαβάσεως ἐν τῇ πολεμίᾳ μνημονεύσομεθα παρακελευσάμεθα τῇ σῇ ἐνδοξότητι ὦ στρατηγέ, ὅτε τὴν περὶ τῆς ὁδοιπορίας διάταξιν ἐποιούμεθα. διὸ περὶ τῶν αὐτῶν πάλιν διεξιέναι ἀπρόκαιρον ἡγούμεθα, ὡς ἐκεῖθεν ἔχοντος σου ἤδη τὴν περὶ τούτων διάγνωσιν, ὥστε μὴ ἀπερισκέπτως καὶ ὡς ἔτυχεν ἀνάγκης χωρὶς ἐπιχειρεῖν εἰς δασεῖς καὶ δυσβάτους καὶ δυσχερεῖς τόπους διαβαίνειν:

Εἰ δέ τις ἀνάγκη τοῦτο γενέσθαι κατεπείγει, τῇ τῆς εἰρημένης ὡς εἴπομεν ἐν τῇ περὶ ὁδοιπορίας διατάξει παρατηρητικῶς ποιεῖσθαι τὴν τῶν τοιούτων τόπων πάροδον, μάλιστα ἐν τῇ πολεμίᾳ τῶν πολεμίων ἐπικειμένων:

Ἐὰν δὲ πολέμιοι εἰς τὴν ἡμετέραν χώραν εἰσβάλλωσι, σκοπὸς σοι ἔστω, ὦ στρατηγέ, μὴ φανερῶς καὶ ἐκ παρατάξεως αὐτοῖς πολεμεῖν, καὶ μάλιστα ἐν τῇ εἰσβολῇ αὐτῶν ἐὰν ὑπερέχῃ ἢ καὶ ἰσόμετρος ἐστὶν ἡ δύναμις τοῦ ἐχθροῦ. ἀλλὰ ἐνεδρεύειν μᾶλλον διὰ ἐγκρυμμάτων καὶ ἄλλων ἐπιτηδεύσεων, ἢ ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ ἀσφαλῶς καὶ τὰς ὁδοὺς ἐμφράττειν καὶ προκαταλαμβάνειν ὀχυρώματα ἢ διὰ πεζῶν, ἢ διὰ καβαλλαρίων, ἢ διὰ ἀμφοτέρων καὶ ἀφανίζειν δαπάνας προκειμένας τῷ ἐχθρῷ :~

Εἰ δὲ βουληθεὶς συμβαλεῖν τῷ πολεμίῳ, ὅταν μᾶλλον ἐπανέρχηται ἀπὸ τῆς πραίδας ἢ ἐξέρχηται τῆς χώρας. τότε γὰρ καὶ εἰς τὴν πραῖδαν περισπᾶται κεκοπωμένη ἐστὶ μάλιστα ἐὰν καὶ τοῖς ἰδίοις ἐγγίζῃ. τότε ὡς συμβάλλε αὐτῷ εἰ ἄρα βούλει συμβαλεῖν γὰρ ἐν ἰδίᾳ χώρᾳ διὰ τῶν ἀμελέστερον διάκειται περὶ τὴν μάχην, πολλὰς ἀφορμὰς ἔχων τοῦ σώζεσθαι καὶ κινδυνεύειν οὐ βουλόμενος. ὁ δὲ τῆς ἀλλοτρίας τῆς ἐπιβαίνων καὶ κατατρέχων, ὅταν ἐν βίᾳ αὐτῇ γένηται ἀνάγκη εἰς ἀπόνοιαν τρέπεται. πάντως λογιζόμενος ὅτι ἡ φυγὴ αὐτῷ εἰς κίνδυνον καὶ ἀπώλειαν γίνεται :~

Χρεὼν δέ σε, ὦ στρατηγέ, πάντοτε φυλάττειν ἑαυτὸν ἀπαθῆ καὶ ἀπλήγωτον. ἐὰν ἐν παντὶ καιρῷ καὶ τόπῳ μάλιστα ἐχθρῶν παρακειμένων, σοῦ γὰρ φυλαττομένου, οὔτε πλατύνονται οἱ ἐχθροὶ εἰς βλάβην τῆς χώρας, οὔτε πολιορκεῖν εὐχερῶς τοῖς ὀχυρώμασιν ἐπάγειν δύνανται. ἐφοροῦνται γὰρ καὶ ὑποπτεύουσι τὸν στρατὸν συνεστάναι :~

Καὶ γὰρ εἰ μή σοι δοκεῖ σοι συμβάλλειν δημοσίως τοῖς ἐχθροῖς, ὅμως οὕτως εὐτρεπίζεσθαί σε δεῖ καὶ φαίνεσθαι καὶ ὑπόνοιαν πᾶσι τοῖς τοῦ στρατοῦ παρέχειν ὡς πάντως συμβαλοῦντος τοῖς ἐχθροῖς. τοῦτο γὰρ οἱ ἐναντίοι μανθάνοντες ἐκλυποῦνται καὶ συστέλλονται :~

Ἐὰν δὲ τῶν ἐναντίων εἰς τὴν ἡμετέραν εἰσβαλλόντων, ὁ τόπος καὶ ἡ θέσις τῆς ἐκείνων χώρας ἐπιτήδειά ἐστι πρὸς τὴν ἔφοδον δι᾽ ἑτέρου τόπου μᾶλλον ἐπιτήδειε πέμπειν στρατὸν ἐν αὐτῇ, ἵνα ἐκ τούτου περισπάσῃς τοὺς ἐχθρούς :~

Πάντως δὲ καὶ τὴν θέσιν ὡς εἴρηται κατανοήσεις καὶ τὰ διαστήματα, ἵνα εἰ ἐπιγνωσθῇ τοῖς ἐχθροῖς τοῦτο καὶ ὁρμήσωσι κατὰ τῶν πεμπομένων εἰς τὴν χώραν αὐτῶν ὁ ἡμέτερος στρατὸς δι᾽ ἑτέρου τόπου ἐξέλθῃ ἀπαθής, ὅπως μὴ ὁρμώντων τῶν ἐχθρῶν ἐκεῖθεν εἰς ὄψιν αὐτοῦ περιπέσωσι :~

Τοιοῦτον πεποίηκεν Νικηφόρος ὁ ἡμέτερος στρατηγός. ἀπουλφέρου γὰρ τοῦ

τῶν Σαρακηνῶν ἅμα παρὰ τὴν Καππαδοκίαν καταδραμόντων αὐτὸς τὴν Ταρσοῦ καὶ πᾶσαν τὴν Κιλικίαν καθεῖλε, πολλὴν Σαρακηνοῖς ἐργασάμενος τὴν βλάβην :

Ἐχθρῶν τινων τὴν ὑπὸ σὲ χώραν εἰ οὕτω συμβῇ κατατρεχόντων, δέον ἐστὶ πάντα τὰ ἀναγκαιότερα πράγματα ἐν τοῖς ὀχυρωτέροις κάστροις ἢ τόποις ἀνωτέροις συλλέγειν. φυλάττειν δὲ καὶ τὰ ἄλογα τῆς χώρας, ἵνα μὴ μᾶλλον συλλαμβανόμενα, ἰσχυροτέρους τοὺς ἐχθροὺς ποιήσωσιν :

Ἐὰν δὲ ὁ λαὸς ἢ πράγματα εἰς δοκοῦντας ὀχυροὺς τόπους μὴ ὄντας δὲ ἐπιτηδείως συναχθῶσι, πάντως δεῖ αὐτοὺς διὰ τῆς σῆς προνοίας μεθίστασθαι καὶ ὀχυρωτέρους ἀπελθεῖν τόπους, ἔνθα καὶ ἄφοβος αὐτοῖς ἡ φυλακὴ γενήσεται :

Ὅτε δὲ μὴ ἐκ φύσεως ὀχυρά εἰσιν ἢ κάστρα ἢ τόποι ἕτεροι, προασφαλίζου αὐτά, καὶ εἴποτε οἱ ἐχθροὶ βουληθῶσι παρακαθίσαι αὐτοῖς, μέρος τῆς στρατιᾶς ἀφανῶς εἰς βοήθειαν καὶ ἐνδυνάμωσιν αὐτῶν ἐκπέμπε καὶ μὴ ἔα τοὺς ἐχθροὺς ἀδεῶς τὰς ἔξωθεν δαπάνας συλλέγειν· ἀλλὰ περισκόπει καὶ τοὺς ἐπὶ συλλογῇ τῶν δαπανημάτων πεμπομένους ἐνέδρευε καὶ συλλάμβανε, καὶ οὕτω στενοχώρει τοὺς ἐχθρούς :

Καὶ ταῦτα μὲν περὶ ἐφόδου τῆς τε πρὸς τὴν πολεμίαν καὶ τῶν πολεμίων πρὸς τὴν σὴν γινομένων εἰρήσθω ἡμῖν. χρεὼν δὲ καὶ περὶ τῶν ἄλλων ὅσα χρεία σοι πρὸς στρατηγίαν δοκοῦσι καὶ ἀσφάλειαν διεξελθεῖν, καὶ μάλιστα περὶ τοῦ πῶς δέον κατασκοπεῖν ἐχθρούς· καὶ ὅπως πάλιν τοὺς ἀπ᾽ ἐκείνων πεμπομένους καὶ κατασκόπους κρατεῖν λανθάνειν ζητοῦντας ἐν τῷ στρατῷ :

Δεῖ οὖν σε σκοπεῖν ἀκριβῶς ὦ στρατηγὲ τὴν ποσότητα τῆς τῶν ἐναντίων δυνάμεως, πάντως καὶ πρὸς τοῦτο κανονίζειν καὶ διοικεῖν σε τὰ κατ᾽ αὐτῆς. τὰ γὰρ σχήματα τῶν καβαλλαρικῶν τε καὶ πεζικῶν τάξεων, καὶ αἱ τῶν τόπων θέσεις πολλὴν τῆς ποσότητος τοῦ λαοῦ διαφορὰν ποιοῦνται, καὶ ἀνυπόβλητον εἰσάγουσι πλάνην τοῖς ἁπλῶς καὶ ἀπείρως κατανοοῦσιν αὐτά. καὶ ὅτι ὃ λέγω ἀληθές ἐστι μαρτύριον τάχα τῇ θεωρίᾳ ὁ μέλλων λεχθῆναι τύπος :

Ὑπόθου γὰρ ἑξακοσίους καβαλλαρίους εἰς μῆκος ἐπὶ πεντακοσίοις εἰς πλάτος τάττεσθαι, ὅ γίνεται τριάκοντα μυριάδες, ἤγουν τριακόσιαι χιλιάδες καβαλλαρίων. ἑκάστου δὲ ἵππου εἰς τόπον ταττομένου κρατοῦντος πόδας τρεῖς κατὰ πλάτος γίνονται πόδες χίλιοι ὀκτακόσιοι. καὶ ἑκάστου ἵππου ἐν τῷ βάθει ταττομένου κρατοῦντος πόδας ὀκτώ, γίνονται πόδες

τετρακισχίλιοι· ὥστε γενέσθαι ἐν τετραπλεύρῳ σχήματι ὑπὸ τὸ μῆκος τῶν χιλί-
ων ὀκτακοσίων, καὶ τὸ βάθος τῶν τετρακισχιλίων ποδῶν. ὀκτακοσίας εἴκοσι
μυριάδας πόδας στερεούς. ἡ δὲ περίμετρος μόνη τοῦ ἐπιφανοῦς ἔξωθεν διὰ τῶν
τεσσάρων πλευρῶν. γίνονται πόδες μύριοι χίλιοι ἑξακόσιοι. καὶ ἐπειδὴ δὲ
οἱ ἓξ πόδες ποιοῦσιν ὀργυιὰν μίαν, αἱ δὲ ἑκατὸν ὀργυιαὶ ποιοῦσι στάδιον
ἕν. τὰ δὲ ὀκτὼ ἥμισυ στάδια, ποιοῦσι μίλιον ἕν. συνάγεται ἡ περίμετρος πάν-
τῃ, ἤτοι οἱ μύριοι καὶ χίλιοι καὶ ἑξακόσιοι πόδες εἰς μίλια δύο ἥμισυ δέ-
κατον ἔγγιστα. ἐν τούτῳ οὖν τῷ διαστήματι καὶ σχήματι χωροῦνται αἱ τριάκον-
τα μυριάδες τῶν καβαλλαρίων, κατὰ τὴν πύκνωσιν. εἰ δὲ ἀραιότεροι
ἵστανται τῆς πυκνώσεως ἐπιλογίζεσθαι δεῖ τὴν ἐνοῦσαν ἀραιότητα· καὶ
οὕτως συμβάλλειν ἐκ τοῦ μεγέθους τοῦ τόπου τὸ ποσὸν τοῦ λαοῦ:

Τάξεως δὲ τὰς τριάκοντα μυριάδας, ἤτοι τὰς τριακοσίας χιλιάδας ἐπὶ ἁπλ-
ᾶ καὶ ἐκτεταμένης. ἑκάστου δὲ ἵππου εἰς μῆκος ταττομένου τῆς παρα-
τάξεως κρατοῦντος ὡς εἴρηται πόδας ἕξ, γίνονται πόδες μυριάδες ἐνε-
νήκοντα· οἳ ποιοῦσι διάστημα ἐπ' εὐθείας, μίλια διακόσια ἔγγιστα. ταῦτα
δὲ ὡς εἴρηται κατὰ τὴν πύκνωσιν. εἰ δὲ διασκεδασμένοι καὶ ἐσκορ-
πισμένοι κινοῦνται ὁμολογούμενόν ἐστιν, ὅτι πολλαπλασίονα τοῦ μέτρου
τόπον κατέχουσι, καὶ πλείονας τῶν ἐν τῇ τάξει ἑστώτων διὰ φαντασμοῦ ὑποπί-
πτουσιν. εἰ δὲ ἐν πλατείᾳ τόπῳ καὶ ὑψηλοτέρῳ περιπατοῦσιν ἔτι πλέον:

Διὸ καὶ οἱ βουλόμενοι στρατὸν διὰ κόμπον τινὰ ὑποδεῖξαι ἢ ἐπὶ λεπτοτέρου
βάθους τάσσουσιν αὐτόν, ἢ κεχυμένον μήκοθεν, ἢ διεσκεδασμένον καὶ
διεσπαρμένον. οἱ δὲ παλαιότεροι τακτικοὶ τὴν πεζικὴν τάξιν ὅταν μὲν ἐστε
τεταγμένη, τέσσαρας πήχεις ἵστασαν τὸν ἕνα ἄνδρα κατέχειν. ὅταν δὲ ἔδει πεπυ-
κνωμένην εἰς δύο πήχεις. ὅταν δὲ ἐν συνασπισμῷ ἐν παρατάξει πῆχυν ἕνα
κατέχειν τὸν στρατιώτην, ὥστε καὶ ἐκ τούτου τοῦ μέτρου ἀκριβῶς ἐστὶ τὰ στρα
ἀναλογίζεσθαι ἀπὸ αὐτοῦ τοῦ μήκους τοῦ τόπου. οὐ μόνον τῶν καβαλλαρίων,
ἀλλὰ καὶ τῶν πεζῶν τὸ πλῆθος:

Τοσαύτης γινομένης διαφορᾶς οὔσης εἰς τὰς τάξεις καὶ τὰ σχήματα· οὐ δέον ἐστὶ
στρατηγὲ εἰς ἀπείρους τῶν τοιούτων ἀνθρώπους τὰς σκέψεις ἤτοι τὰς διὰ τῶν κα-
τασκόπων τῶν ἐν τοῖς διακρίσεσι καταπιστεύειν, ἤτοι τὰς περὶ τούτων βίγλας· μη-
δὲ τοῖς παρ' αὐτῶν ὡς ἔτυχε λεγομένοις πιστεύειν· ἀναγκαῖον δὲ ἐστι τοῖς πολ-
λοῖς καταλαμβάνοντι, ἤτοι ἐπὶ τὰς εἴκοσι ἢ τριάκοντα χιλιάδας τὸ μέτρον ἐστί.

καὶ μάλιστα ἐπὶ ἐθνῶν, οἵτινες πολλοὺς ἵππους ἐπισύρονται· διόπερ ἐμπείρων ἀνδρῶν τὰ τοιαῦτα χρὴ καταπιστεύειν :

Μὴ δὲ πρὸς ἐχθροὺς ἀγωνίᾳ ἐπὶ ταῖς λεπταῖς καὶ μακραῖς παραταξεσι, διὰ πλήθους ὑπόνοιαν· εἰ γὰρ μὴ ἴσον ἀναλόγως ἔχουσι καὶ τὸ βάθος μετὰ ποσοῦ οὐκ ἔχουσι. τὰς δὲ βαθείας βαθὺ πολυπραγμονείτωσαν οἱ κατάσκοποι, εἰ τὸ ἄλογον συντέτακται τῇ παρατάξει ὄπισθεν, ἢ μόνοι ὁπλῖται εἰσί :

Τὰ δὲ ὅσα περὶ τοῦ ποσοῦ δυνατόν ἐστιν ἀκριβέστερον γινώσκεσθαι· διά τε τῶν προσφευγόντων πρὸς ἡμᾶς, καὶ διὰ τῶν κρατουμένων ἐχθρῶν. εἰ βουληθείης καὶ διὰ παρόδου στενοτέρων τόπων ἐπὶ διὰ τῶν ἀπλήκτων εἰ συμβῇ αὐτοὺς ἐναμείνας ἀπληκεῦσαι :

Ἐὰν δὲ μέλλεις φοσσάτον ἐχθρῶν ἐν τοῖς στενωτέροις τόποις δι' ὀλίγων ἢ διὰ τὰς δι' ὧν τόπων θέσεις ποίου τὰς σκούλκας. εἰς δὲ τοὺς ὁμαλοὺς καὶ γυμνοὺς τόπους ἐκ διαφόρων μερῶν διὰ πλειόνων ποίου τὰς σκούλκας, καὶ κατὰ συνέχειαν, καὶ ἀπὸ διαστήματος. καὶ μάλιστα εἰς τὰς νύκτας ὅταν εὐχερὲς ἦν ὁ ἐχθρὸς διὰ τοῦ τόπου οὗ ἂν βούληται λαθεῖν καὶ αἰφνιδιάσαι, περικανονίζου τὰς βίγλας. ἐὰν ὀλίγαι εἰσὶ καὶ διαδόχως ἀπὸ διαστήματος τὰς βίγλας διατίθεσθαι καὶ ἀλλεπαλλήλους ἐν διαφόροις τόποις τοῖς ἐπιτηδείοις καὶ συχνῶς ἀλλάσσεσθαι :

Γνῶθι δὲ ὅτι ἴδιον ἁρμοδίων κατασκόπων ἐστί, τὸ φροντίσει καὶ ἀγρυπνίᾳ τόπους τε καὶ κινήσεις πολεμίων κατασκοπεῖν :

Τοὺς δὲ τοιούτους ἐλαφρῶς ὁπλίζεσθαι δέον, καὶ ἵππους ἔχειν ταχεῖς ἵνα τὸ ἀνεμποδίστως ὁδεύειν. καὶ τοὺς δὲ ἐξπλοράτωρας ἤτοι κατασκόπους δεῖ θεν ἀφοβώτερον συνδιάγειν τοῖς πολεμίοις ὥστε ὁμογενεῖς αὐτοὺς εἶναι νομίζεσθαι. τοὺς δὲ βιγλάτορας πιστοὺς εἶναι καὶ εἴδει σώματος ἀνδρείους καὶ ψυχῇ εὐτόλμους, καὶ ὁπλίσει λαμπροὺς καὶ τῶν λοιπῶν στρατιωτῶν διαφέρειν, ὥστε ἢ ποιήσαντάς τι γενναῖον ἔργον καὶ ἀνδρεῖον ἐπανελθεῖν, ἢ ζωγρηθέντας παρὰ τοῖς πολεμίοις θαυμάζεσθαι :

Τὸν δὲ ἄρχοντα τῆς σκούλκας ἄγρυπνον καὶ φρόνιμον καὶ ἐμπειρότατον ἐπιλέγου καὶ μὴ τὸν τυχόντα, οὐ γὰρ τὸ τοιοῦτον ἀνδρείας, ὅσον φρονιμάδος καὶ ἀγρυπνίας δεῖται ἡ τῶν σκουλκατόρων χρεία :

Μόνους δὲ τοὺς κατασκόπους ἀπόστελλε μακρόθεν ἐκ τῶν πολεμίων, ἡνίκα μάλιστα βούλει μαθεῖν ἢ κίνησιν ἐχθρῶν, ἢ θέσεις ὁδῶν, ἢ τόπων

ὀχυρώμασιν :—

Ὅταν δὲ ἐπὶ τὸ καταφθάνειν τινὰς ἢ ἐπιδιώκειν, τότε ἀναγκαζομένους τούτους μετὰ τῶν σκουλκατόρων· πρόσταττε εἶναι καὶ αὐτοὺς προτρέχειν καὶ ἐξαπλοῦντας ἴσως ὑψηλοὺς χώρους κατασκοπεῖν, τοὺς δὲ σκουλκάτορας ἀκολουθεῖν ἐκείνοις καὶ ὁδηγεῖσθαι παρ' αὐτῶν :—

Τὰς δὲ σκούλκας ἢ βίγλας ἐν τοῖς ἀναγκαίοις καιροῖς μὴ ποιοῦ ἁπλᾶς ἀπὸ ἑνὸς μέρους, ἀλλὰ διαφόρους καὶ ἀλληπαλλήλους κατὰ τόπου θέσιν, καὶ ἀπὸ διαστήματος ἱκανοῦ· ἵνα εἰ συμβῇ τοὺς ἐχθροὺς διαλαθεῖν εἰς τοὺς ἄλλους περιπίπτοντες μὴ διαλάθωσι· καὶ τοὺς μὲν ἐν τῇ πρώτῃ βίγλα ὄντας ὀλιγωτέρους ποιοῦ, τοὺς δὲ μετ' ἐκείνους ἐν τῇ δευτέρᾳ πλείους καὶ ἐν τῇ τρίτῃ ἔτι πλείους :—

Μήτε δὲ καθίζειν μήτε ἀνακλίνεσθαι τοὺς βιγλεύοντας παράγγελλε, καθάπερ καὶ ἐν ἑτέροις περὶ τούτου τι παρηγγέλκαμεν, ἵνα μὴ ἀθυμοτέρου τοῦ ἔργου αὐτῶν γινομένου ἀπόλωνται· καὶ γὰρ ἡ καθέδρα καὶ ἡ ἀνάκλισις ὕπνον μάλιστα φέρει· καὶ οἱ τοῦτο ποιοῦντες ἀγρυπνεῖν οὐ δύνανται, ἀλλὰ μηδὲ τῶν ἐπαγγελλομένων τινὲς δι' ὅλης τῆς νυκτὸς τὴν βίγλαν κρατεῖν πιστεύσῃς αὐτοῖς. ἡ γὰρ φύσις τὸ ἴδιον ἐπιζητεῖ, καὶ οὐ τὴν ἀσφάλειαν διὰ τοὺς βιγλεύοντας πάντας· ἡ γὰρ ἐπὶ τῆς γῆς τῶν ποδῶν στάσις μαραίνει τὸν ὕπνον καὶ μᾶλλον ἐγρηγόρους τοὺς ἱσταμένους ποιεῖ· ὅταν δὲ ἀργά, τότε κοπωθέντας ἀλλάσσεσθαι κατὰ τὰς διούτας τῆς νυκτὸς καὶ διαμερισθείσας αὐτοῖς ὥρας· εἰ γὰρ μὴ φρουρήσωσιν ἐπιμελῶς ὅπως ἀγρυπνήσωσι τὴν φυσικῶς τοῦ ὕπνου χαλινώσαντες, ἑαυτοὺς ἂν παρὰ τῶν ἐχθρῶν ἀπολέσωσι :—

Διὸ χρὴ ἴσως κατασκοπεῖν τὰς βίγλας καὶ ὅπως γίνονται, καὶ πέμπειν τοὺς στοτέρους τῶν ἀρχόντων τοὺς ὀφείλοντας αἰφνιδιάζειν καὶ ἐπιδεῖν πῶς αὗται γίνονται, καὶ τοὺς ἀμελοῦντας τιμωρεῖσθαι εἰς αὐτοὺς μεγάλου κινδύνου τῷ στρατῷ γινομένου :—

Ὑπολαμβάνω δὲ ὅτι ὁ ἔμπειρος σκουλκάτωρ δύναται ἀπό τινων σημείων καὶ πρὸ τοῦ ἰδεῖν αὐτὸν τοὺς πολεμίους, κατανοῆσαι τὸ μέτρον τοῦ πλήθους αὐτῶν ἐκ τῆς τῶν ἱππων αὐτῶν στάσεως καὶ ἐκ τῶν ἀπλήκτων αὐτῶν. δύναται καὶ τὸν χρόνον στοχάσασθαι πότε διὰ τοῦ τόπου παρῆλθον, ἐκ τῶν ἵππων καὶ τῆς αὐτῶν κόπρου :—

Ἐὰν δὲ φοσσάτον ποιήσῃς ἤτοι χάρακα, καὶ ἡ τάφρος ἡ οἰκοδομικὴ

ὀχυρώσῃς αὐτό, ἢ τινὶ ἑτέρᾳ ὕλῃ. δεξιοὶ δὲ ἔσωθεν ἐγκαταστεῖν τοὺς καβαλλαρίους μὴ πολὺ ἀπὸ διαστημάτων ποιήσῃς τὰς βίγλας, ἵνα μὴ ζωγρεύωνται ἀκαίρως οἱ ἵπποι:

Πάντως δὲ τοὺς πεμπομένους ἐπὶ σκούλκαν παραγγέλλειν ὥστε ζωγρεῖν τινά. ἐὰν πρὸ ἐπὶ τὴν κατασκοπείαν οὕτως σχολάζειν σπουδάζειν ὥστε προσκουλκεύειν καὶ ἀφανῶς καὶ ἀγνώστως τοῖς ἐχθροῖς δὲ ὁ τέως φαίνεσθαι ὀλίγους ὄντας καὶ ὑποχωρεῖν, ἄλλους δὲ κεκρυμμένους καὶ ἀφανῶς κατακυκλοῦν πρὸς τὴν αὐτὴν τόπων ἐπιδιώκοντα, καὶ ἀλλαχόθεν δὲ ἐκκυλύειν ὀλίγους ἐπὶ μόνας ἐπέρχεσθαι μετὰ πλειόνων λεληθότως· καὶ διανυκτερεύειν μάλιστα ὅταν μακρόθεν δοκῶσιν εἶναι οἱ πολέμιοι, ὅταν οὐδὲ ὑπόνοιαν ἔχουσι τούτου τοῦ δράματος:

Τὰς δὲ γινομένας βίγλας, μὴ μόνον τοὺς ἐναντίους μὴ εἰδέναι καλόν, ἀλλὰ μηδὲ τοὺς ἰδίους. λανθάνειν δὲ τὸν στρατὸν ἵνα ἐάν τινες ὡς εἰκὸς προσφυγεῖν τοῖς ἐχθροῖς βουληθῶσιν ἐκ τοῦ στρατοῦ, ἀδηλώτως ταύταις περιπέσωσιν:

Ἐὰν δὲ βουληθῇς κατασκόπους κρατῆσαι τῶν ἐχθρῶν, δέονται θαρρῆσαι τοῖς ἄρχουσι τὸ πρᾶγμα ἵνα ἕκαστος τοῖς ὑπ' αὐτὸν στρατιώταις καὶ τοῖς λοιποῖς παραγγέλλει. ὅτι τυχὸν τῇ ἐξῆς περὶ δευτέραν ἢ τρίτην ὥραν τῆς ἡμέρας κατὰ τὴν πρώτην φωνὴν τοῦ βουκίνου, ὅλος στρατιώτης, ἔτε παῖς ἐστιν ἕκαστος εἰς τὴν ἰδίαν τένταν ἵνα εἰσέλθῃ καὶ μηδεὶς τολμήσῃ ἔξωθεν τῆς τέντας εὑρεθῆναι, ὅπου φοσσεύεται. καὶ μετὰ τὸ πάντας εἰσελθεῖν αὐτοὺς τοὺς ἄρχοντας μένειν ἔξωθεν τῶν τεντῶν εὑρισκομένους, κρατήσωσιν αὐτούς· τοὺς δὲ ὡς εἰκὸς εἰσερχομένους εἰς τὰς τέντας οἱ τῶν κουμβερνίων συλλαμβάνονται καὶ κρατοῦσι καὶ παραδιδοῦσι τῷ ἰδίῳ ἄρχοντι. οὕτως γίνεται τὸ δύο εἰς τὸν κατάσκοπον· ἢ γὰρ ἔξωθεν ἱστάμενος συνέχεται ὡς μὴ εἰδὼς ποῦ ἀπελθεῖν, ἢ καὶ ὡς εἰκὸς ἐὰν θαρρήσῃ εἰσελθεῖν τινι τῶν κουμβερνίων, ὡς ξένος ἐπιγινώσκεται καὶ παραδίδοται τῷ ἄρχοντι τοῦ κουμβερνίου:

Πάντας δὲ τοὺς ὁπωσοῦν κατὰ τοῦτον τὸν τόπον εὑρισκομένους, δεῖ κρατεῖσθαι εἴτε ῥωμαῖοι δοκοῦσιν εἶναι, εἴτε ἀλλογενεῖς· καὶ ἐξετάζεσθαι ὥστε πόθεν σὺ εἰσέρχεσθαι τὴν δίοδον:

Τοῦτο δὲ γίνεται καὶ ἐν φοσσάτῳ ζευγνυμένου στρατοῦ ἢ πεζικοῦ ἢ καβαλλαρικοῦ ἐπιτηδείως· ὁμοίως δὲ κατὰ τὸ μέρος μεμερισμένως, ἢ πάλιν κατὰ τάγμα ἀπληκευόντων:

Γίνεται δὲ καὶ ἑτέρων τοιούτων καὶ ὁμοίων σημείων διαφόρων ἐπίγνωσις τῶν ἐρχομένων κατασκόπων ἄνευ ἀναγκαίου ἐστὶν ἐπιτηδεύειν, ὥστε διάφορα σημεῖα

ἤτοι παραγγέλματα ποιεῖν. ἅμα γὰρ καὶ οἱ κατάσκοποι τῶν ἐχθρῶν ἐντεῦθεν φανεροῦνται. ἅμα δὲ καὶ οἱ στρατιῶται ἐθίζονται πείθεσθαι τοῖς ἄρχουσιν αὐτῶν, καὶ φυλάττειν ἐπιμελῶς τὰ μανδᾶτα. ἐὰν μάλιστα μετρίως πως σωφρονίζωνται οἱ ἀμελοῦντες περὶ αὐτά. ἐὰν γὰρ τὸ παράγγελμα δοθῇ παρὰ τοῦ ἄρχοντος τοῖς στρατιώταις μυστικώτερον καὶ τοῦτο ἐρωτώμενος ἀγνοεῖ, ὁ κατάσκοπος τοῦ ἐχθροῦ ταχέως εὑρίσκεται ἀλλότριος ὢν τοῦ συστήματος καὶ οὐκ ἔχων τὸ σύνθημα τοῦ φιλίου στρατοῦ :-

Οὐκ ἄτοπον δὲ ἀλλὰ καὶ χρήματα καὶ μανδᾶτα διδόναι, ἐν ἔθει γένωνται τοῦ φυλάττειν αὐτά :-

Ἐὰν δέ ποτε συλλάβῃς κατασκόπους, μὴ κέχρησαι εἰς αὐτοὺς μιᾷ καὶ τῇ αὐτῇ τιμωρίᾳ πάντοτε. ἀλλ᾽ ἐὰν τὰ ἀσθενέστερα μᾶλλον τὰ σὰ εἶναι παρὰ τῶν πολεμίων νομίζῃς, δεῖ ἐκτείνειν τούτους ἢ συνέχειν ἐν ἀσφαλεῖ φρουρᾷ. ἐὰν δὲ καθοπλισμὸν ἔχῃς ἰσχυρὸν καὶ καλὸν καὶ παρασκευὴν ἱκανὴν καὶ δύναμιν πολλὴν καὶ εὐεξίαν ἤτοι μέγεθος, καὶ ῥῶσιν σωμάτων, καὶ πληθύνον στράτευμα, καὶ ἄρχοντας ἀρίστους καὶ ἀνδρείους, καὶ ἐμπειρίαν γεγυμνασμένην, στάσιν τε τὴν στρατιὰν ἐν κόσμῳ καὶ κατάστασιν πρὸς κόσμον. παράλαβε δὲ τοὺς κατασκόπους, ἐπαύλιν ἐπίδειξον αὐτοῖς ταῦτα. εἶτα τοῦτο ποιήσας ἀθῴους αὐτοὺς ἀπόπεμψον εἰς τοὺς ἰδίους. οὐκ ἂν ἁμαρτήσῃς. καὶ γὰρ ἀπηθέντες ἃ παρ᾽ ἑώρων ἀναγγέλλουσι τοῖς ἰδίοις, τὰ μὲν γὰρ πλεονεκτήματα διὰ τῶν ἐναντίων ἀπαγγελλόμενα πολλάκις ἀναγκάζει φοβεῖσθαι τοὺς ἀκούοντας. τὰ δὲ ἡττήματα αὐτῶν θαρρεῖν τοὺς ἀντιτεταγμένους παρασκευάσει :-

Ὥστε εἰ μὲν ἡττήματα ἔχεις, ἀποκτεινέσθωσαν οἱ κατάσκοποι. εἰ δὲ πλεονεκτήματα μᾶλλον, ἀπολυθέντες καὶ διηγούμενοι τοῖς ὁμοεθνέσιν εἰς δειλίαν αὐτοὺς περιστήσουσιν :-

Ἐὰν δὲ πρόσφυγοι ἀπὸ τῶν ἐχθρῶν πρὸς σὲ παραγένωνται, καὶ ἢ ὥραν τινὰ ἐπιθέσεως ἢ ὁδὸν ἀπαγγέλλωνται ὑποδείξειν καὶ προπορεύεσθαι καὶ διασκοπεῖν ἀοράτως ἐπὶ τοὺς πολεμίους εἰσάγειν, μὴ ἁπλῶς πίστευε, ἀλλὰ δήσας αὐτοὺς οὕτως ἄγε παραγγέλλων αὐτοῖς ὅτι ἐὰν μὲν ἀληθεύσωσι, καὶ δῶρα καὶ τιμὴν καταξιωθήσονται. εἰ δὲ ἐξαπατήσωσι καὶ ψεύσωνται, εἰς τοὺς ἰδίους ἐπιστρέψαι βουλόμενοι τὸ στράτευμα, γινωσκέτωσαν ὅτι παρ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὄντες ἐν δεσμοῖς, ὑπὸ τῶν κινδυνευόντων κατασφαγήσονται. καὶ γὰρ προσφεύγουσι πίστιν ἐβασίλευον, ἢ ἐκ πολεμίου πρὸς σέ, ἢ ἀπὸ σοῦ πρὸς τοὺς πολεμίους τ᾽

μὴ εἶναι αὐτοῦ κύριον τῆς ἰδίας ψυχῆς, ἀλλὰ τοὺς ἱσταμένους αὐτούς, ἢ
ἐν οἷς προσέφυγεν, ἢ ἐξ ὧν
ἀπέφυγε :—

τέλος

---

## Διάταξις ιε΄.

## Περὶ μελέτης διαφόρων ἐθνικῶν τε καὶ ῥωμαϊκῶν παρατάξεων :—

Τοσαῦτα μὲν οὖν εἰρήσθω καὶ περὶ τούτων, ἑξῆς δὲ καὶ διαφόρων παρατάξεων τὰς μελέτας ὑπαγορεύσω. τούτων τε ἄλλων ἐθνικῶν καὶ ὅσαις ἐχρήσαντο κατὰ διαφόρων ἐθνῶν οἱ τῶν ῥωμαϊκῶν στρατευμάτων κατάρξαντες πάλαι στρατηγοί, ἵνα ταύτας κατανοήσας, οὐ μόνον αὐτὸς ταῖς αὐταῖς χρήσῃ στρατηγήμασιν ἐν ᾧ δέουσι καιρῷ, ἀλλὰ καὶ ἕτερα πλείω τούτων προσεπινοήσῃς. ἀγχίνοια στρατηγοῦ, ὅταν καὶ ἀφορμάς τινος δέξηται πραγμάτων στρατηγικῶν, οὐ μόνον ἐκείνων ἴσα τεχνῶν ἀλλὰ καὶ πλείω τούτων προσεφευρίσκειν δύναται :—

γρ. ταῦτα

Ἡ μὲν οὖν συνεχὴς γυμνασία τῶν τακτικῶν κινήσεων, ὠφέλειαν μὲν πολλὴν τῷ στρατεύματι ποιεῖ. καταδήλους δὲ αὐτὰς τοῖς ἐχθροῖς εὐχερῶς γίνεται, διά τε κατασκόπων τῶν ἀπὸ ἐχθρῶν, καὶ τῶν ὡς εἰκὸς προσφευγόντων εἰς αὐτούς. καὶ διὰ τοῦτο πολλάκις μεθοδευομένη καὶ κατανοουμένη ἄπρακτος ἀποδείκνυται :—

Ἀρκεῖ οὖν ἡ παρ᾽ ἡμῶν ὁρισθεῖσα γυμνασία ἐν τῇ περὶ αὐτῆς ἡμῖν εἰρημένῃ διατάξει ἁρμοζομένη, καὶ μηδὲ ποικίλλεσθαι ποιοῦντα τὴν πᾶσαν παράταξιν :—

Ἐὰν δὲ τύχῃ εὐκαιρία πολλὴ πρὸς μείζονα γυμνασίαν καὶ μελέτην εἰρήνης, διὰ τὰς διαφόρους μὲν τάξεις καὶ γυμνασίας τὰ μέρη ἤτοι τὰς τούρμας ἢ δρούγγους, ἢ τὰ βάνδα τῶν ὑποκειμένων καθ᾽ ἑαυτὰ ἐπιτηδεύειν· τουτέστι καὶ τὴν λεχθεῖσαν πρὸς τὸ ἐγγίδες καὶ ἄλλας ἐπιτηδεύσεις οὐκ ἀναγκαίας ἀλλ᾽ ὅσαι ἐν τῷ καιρῷ πολέμου ἁρμόζουσι :—

Ἵνα τῇ ἑκάστῃ τάξει καὶ γυμνασίᾳ γυμνάζωνται ἰδίως ἐπιτηδείᾳ, καὶ οἱ μὲν στρατιῶται τὰς διαφορὰς ἑκάστης παρατάξεως γνωρίζουσιν ἐν συνηθείᾳ τῶν κινήσεων γινόμενοι, καὶ μὴ ξενοφωνοῦσιν ὡς οὐκ εἰδότες. ὅταν ἀθρόως αὐτοῖς ἀπαγγελθῇ τις παράταξις, μὴ εἰδῶσι δὲ τὴν μέλλουσαν τάξιν ὑπὸ τοῦ στρατηγοῦ γίνεσθαι κατ᾽ αὐτὸν τὸν τοῦ πολέμου καιρόν :—

Εἰσὶν οὖν διαφοραὶ τῶν τάξεων τῶν ἐν σχήματι γινομένων ἕξ· ἡ μὲν μία ἡ λεγομένη,

ἥλιον καὶ Ῥωμαίοις λέγεσθαι συνήθως. καὶ ἐπιλύουσιν εἰς ἀσφαλείας ἔ-
χουσα τὰ τάγματα τουτέστιν οὐκ εἰς κούρσωρας ἤτοι προκλάσας, καὶ δεφένσωρας
ἤτοι σωλήκους(?) διῃρημένα· ἀλλὰ ἄγει(?) ἐπὶ μιᾶς παρατάξεως τὰ πλεῖον καὶ οὐκέ-
τι εἰς τρεῖς ἀλλὰ εἰς δύο μοίρας διαιρεῖν, ἐφ' ᾧ κινουμένων τῶν δύο κεράτων ὡς
πρὸς κύκλωσιν, καὶ πρὸς ἄλληλα ἐπικλινομένων καὶ ἐμπεριλαμβανόντων
εὐκαίρου χωρίου· τὸ μὲν δεξιὸν κέρας ἔξωθεν, τὸ δὲ ἀριστερὸν ἔσωθεν· πα-
ρερχομένου κυκλοτερῶς τὴν ἐναντίαν ἀλλήλων ἐλαύνουσιν, οὗ τρόπου ἐν τῷ
μαρτίῳ μηνὶ ποτὲ οἱ καβαλλάριοι ἔπαιζον:

Ἡ δὲ ἄλλη ἐστὶ παράταξις, ὅταν ἐπὶ μιᾶς τάξεως τάσσωνται ὑπὸ κούρσωρας
καὶ δεφένσωρας διῃρημένας· δὲ τὰς μοίρας ἀποδιαστῆναι(?) ἀπ' ἀλλήλων
ἀποδιεστώσας, καὶ ἐν τῇ κινήσει γυμνασίᾳ τῶν κουρσώρων ἐξερχομένων εἰς
καταδίωξιν. εἶτα ὑποστρεφόντων, ὅτε μὲν εἰς τὰ διαλείμματα ἤτοι εἰς τὰ εὔκαι-
ρα χωρία αὖθις ἐξηγιάζεσθαι(?), καὶ ἅμα τῶν δεφενσώρων χωρεῖν κατὰ τῶν ἐχθρῶν.
ποτὲ δὲ ὑποστρέφοντας διὰ τῶν διαστημάτων ἀπέρχεσθαι καὶ ἐπὶ τὰ ἄκρα
τοῦ μέρους φαίνεσθαι τοὺς ἐν τοῖς δύο μέρεσι κούρσωρας ἕκαστον ὡς εἴρηται:

Ἡ δὲ ἑτέρα παράταξις ἐστίν, ὅταν ἐπὶ μιᾶς παρατάξεως τάσσωνται. καὶ ἡ μὲν μέ-
ση μοῖρα εἰς δεφένσωρας γίνεται, αἱ δὲ ἑκατέρωθεν αὐτῆς μοῖραι εἰς κούρσωρας.
εἶτα τῆς γυμνασίας ὡς ἐπὶ δίωξιν γενομένης, ἡ μὲν μέση μοῖρα ἐν τάξει ἐπακολουθεῖ
ὡς δεφένσωρες· αἱ δὲ ἑκατέρωθεν μοῖραι ὡς κούρσωρες ἐξέρχονται. εἶτα ἐνθ-
ὲν ὑποστρέφει ἡ μὲν μία μοῖρα μένει ἤτοι ἐμβραδύνουσι ἔξω. ἡ δὲ ἄλλη γυμνασία
ὑποστρέφει ὡς ἐπὶ τοὺς δεφένσωρας, καὶ πάλιν κινοῦσιν τρέχουσα δι' ἑνὸς μέ-
ρους ἐπέρχεται καὶ τῷ τόπῳ τούτῳ μία τῇ ἑτέρᾳ μία μοῖρα ἀντιπερῶν(?) ἀπ' ἀλ-
λήλων διεστᾶσαι μὴ ἐγκρούωσιν ἑαυταῖς:

Ἔστι δὲ καὶ ἄλλη ὁμοιότροπος αὐτῆς εἰς τὸ ἐναντίον τασσομένη· τουτέστι τὴν μὲν
μέσην μοῖραν κούρσωρας ἔχουσα, τὰς δὲ ἑκατέρωθεν δύο μοίρας δεφένσωρας
ἐν ταῖς εἰρημέναις κινήσεσιν:

Ἡ μέντοι συνήθης Ῥωμαίοις τάξις καὶ γυμνασία, αὕτη πρὸς πᾶν ἔθνος ἐπιτηδεί-
α ἡμῖν φαίνεται. τουτέστιν ὅταν εἰς δύο τάξεις εἰς προμάχους καὶ βοηθοὺς τάσ-
σεται ὑπὸ κούρσωρας καὶ δεφένσωρας, πλαγιοφύλακάς τε καὶ ὑπερκεράστας,
καὶ ἐνέδρους καὶ νωτοφύλακας, ὡς ἐν τῷ πρώην κεφαλαίῳ μου τόπου:

Χρὴ οὖν τὰς εἰρημένας διαφορὰς τῶν παρατάξεων εἰδέναι τὸν στρατόν ἵνα
μή ποτε ἐκπλήξηται(?), ἀναγκαιοτέρα ἡ τῆς πρώτης τάξεως γυμναζομένης τῷ δ

ἑτέραν τάξιν συμφέρειν μετ' αὐτῆς, ἀλλὰ μόνον τὴν πρώτην ἄνευ πλαγιοφυλάκων καὶ ὑπερκεραστῶν δηλονότι καὶ ἐνέδρων καὶ νωτοφυλάκων, ὅτι πλέον ἡμῖν ἁπλούστερον καὶ ἀναγκαιότερον φαίνεται· ἀλλὰ τό γε αὐτὴν τὴν δευτέραν τάξιν ὀλίγους καβαλλαρίους διαστήματος ὄπισθεν ἱστᾶν, ἵνα πρὸς τὸ διάστημα ἐκεῖνο ἐκδέχωνται προσφεύγοντας οἱ τῆς πρώτης τάξεως πεζούς, ἤγουν πρὸς τὰς ὁπλίτας, ἵνα ἐκδέξηται ἡ δευτέρα οὕτως τοὺς τῆς πρώτης τάξεως καταφεύγοντας εἰς αὐτοὺς δέχεσθαι:

Δυνατὸν δὲ ἰδίως καὶ τοὺς πλαγιοφύλακας καὶ τοὺς ὑπερκεραστὰς τὴν ἰδίαν τάξιν τε καὶ γυμνασίαν πρὸ τοῦ πολέμου ποιεῖν ἵνα ἐθίζωνται ὁ στρατὸς πρὸς τὰς κινήσεις, καὶ μήπου σαλεύωνται εἰς τοὺς ἐχθροὺς αἰφνιδίους παρατάξεις. τουτέστιν ἵνα οἱ ὑπερκερασταὶ ἤγουν οἱ ἐπὶ τοῦ δεξιοῦ μέρους πρὸς τὴν κύκλωσιν τῶν πολεμίων ἐσταλμένοι, ἔστ' ἂν ὑποτάσσονται λανθανόντως ἐκ τοῦ δεξιοῦ κέρατος, ἔστε ἐκ πλαγίου παρατάσσονται ἢ συμπίπτωσι· ὅταν καιρὸς γένηται τῆς ὑπερκεράσεως ἐπὶ θάτερον κλίναντας αὐτούς, εἶτα ὅσον ἀπαιτεῖ ἴσως διάστημα περιπατοῦντας οὕτως εἰς ὀρθὸν ἀποκαθισαμένους κινεῖν ἐν τάξει, καὶ σπουδαίως τὴν ὀπισθίαν τῶν ἐναντίων τάξιν περιλαμβάνειν:

Πάλιν δὲ τοὺς πλαγιοφύλακας τοὺς κατὰ τὸ ἀριστερὸν μέρος τεταγμένους, ὁμοίως ἐπὶ τὰ εὐώνυμα κλίναντας, εἶτα ὅσον ἀπαιτεῖ ἴσως διάστημα περιπατοῦντας, οὕτως εἰς ὀρθὸν ἀποκαθίστασθαι, καὶ σπεύδειν ὡς τοῦ ἐναντίου κέρατος ὑπερκεραστὴν ἐξισοῦσθαι:

σκουλάτειον

Ταύτας δὲ τὰς διαφορὰς τῶν παρατάξεων ὑπεσημάναμέν σοι ὦ στρατηγέ, ἵνα ἐν καιρῷ εἰρήνης ἐθίζῃς καὶ ἐν αὐταῖς γυμνάζεσθαι τὸ στράτευμα, καὶ ἔχειν πλείονα ἐμπειρίαν τῆς τῶν πολέμων τακτικῆς· ὥστε καὶ ἐν οἷς πολλάκις περιστάσεσι χρεία ταῦτα εὐχερῶς ποιεῖσθαι, ὅταν οὕτως ἴσως καιρός:

Καὶ ἑτέρας δὲ διαφόρους παρατάξεις, καὶ ὅσα δέον περιέχουσιν ὑπὲρ τοῦ οἰκείου στρατοῦ καὶ κατὰ τῶν πολεμίων ὡς ἐν ἑτέροις διατάξεσιν· ὅσας ἀπὸ διαφόρων ἐθνῶν ἐκ τῆς πείρας ῥωμαῖοι ἐν γνώσει παρέλαβον ἵνα γινώσκῃς ταύτας ἐν τῷ δέοντι τῷ καιρῷ χρῆσθαι ὑπὲρ σεαυτοῦ, ἐνίοτε δὲ τῶν πολεμίων αὐταῖς χρωμένων ὑπὲρ ἑαυτῶν ἀντιμηχανᾶσθαι κατ' αὐτῶν:

Ἴσθι οὖν ὦ στρατηγέ, ὅτι οὐ μόνον σε αὐτὸς ὀφείλεις εἶναι σπουδαῖος καὶ φιλεῖν τὴν πατρίδα, καὶ ὑπὲρ τῆς ὀρθῆς τῶν χριστιανῶν πίστεως ἐθελοντής· εἰ οὕτως τύχοι ἑαυτὴν τὴν ψυχὴν τιθέναι, ἀλλὰ καὶ τοὺς ὑπὸ σὲ πάντας ἄρχοντάς τε τῶν-

στρατιωτῶν ἅπαν τὸ πλῆθος τοιούτους παρασκευάζειν γενέσθαι· ἵνα οἱ μὲν ὄντες
τοιοῦτοι, μένωσιν ἐπὶ τοῦ αὐτοῦ καλοῦ· τοὺς δὲ μὴ ὄντας ὅσον ἔχεις δυνάμεως
διὰ τῆς σῆς ἐπιμελείας καὶ σπουδῆς γυμναζομένους μὴ ἀμοιρεῖν ταύτης ἀρε-
τῆς, ἀλλ' εἶναι αὐτοὺς φιλοπάτριδας καὶ ὑπηκόους τοῖς ἄρχουσιν, ἢ δι' ἀγάπην,
ἢ διὰ φόβον :

Εἶναι δ' αὐτοὺς καὶ καρτερικοὺς πρὸς τοὺς πόνους, καὶ ὑπομένειν τοὺς ὑπὲρ τῆς
πατρίδος πολέμους :

Καὶ αὐτὸς βουλῇ καὶ στρατηγίᾳ μᾶλλον τὰ πολλὰ τῶν σπουδαζομένων κατορ-
θοῦν, καὶ τάξεως ἐπιμελοῦ ἅμα τῶν ὑπὸ σὲ στρατῶν καὶ μὴ θράσους ἐπαινετήν :

Καὶ ἐθίζεσθαι πάντες ὁμοῦ οἱ διὰ χριστὸν τὸν θεὸν ἡμῶν, καὶ ὑπὲρ συγγενῶν τε φίλων
καὶ πατρίδος καὶ τοῦ ὅλου τῶν χριστιανῶν ἔθνους ἀγωνιζόμενοι εὐκόλως ὑπο-
φέρειν καὶ δίψης ἄλλοτε καὶ δαπάνης ἔνδειαν καὶ ψύχους καὶ καύματος
ἐπιφοράν, καὶ πρὸς τὰ συμπίπτοντα ὡς εἰκὸς δεινὰ γενναίως ἐγκαρτερεῖν.
ἔστι γὰρ τῶν ὑποκειμένων μισθὸν ἐντελῆ τὸν αὐτὸν καὶ τῆς ἐξ αὐτοῦ βασιλείας
ἐπὶ τῇ ὑμῶν ἐργασίᾳ, καὶ γὰρ καὶ ἡμεῖς διὰ τῆς ὑπὲρ ὑμῶν ἐπιμόνου μερίμνης
συγκακοπαθοῦμεν ὑμῖν :

Γένοιτο δ' ἱκανὸς ἔσεσθαι ἵνα στρατηγὸς ἐν καιρῷ λυπηρὰ ἐπὶ πολὺ ταῦτα κρύπτειν
ἀπὸ τῶν πολεμίων, καὶ γενναίως ἐμμένειν καὶ καρτερεῖν ἐν ταῖς περιστάσεσι.
καὶ ταῦτα εἰς τὸ ἐναντίον ἀποδεικνύειν μᾶλλον, ἤγουν εἰς εὐθυμίαν καὶ
ἀπάθειαν :

Ἦσαν γὰρ τινὰ τῶν ἐθνῶν, οἷα τὰ περσικὰ φῦλα ποτὲ πρὸς ῥωμαίους μαχόμε-
να, ἅπερ ὅταν ἐν τοῖς δεινοῖς ἐνέπιπτε μὴ τὴν σφετέραν ἧτταν ἤγουν ἑαυτοῖς
γενέσθαι πρόδηλον θέλοντα. ἀλλὰ καὶ ταῦτα παρὰ τῶν ἐχθρῶν αὐτῶν περιστέλλεσθαι
ἐκδεχόμενα, τὸ δοκεῖν ἐν αὐτοῖς εἶναι τὴν δεινῶν καρτερίαν :

Ἵνα δὲ καὶ πάλιν τὰ πρώην εἰρημένα μερικῶς ἀνακεφαλαιούμενοι. καθο-
πλίζε τὸν στρατὸν τοῖς ὅπλοις κατὰ τὸν ἤδη σοι διορισθέντα τύπον, καὶ μάλιστα
τόξοις καὶ σαγίτταις πλείοσι· μέγα γὰρ ὅπλον καὶ δραστήριον ἡ τόξα. καὶ μά-
λιστα κατὰ τῶν σαρακηνῶν ἐθνῶν καὶ τούρκων, οἷς τὸ πᾶν τῆς νίκης ἐν ἐλπίδι τῆς
παρ' αὐτῶν τοξείας κεῖται :

Καὶ γὰρ κατά τε αὐτῶν τῶν πεζῶν γυμνουμένων ἐν τῷ βάλλειν τὰς σαγίττας, ἀλλὰ
καὶ κατὰ τῶν ἵππων τῶν καβαλλαρίων μετὰ ἰσχύος αἱ παρὰ τοῦ ἡμετέρου στρα-
τοῦ βαλλόμεναι σαγίτται, καὶ πολλὴν τὴν βλάβην τοῖς ἐχθροῖς παρέξουσι τῶν

πολυχιλίων γὰρ αὐτοῖς ἵππων διὰ τῆς συνεχοῦς τοξείας ἀφανιζομένων, καὶ ἐντεῦθεν τοῦ δι' ὀλίγου αὐτῶν εἰς πολέμους ἐξιέναι τῶν θυμουμένων Σαρακηνῶν ἀνακοπτομένου :

Οὐ γὰρ δοῦλα καὶ στρατευτὰ ἐκστρατεύουσι Σαρακηνοί, ἀλλὰ φιλοκερδείᾳ μᾶλλον καὶ ἐλευθερίᾳ, ἢ τὸ πλέον εἰπεῖν λῃστείᾳ καὶ τῆς ἑαυτῶν πίστεως· μᾶλλον δ' ἔτι πεῖν ἀπέστη ἡ δεισιδαιμονία· ὡς ἐντεῦθεν τάχα πάσχοντες παρ' ἱερῶν, καὶ θεὸν ἡγοῦνται πολέμιον ἔχειν καὶ τὴν ζημίαν ὑποφέρειν :

Καὶ ὅταν δὲ πρὸς πόλεμον κινήσῃς, ἄνευ φοσσάτου μὴ ἀπληκεύσῃς ὅλως, μάλιστα εἰ καὶ πλησίον ἢ ἐντὸς ὑπάρχεις τῶν πολεμίων· ὅταν δὲ πρὸς τὸν πόλεμον ἐπείσῃς, τάφρον ποίει, καὶ ἄλλην ἀσφάλειαν διὰ χάρακος ὡς δύνασαι ἀκριβῶς διὰ τὴν ἐκ περιστάσεως ἐν καιρῷ μάχης καταφυγήν. ὑποδείξω δέ σοι ἑτέρας καὶ τὰς ἐν μάχῃ παρατάξεων διαφορὰς ὡς ἐν ὀλίγῳ :

Ἔστι δέ γε ἄλλη τις παράταξις μάχης ἐν τρισὶ ἴσοις μέρεσι ταττομένης, ἧς καὶ ἀνωτέρω που ἐμνήσθημεν· τουτέστι μέσῳ καὶ δεξιῷ καὶ ἀριστερῷ. ἐν δὲ τῷ μέσῳ μέρει ἐχρῆν ἄξει τετρακοσίων ἢ πεντακοσίων ἀνδρῶν ἐπιλέκτων κατατίθεσθαι. τὰ δὲ βάθη τῆς τοιαύτης τάξεως οὐχ ὡρισμένῳ μέτρῳ γίνεται, ἀλλὰ μᾶλλον οἱ καβαλλάριοι ἐν ἑκάστῳ τάγματι ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ τάξει τάσσονται, καὶ τὸ μέτωπον τῆς τάξεως ἴσον καὶ πεπυκνωμένον ἐστί. τὴν δὲ ἀποσκευὴν ἐκ τῶν ὄπισθεν κινδύνου τῆς παρατάξεως ἔχειν. καὶ ἐὰν ἐν καιρῷ μάχης ὁ οὕτω παραταττόμενος ἔχει πολεμίους καβαλλαρίους, εἰς δυσχερεῖς καὶ τραχεῖς τόπους τὴν παράταξιν ὀφείλει τάττειν. καὶ τόξοις κεχρῆσθαι ἵνα τῇ δυσκολίᾳ τῶν τόπων διεσπασμένων αὐτῶν οὐκ ὀλισθήσῃ, καὶ τόξοις κεχρῆσθαι ἵνα τῇ δυσκολίᾳ τῶν τόπων δι οὐκ εὐκόλως καὶ εὐκόλως αἱ ὁρμαὶ τῶν κονταρίων κατ' αὐτῶν γίνωνται :

Καὶ ἐὰν ὁρᾷ ὁ στρατηγὸς ὅτι πρὸς ἔθνος ἐλευθερόψυχον ὀφείλει· οὐ μόνον περὶ τῆς ἡμέρας τοῦ πολέμου τὰς ὑπερθέσεις καὶ ἀναβολὰς ποιεῖσθαι τῆς μάχης· ἐὰν μάλιστα ἴδῃ ὅτι ἐθισμοί εἰσι καὶ ἀξιόμαχοι οἱ ἐναντίοι, δηλονότι ἐν δυσβάτοις τόποις ἀφόβως ἀπληκεύειν :

Ἀλλὰ καὶ μετὰ τὴν ἡμέραν τῆς μάχης ἐν καιρῷ μάλιστα θέρους καὶ περὶ τὴν θερμοτέραν ὥραν τῆς δείλης, τότε τὰς συμβολὰς ποιείτω ἵνα τῇ τοῦ ἡλίου ζέσει καὶ ἀπὸ τοῦ καιροῦ παρασυσπασθῇ τὸ θράσος· καὶ θερμότητες τῶν ἀντιταττομένων αὐτῷ παύσηται :

Ταύτην δὲ τὴν τάξιν ἣν προεγράψαμεν ἀντιτάττεσθαι ἁρμοζόντως πεζικὴ τάξις ἔστω μέχρις συντεταγμένη καὶ τόπος ὁμαλὸς καὶ γυμνὸς διὰ τὰς τῶν κονταρίων ὁρμάς. καὶ εἰ κατάξηρα καὶ ταχέως συμπλοκὴ χωρὶς ἀναβολῆς διὰ τὸ ἀχρήστους ἐκ τοῦ ὑετοῦ τὰς βολὰς τῶν σαγιττῶν γίνεσθαι, καὶ μὴ ἔχειν τὰς τόξας κωλύεια:

Ἐὰν δὲ ἐν τῇ συμπλοκῇ τῆς μάχης καὶ ὤθησις πρὸς αὐτοὺς γένηται, καὶ πρὸς σύντομον φυγὴν ὁρμήσωσι, βλάπτονται μεγάλα ἐὰν μὴ γινώσκωσι τὰς αἰφνιδίους ὑποστροφὰς κατὰ τῶν ἐπερχομένων αὐτοῖς:

Ἀλλὰ καὶ ἐπελεύσεις καὶ κυκλώσεις διὰ τῶν ὑπερκερασμῶν κατὰ τῶν πλαγίων ἢ νώτων τῆς παρατάξεως αὐτῶν γινόμεναι βλάπτουσι τὰ μάλιστα αὐτούς. δεῖ μὲν ἄρα ἔχειν ἐν τῇ παρατάξει πλαγιοφύλακας ἀξίους, μεγάλη ἐπήρεια αὐτοῖς καθίσταται:

Διὰ τοῦτο οὖν ὡς εἴρηται δεῖ ἐν ταῖς τοιαύταις μάχαις καὶ παρατάξεσι τόπους ὁμαλοὺς καὶ ἀνακεχυμένους καὶ ἴσους ἐπιλέγεσθαι μὴ ἔχοντας τέλματα ἢ ὀρύγματα ἢ θάμνους, ἵνα μὴ διασπᾶται ἡ τάξις:

Ἐκ παρασκευῆς δὲ καὶ ἐθίμου ὄντος καὶ παρατεταγμένου τοῦ στρατοῦ, μὴ ὑπερτίθεσθαι τὴν συμβολήν. ἐὰν ἄρα καὶ δόξῃ μάχην συγκροτεῖσθαι δημοσίως κατὰ τὴν ἡμέραν τοῦ πολέμου:

Τὰς δὲ συμβολὰς ἤτοι προσκρούσεις ἐν ταῖς μάχαις πρὸς τὸ μέτρον τῆς σαγίττας ἴσας καὶ πυκνὰς καθόλου καὶ συντόμους δεῖ ποιεῖσθαι, ἵνα μὴ βραδύτητα τῆς συμπλοκῆς διὰ τῆς συνεχοῦς τοξείας τῶν ἐναντίων πλείονα τὰ βέλη καὶ τοῖς στρατιώταις καὶ τοῖς ἵπποις ἐμπέσωσιν:

Ἐὰν δέ τις ἀνάγκη γένηται ἵνα ἐν δυσχερεστέρῳ τόπῳ ἡ μάχη γένηται, καλόν ἐστι τοὺς μὲν ἐν πεζικῇ τάξει καταστῆναι, τοὺς δὲ ἐπὶ τῶν ἵππων καὶ μὴ τὴν πᾶσαν πρὸς τάξιν ἐν τοιούτοις ἀνωμάλοις τόποις καβαλλαρίοις μόνον ποιοῦντα παρέλασιν:

Αἱ γὰρ τῶν κονταράτων ἐγχειρήσεις κατὰ τῶν τοξοτῶν ὡς εἴπομεν, ἐὰν μὴ ἤδη ἐκ διαστάσεως ὦσι, βλάβην πολλὴν ἐκ τῶν σαγιττῶν ἐκδέχονται, καὶ πρὸς τὴν συμβολὴν ἀνακόπτονται. διὸ καὶ ὁρμηδὸν φέρονται τοῦ τόπου ἐν ταῖς μάχαις οἱ κονταρίοις χρώμενοι:

Ἐὰν δὲ κατανοήσῃ ὁ στρατηγὸς ὅτι οὐκ ἔστιν ἀξιόμαχος ὁ στρατὸς αὐτοῦ πρὸς τοὺς ἐναντίους, οὐ δεῖ αὐτὸν πολέμοις δημοσίοις συμπλέκεσθαι, ἀλλὰ ἐφόδοις ἤγουν ἐπιθέσεσι καὶ κλοπαῖς κατὰ τῶν ἐχθρῶν κεχρῆσθαι ἀσφαλῶς καὶ συχνῶς διὰ τόπων ἐπιτηδείων εἰς τὸ μὴ δηλοῦσθαι, ἢ τοῖς ἰδίοις τὸν σκοπὸν δι' ὃν γίνεται ἡ ὑπέρθεσις τῆς δημοσίας μάχης, ἵνα μὴ ἐκ τούτου τοῖς πολεμίοις

αὐτοῦ θάρσος, τὸ δὲ λαθ' αὐτοῦ διαγένηται:

Τὰς δὲ ἐξελίξεις ἤγουν τὰς ἐπιστροφὰς καὶ ἀναστροφὰς ἐν ταῖς ὑποχωρήσεσι καὶ διώξεσι ποιεῖσθαι τῶν ἐναντίων, ἀλλὰ διὰ τῶν πλαγίων αὐτῶν ἀναστρέφειν καὶ τοὺς νώτους αὐτῶν:

πατὴρ καὶ ῥωμαίων αὐτοκράτωρ βασίλειος, τῶν ἀρχαίων ἐθῶν ἔπεισε μεταστῆναι καὶ γραικώσας καὶ ἄρχουσι κατὰ τὸν ῥωμαϊκὸν τύπον ὑποτάξας, καὶ βαπτίσματι τιμήσας. τῆς τε δουλείας ἠλευθέρωσε τῶν ἑαυτῶν ἀρχόντων καὶ στρατεύεσθαι κατὰ τῶν ῥωμαίοις πολεμούντων ἐθνῶν ἐξεπαίδευσεν. οὕτω πως ἐπιμελῶς περὶ τὰ τοιαῦτα διακείμενος. διὸ καὶ ἀμερίμνους ῥωμαίους ἐκ τῆς πολλάκις ἀπὸ σκλάβων γενομένης ἀνταρσίας ἐποίησε, πολλοὺς ὑπ' ἐκείνων ὀχλήσεις καὶ πολέμους τοῖς πάλαι χρόνοις ὑπομένοντας:

Ἦσαν δὲ οὐκ ὀλίγως ὅπως ἐπὶ τῇ φιλοξενίᾳ καταπείρως ἀγόμενα τὰ σκλάβων φῦλα, ἣν οὐδὲ νῦν καταλιπεῖν ἔοικε καίωσαι, ἀλλ' ἔχουσιν ὁμοίως:

Τοῖς γὰρ ἐπιξενουμένοις διασώζοντες καὶ κατὰ διαδοχὴν ἐκ τόπου εἰς τόπον παραπέμπουσι καὶ ἀβλαβεῖς διατηρεῖσθαι καὶ ἀδιαλείπτους δαπάνας, ἀλλήλους παρεγγυώμενοι. ὡς εἴ γε διὰ ἀμέλειαν τοῦ ὑποδεχομένου συμβαίη τὸν ξένον βλαβῆναι, πόλεμον κατ' ἐκείνου ὁ τοῦτον παραθέμενος ἐκίνει, αὐτὴν πίστεως σεβασμένας ἡγούμενος τοῦ ξένου τὴν ἐκδίκησιν:

Ἐδόκει δὲ αὐτοῖς καὶ ἑτέρου συμπαθέστεροι ποτὲ εἶναι. τοὺς γὰρ ἐν αἰχμαλωσίᾳ παρ' αὐτῶν λαμβανομένους οὐκ ἀορίστως καὶ ἕως ἂν βούλωνται πρὸς δουλείαν κατεῖχον, ἀλλὰ μᾶλλον ἐν τῇ γνώμῃ τῶν αἰχμαλώτων ἐποίουν ὁρίζοντες αὐτοῖς ῥητόν τινα τῆς δουλείας χρόνον. ἵνα μετὰ τοῦτον τὸν ῥηθέντα χρόνον ἐὰν θέλωσιν ἐν τοῖς ἰδίοις ἀναχωρῆσαι μετά τινος ὡρισμένου μισθοῦ, ἢ ἐὰν βούλωνται παρ' αὐτοῖς εἶναι μένειν ἐλευθέρους καὶ φίλους:

Ἐσωφρόνουν δὲ καὶ αἱ θήλειαι αὐτῶν μάλιστα κραταιῶς, ὥστε τὰς πολλὰς αὐτῶν τὴν τῶν ἰδίων ἀνδρῶν τελευτὴν ἰδίαν ἡγεῖσθαι καὶ ἀποπνίγειν ἑαυτὰς μὴ δυναμένας φέρειν τὴν ἐν χηρείᾳ ζωήν:

Ἐχθρὸν τὸ δὲ δαπανηκὲ χρῆμα, μάλιστα ἐφίλουν δὲ καὶ ὀλιγαρκίαν. δυσχερῶς δὲ φέροντες τοὺς ἄλλους τῆς γεωργίας πόνους διὰ τὸ ἐλευθερίαν μᾶλλον φιλεῖν αὐτὰ τὴν διαγωγὴν ποιεῖσθαι καὶ ἄπονον. ἡ ζωὴ πολ

χαὶ κόπτω πολυτελῶν βρωμάτων ἢ χρημάτων ἐπικλέπτεσθαι :

Ὁπλίζονται δὲ ποτὲ μικροῖς ἀκοντίοις, ἤτοι ἐσπλαρίοις δυσὶν ἕκαστος ἀνήρ. τινὲς δὲ σκουταρίοις μεγάλοις ἐπιτυγχάνουσι, οἷον θυρεοῖς. ἐπέχουσι δὲ τόξοις ξυλίνοις καὶ σαγίττας ἔχοντες κεχρισμένας φαρμάκῳ ὅπερ ἐστὶν ἐνεργητικόν. ἐὰν μὴ ὁ λαβὼν τὴν πληγὴν ἢ θηριακὴν πίῃ, ἢ ἕτερον βοήθημα ἀντιφάρμακον, ἢ παραυτὰ περικόψῃ τὴν πληγὴν πρὸς τὸ μὴ διασπαρῆναι. πάντως γὰρ καὶ τὸ ὅλον σῶμα ἀπόλλυται. καὶ δάσεσι καὶ δυσβάτοις τόποις οἰκοῦν ἐκ καταφά-γων φιλοῦσιν :

Ὅπως δὲ κατ' αὐτῶν ἐπιποιῶνται τὰς ἐπιδρομὰς καὶ ἐφόδους Ῥωμαῖοι, τὸ ἐκεῖ ἐπιστάμενοι ἐμπειρότατα ἐν τῇ περὶ ἀδοκήτων ἐφόδων διατάξει. ἵνα καὶ αὐτὸς ὁ στρατηγὸς εἰ καὶ μὴ κατ' αὐτῶν νῦν, ἀλλ' ἢ κατὰ τῶν ὁμοίων αὐτῶν, ἢ κατὰ ἑτέρων βαρβάρων ποιούμενος ἀδοκήτους ἐφόδους. εἰ γὰρ ἄρα ἐκ τῆς διατυπώσεως ἐκείνης ἀξιοπιστίαν ἐκείνης εὑρεθῇ, ἔχεις καὶ τοῦτο ἐξετάζειν πρὸς τὴν δέουσαν χρείαν ὡς προγεγυμνασμένον :

Ἐπὶ δὲ διαφόρων ἐθνικῶν παραλλάξεων καὶ διαθέσεων ἐμνημονεύσαμεν, φέρε λοιπὸν καὶ τὸ νῦν ἐνοχλοῦν τῇ Ῥωμαϊκῇ πολιτείᾳ ἔθνος Σαρακηνῶν ἐπισημανθῶμεν κατὰ δύναμιν, ὅπως τε ἔχουσι φύσεως καὶ ὅπως τοῖς τε ὅπλοις ἐν ταῖς στρατείαις χρῶνται καὶ τοῖς ἐπιτηδεύμασι. καὶ ὡς ἂν εἰ δέον κατ' αὐτῶν ἀνθοπλίζεσθαί τε καὶ ἀντιστρατεύεσθαι καὶ τὰς ἐκβου-λὰς ἀχρήστους ποιεῖσθαι :

Σαρακηνοὶ γοῦν ἤτοι Ἄραβες εἰσὶ τὸ γένος παρὰ τὴν εἴσοδον τῆς Εὐδαίμονος Ἀραβίας ποτὲ κείμενον, ἀπὸ χρόνων δὲ ἐπὶ τὴν Συρίαν καὶ Παλαιστίνην διασπαρέντες, τὰ λοιπὰ ὅσα μέχρι νῦν ἔχουσιν. ὕστερον δὲ ὅτε τῆς αὐτῶν δυσδαιμονίας ἀρχηγὸς ἐγένετο Μουχοῦμετ. καὶ ὅπλοις κρατοῦντες τῶν τε εἰρημένων ἐπαρχιῶν ἔτι δὲ καὶ Μεσοποταμίας καὶ Αἰγύπτου καὶ ἄλλων χωρῶν, ἀπὸ τῶν αὐτοῖς ὁ καὶ εἰς τὸ Ῥωμαϊκῆς ἀπὸ τῶν ἐρημωθέντων χώραν ἔθνος καταλαβόν :

Εἰσὶ δὲ καὶ περὶ μὲν τὸ θεῖον δοκοῦσιν εὐσεβεῖν. βλασφημίαν δὲ τὴν αὐτῶν δοκοῦσαν εὐσέβειαν ἀποδεικνύουσιν, οἷς Χριστὸν μὲν τὸν θεὸν καὶ τὸν κόσμου σωτῆρα καλεῖν θεὸν οὐκ ἀνέχονται. παντὸς δὲ κακοῦ ἔργου τὸν θεὸν εἶναι αἴτιον ὑποτίθενται, καὶ πολέμοις χαίρειν λέγουσι τὸν θεόν, τὸν διασκορπίζοντα ἔθνη τὰ τοὺς πολέμους θέλοντα, καὶ τοὺς οἰκείους δὲ νόμους ἀπαραβά-τους φυλάττουσι, τὴν σάρκα λιπαίνοντας ἐν τῇ ψυχῇ ἀκμάζοντας. τὴν οὖν

τοιαύτῃ δυσσεβείᾳ διὰ τὴν ἡμετέραν εὐσέβειάν τε καὶ ὀρθοδόξου πίστεως ἀντιμαχόμενοι, ἔτι τοὺς θείους νόμους καὶ τοὺς πολιτικοὺς πολλῷ μᾶλλον ἀπαραβάτους φυλάττουσι, καὶ αὐτὴν ἀντεστρατευόμεθα:

Προτάττουσι δὲ καμήλους τοὺς ἀχθοφόρους αὐτῶν ἀντὶ ἁμαξῶν καὶ ὑποζυγίων, ὄνοις καὶ ἡμιόνοις, καὶ κυμβάλοις καὶ τυμπάνοις ἐν ταῖς παρατάξεσιν, ἐν οἷς τοὺς οἰκείους ἵππους ἐθίζουσι· διὰ δὲ τῶν τοιούτων κτύπων καὶ ἤχων τοὺς ἵππους τῶν ἀντιπολεμούντων αὐτοῖς ταράσσοντες τρέπουσιν εἰς φυγήν· ἀλλὰ τὴν τῶν καμήλων ἰδέαν ὁμοίως τοὺς ἀσυνήθεις ἵππους ἐκφοβεῖ καὶ ταράττει, καὶ πρὸς τὸ βαίνειν οὐκ ἐᾷ:

Τὰς δὲ τοιαύτας τῶν τε καμήλων καὶ τῶν ὑποζυγίων ἀποσκευὰς καὶ τοῦ πλήθους πολλάκις φαντασίαν ἐργάζονται· μέσον γὰρ τοῦ στρατιωτικοῦ πλήθους αὐτὰς καθιστῶντες, πυκνὰ δὲ φλάμουλα ἄνωθεν αὐτῶν ἐφιστῶντες ὡς δοκεῖν στρατιωτῶν εἶναι πλῆθος τὸν σκευῶν ὄχλον:

Θερμοὶ δέ εἰσι τὴν κρᾶσιν, ἐν τοιούτῳ κλίματι θερμῷ κατοικοῦντες:

Χρῶνται δὲ καὶ πεζικῇ στρατιᾷ, Αἰθίοψί φασι γυμνοῖς ὅπλων ἔμπροσθεν τῶν καβαλλαρίων παραταττομένοις, οἵους ψιλούς· τόξα γὰρ φέροντες καὶ τούτοις χρώμενοι δεινότατοι δοκοῦσι τοῖς ἐπερχομένοις:

Τοὺς δὲ πεζοὺς αὐτῶν φέρουσιν, ἢ ἐφ' ἵππων ἰδίων ὀχουμένους, ἢ ὄπισθεν τῶν καβαλλαρίων καθημένους. ὅτε πλησίον τῆς αὐτῶν χώρας ἐστὶν ἡ ἐκστρατεία αὐτῶν. χρῶνται δὲ ὅπλοις καὶ οἱ καβαλλάριοι, τόξοις καὶ σπαθίοις, κονταρίοις καὶ σκουταρίοις καὶ πελέκεσι, καὶ πανοπλίαν γὰρ φοροῦσιν· οἷον λωρίκια, καὶ κλιβάνια, καὶ κασσίδας, καὶ ποδόψελλα, καὶ χειρόψελλα καὶ εἴ τι ἕτερον κατὰ τὸν ῥωμαϊκὸν τρόπον. τὰς δὲ ζώνας αὐτῶν καὶ τοὺς χαλινοὺς καὶ τὰ σπαθία ἀργύρῳ ποικίλλουσι φιλοκαλέστερον:

Οὔτε δὲ διώκοντες, οὔτε διωκόμενοι λύουσι τὴν τάξιν αὐτῶν. εἰ δὲ συμβῇ αὐτὴν λυθῆναι δι' ἑαυτῶν ἄστατοι καὶ ἀνεπίστροφοι γινόμενοι, μόνῳ τῷ σωθῆναι ἱκανοῦσιν:

Θρασεῖς δέ εἰσι νικᾶν ἐλπίζοντες, δειλοὶ δὲ λίαν ἀπελπίζοντες τῆς νίκης, ὡς ἀπὸ θεοῦ γὰρ τὸ πᾶν εἰς κακὸν ἐκλέγοντες εἶναι. εἰ συμβῇ αὐτοὺς ἐναντίον τι παθεῖν ὡς ἀπὸ θεοῦ ὀργιζομένου οὐκ ἀντιπίπτουσιν, ἀλλὰ τῇ προσβολῇ σφαλέντες ἀργοῦσι τὸν πόνον. ὑπνηλοὶ δέ εἰσι καὶ διαλύουσι τὰς νυκτομαχίας φοβούμενοι, καὶ τὰ ἐν αὐταῖς ἐπιτηδεύματα· μάλιστα ὅταν ἐν ἀλλοτρίᾳ ἑαυτῶν

τῇ καταστρέχουσι διὸ περὶ ὀχυροὺς τόπους ἀναχωροῦσι καὶ ἐπὶ τῆς νυκτὸς-
ποιοῦνται τὴν φυλακήν, ἢ περιφράττουσιν ἀσφαλῶς τὸ στρατόπεδον αὐτῶν
ὥστε μὴ ἐπιβουλεύεσθαι ταῖς νυκτεριναῖς τῶν ἐναντίων προσβολαῖς: -

Τετράγωνον δὲ καὶ ἐπιμήκη ποιοῦνται τὴν οἰκείαν παράταξιν, ὥστε ἀσφαλε-
στέραν καὶ ῥᾳδίως λυθῆναι μὴ δυναμένην ἐν ταῖς τῶν ἀντιπαραταττομένων
προσβολαῖς: -

Ταύτῃ δὲ χρῶνται καὶ ἐν ταῖς πορείαις καὶ ἐν ταῖς συστάσεσι τῆς μάχης. ὡς ἐπὶ
τὸ πολὺ δὲ ῥωμαίους μιμοῦνται καὶ κατὰ τὰ ἄλλα σχήματα τῶν παρατάξεων
τῇ πέρα τῶν προσβολῶν. οἷον ἐστὲ γεγυμνασμένοι, καὶ ἐξ ὧν ἔμαθον παρὰ
ῥωμαίων δρῶν κατ' αὐτῶν ἐπιτηδεύουσι: -

Ἐν δὲ ταῖς παρατάξεσιν αὐτῶν εὐμήχανοι καὶ σταθηροί· μετὰ τάχος προσ-
βολῆς πλοσόμενοι τοὺς ἐπερχομένους, ἀλλὰ διὰ προσποίησιν ἀναβολὴν -
ἐκλυόμενοι: -

Προσμένουσι δὲ τὴν παράταξιν, φέροντες τὰς βολὰς μακροθύμως πρὸς τοὺς
θρασέως αὐτοῖς ἐπερχομένοις. καὶ ὅταν τὸν τόνον χαλάσαντα ἴδωσι τὸν τῶν
πολεμίων, τότε διαναστάντες εὐτόνως μάχονται. τοῦτο δὲ ποιοῦσιν οὐ μόνον
ἐν πεζομαχίᾳ, ἀλλὰ καὶ ἐν ταῖς κατὰ θάλασσαν μάχαις ἐκ χειρὸς ἀπὸ τῶν
πλοίων μαχόμενοι. καὶ μετὰ τῶν βαλλομένων κατ' αὐτῶν ἀποπλήρωσιν,
ἀσύνολα ποιοῦντες καρτεροῦσι δεχόμενοι. εὐθέως ἀνίστανται ἀθρόοι
καὶ ἐκ χειρὸς τῆς μάχης ἀπάρχονται, πρὸς οὓς δὲ μηχανὰς τῶν προσβάλλειν
ἀθεῖ: -

Χρῶνται εὐβουλίᾳ καὶ κατασάσει πρὸς τὰς πολεμικὰς μεθόδους τῶν ἄλ-
λων ἁπάντων ἐθνῶν δοκιμώτεροι, ὡς παρὰ τῶν ὑποστρατήγων ἀεὶ πολ-
λάκις αὐτοῖς προσβαλλόντων ἐρευνήσαντες ἀνεμάθομεν. καὶ δὴ καὶ ἐκ τῶν
αἰχμαλώτων διηγησαμένων τοῖς πρὸς ἡμᾶς βασιλεῦσιν ἀνεμνήσαμεν. καὶ μά-
λιστα παρὰ τοῦ μακαρίου τοῦ πολλάκις κατ' αὐτῶν ἐκστρατεύσαντος
ὡς ἀκηκόαμεν: -

Λυπεῖ δὲ τοῦτο τὸ ἔθνος, ψῦξις καὶ χειμὼν καὶ ὑετῶν ἐπιφοραί. διὸ καὶ
ἐν τοιούτοις καιροῖς κατὰ τὰς κατ' αὐτῶν συμπλοκὰς ποιεῖσθαι μᾶλλον, ἢ
ἐν σταθμοῖς. καὶ γὰρ καὶ τὰ τόξα αὐτῶν ἀδρανῆ διὰ τὴν ὑγρότητα, καὶ τὸ ὅλον
τοῦ σώματος αὐτῶν νωθρὸν διὰ τὸ ψῦχος εὑρεθήσεται. πολλάκις γὰρ
ἐν ταῖς κατὰ τοὺς τοιούτους καιροὺς καταδρομαῖς αὐτῶν κάλλισται κατὰ

ταληφθέντες ὑπὸ ἐχθρῶν διαφθαρῶσιν :—

Χαίρουσι δὲ τοῖς νότοις καὶ ταῖς θερμοτέραις ὥραις, ὅτε συλλέγονται, καὶ μάλιστα θέρους, καὶ κατὰ τὴν Ταρσὸν τῆς Κιλικίας τοῖς ἐξωτικοῖς ἑνούμενοι τὴν ἐκστρατείαν ποιοῦνται· τοὺς δὲ ἄλλους καιροὺς μόνοι οἱ ἐκ Ταρσοῦ καὶ Ἀδάνων καὶ τῶν ἄλλων τῆς Κιλικίας πολισμάτων τὰς κατὰ Ῥωμαίων ποιοῦνται καταδρομάς :—

Χρὴ οὖν αὐτοῖς τότε προσβάλλειν, καὶ μάλιστα κατὰ τὸν χειμῶνα ἐπὶ πραῖδαν ἐξερχομένοις. τοῦτο δὲ γενήσεται ἐὰν τὰ στρατεύματα παρασκευάσαντα τὴν κατ' αὐτῶν προσβολὴν ποιήσωνται· οὕτω γὰρ διαφθείρουσιν αὐτούς, ἢ ὅταν ὁμοῦ πάντες συνέλθωσιν ἐν πολυπληθίᾳ καὶ κατὰ στάσιν πολέμου ἐξηρτισμένοι :—

Σφαλερὸν γὰρ ὡς πολλάκις ἡμῖν εἴρηται τὸ πρὸς δημόσιον πόλεμον ἀποκινδυνεύειν τινάς, κἂν πάνυ δοκῶσι τῶν ἐχθρῶν περιέσεσθαι τῷ πλήθει. τὸ γὰρ τῆς τύχης ἄδηλον :—

Συνάγονται δὲ οὐχὶ ἀπὸ καταγραφῆς στρατευόμενοι, ἀλλ' ἕκαστος γνώμῃ ἑκουσίως συνεξέρχονται πανοικί· πλούσιοι μέν, ὥστε ὑπὲρ τοῦ ἰδίου ἔθνους μισθὸν ἀποθανεῖν· πένητες δέ, ἵνα τι τῶν πραίδων κερδήσωσιν. ἀλλὰ καὶ ὅπλα αὐτοῖς οἱ συμφυλέται χορηγοῦσι καὶ γυναῖκες μάλιστα καὶ ἄνδρες ὥσπερ διὰ τοῦ κοινωνοῦντες αὐτοῖς τῆς ἐκστρατείας, καὶ μισθὸν ἡγούμενοι τὸ καθοπλίσαι στρατιώτας, οἳ ὁπλισθῆναι διὰ ἀσθένειαν σώματος μὴ δυνάμενοι. καὶ ταῦτα μὲν Σαρακηνοί, ἔθνος βάρβαρόν τε καὶ ἄπιστον :—

Ῥωμαίους δὲ χρή, οὐ μόνον ταῦτα ἐπιτηδεύειν καὶ εὐψύχους τῇ προαιρέσει καὶ στρατιώτας καὶ τοὺς οὔπω στρατευομένους συνεκστρατεύειν κατὰ τῶν βλασφημούντων τὸν πάντων βασιλέα Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ διὰ πάντων ἐνδυναμοῦν τοὺς ὑπὲρ αὐτοῦ στρατευομένους κατὰ τῶν ἐθνῶν, καὶ ὅπλοις καὶ δώροις καὶ ταῖς προπεμπτικαῖς εὐχαῖς· ἀλλὰ καὶ πλέον τι τούτων πράττειν, τὸ καὶ τοὺς οἴκους τῶν συμπροθυμίᾳ καὶ ἀνδρείᾳ στρατευομένων φιλοφρονεῖσθαι· καὶ εἴ τι ἐνδέοι τοῖς στρατεύμασιν, ἢ ἵπποι, ἢ ἀναλώματα, ἢ πανοπλίαι, καὶ ταῦτα χορηγεῖν διὰ κοινωνίας καὶ συγκροτήσεως :—

Εἰ γὰρ ὅτε γένηται πολλῷ πλέον ὑπάρχων ὁ τῶν Ῥωμαίων στρατός, καὶ καλῶς τε καὶ ὡς προσήκει καθωπλισμένοι, καὶ μάλιστα ὁπότε ἐπίλεκτοι δι' ἀνδρείαν καὶ γενναιότητα τυγχάνουσι, μηδὲν δυνάμενοι ἐν αὐτῷ ὑστερεῖν

μενοι ἑτοίμως σὺν θεῷ τὴν κατὰ τῶν βαρβάρων Σαρακηνῶν ἀναδήσονται νίκην :

Εἰ γὰρ τῇ τε ὁπλίσει καὶ μάλιστα τόξοις καὶ βέλεσι πλείοσι, καὶ δὴ καὶ τῷ πλήθει καὶ τῇ ἀνδρείᾳ καὶ τοῖς προσήκουσι στρατηγήμασί τε καὶ μηχανήμασι πλεονεκτήσομεν· Ῥωμαῖοι μάλιστα κατὰ βαρβάρων καὶ τὴν θείαν ἐπὶ πᾶσιν ἕξομεν συμμαχίαν, καὶ εὐκόλως τὴν κατ᾽ ἐκείνων κατορθώσομεν νίκην :

Τὸ δὲ γὰρ τὸ ἔθνος δειλὸν ὡς εἰκὸς ἡττωμένην πεῖραν καὶ τὸ μὴ φοβεῖσθαι κινδύνους πολέμου, εὐκόλως εἰς πολυπληθίαν συνάγεται ἀπὸ τῆς ἐντὸς Συρίας καὶ Παλαιστίνης ἁπάσης καὶ τῶν ἀνάνδρων, τάχα διὰ τὰς τοιαύτας ἐλπίδας συνερχομένων ἑκουσίως τοῖς ἐκστρατεύουσιν :

Εἰ δὲ τῆς τοῦ θεοῦ ἡμῶν συμμαχούσης βοηθείας καλῶς ὁπλισάμενοι καὶ παραταξάμενοι, καὶ καλῶς καὶ εὐψύχως προσβάλλοντες αὐτοῖς ὑπὲρ τῆς ψυχικῆς ἡμῶν σωτηρίας· ὡς καὶ ὑπὲρ θεοῦ αὐτοῦ καὶ συγγενῶν καὶ τῶν ἄλλων χριστιανῶν ἀδελφῶν ἡμῶν ἀγωνιζόμενοι, ἀνενδοιάστως τὰς εἰς θεὸν ἐλπίδας ἔχομεν· οὐκ ἀποτευξόμεθα, ἀλλὰ καὶ ἐπιτευξόμεθα τῆς κατ᾽ ἐκείνων παντελοῦς νικητηρίων :

Δεῖ δέ σε εἴποτε καὶ λῃστρικῶς καταδράμωσι τοῦ Ταύρου, ἐν τοῖς ἐπιτηδείοις αὐτοῖς καὶ ἐν ταῖς στεναῖς τοῦ ὄρους τούτου διεξόδοις· ὅταν ὑποστρέφωσι μάλιστα κεκοπωμένοι, ἴσως καὶ πραίδας τινὰς ζώων ἢ πραγμάτων ἐπιφερόμενοι· ἐπιβιβάζειν γὰρ δεῖ ἐφ᾽ ὑψηλῶν τινῶν τόπων τοξότας καὶ σφενδονήτας καὶ βάλλειν κατ᾽ αὐτῶν, καὶ οὕτως ποιεῖσθαι καὶ τὰς διὰ καβαλλαρίων προσβολάς· ἢ τῶν ἰχνευτῶν καλέσει· ἢ δι᾽ ἐγκρυμμάτων, ἢ ἐξ ἑτέρων ἐπιτηδευμάτων, ἢ πετρῶν κατὰ κρημνῶν κυλιομένων, ἢ ἀναφράκτης ὁδοῦ ἀπὸ δένδρου καὶ ἀπεξοδεύτου γινομένης, ὡς ἄνω παρ᾽ ἡμῶν εἴρηται· ἢ ὅσα δυνατόν τι ὁ στρατηγὸς κατὰ τόν τε καιρὸν τὴν τοῦ πράγματος διάθεσιν κατανοήσει :

Ἐν δὲ ταῖς παρατάξεσιν αὐτῶν ὀχλοῦσι τὴν τάξιν, καὶ τότε ἐπιθῇ αὐτοῖς ἢ δύο ἢ τρεῖς ἀγεῖς οὖν· ἢ θαρρήσωσι κινήσαντες διάξαι, ἢ δειλιάσωσι καὶ ὁρμήσωσι πρὸς φυγήν· δεόντως βαστάξαι τὴν ἔφοδον αὐτῶν πρότερον διὰ τοξοτῶν τῆς κατ᾽ αὐτῶν τοὺς ἐκ προσώπου καὶ μικρὸν ὄπισθεν ἑστῶτας βάλλοντας κατ᾽ αὐτῶν· οὕτω γὰρ τῶν ἵππων αὐτῶν τοξευομένων τῶν λεγομένων φαρίων, ἐλαυνάθροπον ἢ καὶ ἄλλων τόξων αὐτῶν διὰ τὴν τύ

μνωσιν αὐτῶν πληττομένων, ἐάν πως εἰς φυγὴν ὁρμήσωσι διώξεως ἕνεκεν, καὶ τοὺς ἵππους περισώζειν βουλόμενοι πολυτίμους ὄντας καὶ δυσκόλως ποριζομένους· καὶ διὰ τῆς τῶν ἵππων σωτηρίᾳ καὶ αὐτοὶ συμπερισωζόμενοι:

Τῶν γὰρ ἵππων ἀπολλυμένων διὰ τῶν βελῶν καὶ μάλιστα πεφαρμακωμένων, συναπόλλυνται καὶ οἱ ἐποχούμενοι αὐτοῖς, ἢ καὶ γνόντες τοῦ φαρμάκου τὴν δύναμιν ἐπὶ τὸ βληθῆναι φοβοῦνται:

Οὐ τοσοῦτον γὰρ δόξης ὀρεγόμενοι καὶ ὀνόματος ἐκστρατεύονται οἱ πλεῖστοι Σαρακηνῶν, ὅσον εὐπορείας χάριν καὶ τοῦ τῶν ἐπιληστῶν κέρδους· οὐ γὰρ γεωργεῖν οἴδασιν, ἵν' ἐντεῦθεν οἱ πένητες διαζῶσιν, ἀλλ' ἐν τῇ μαχαίρᾳ αὐτῶν καὶ μόνῃ, ἢ ζῆν, ἢ θνήσκειν ἐκ νέου παιδεύονται· ὅθεν ἡ ἅπαξ κατ' αὐτῶν νίκη πολλῶν ἐλευθεροῖ κινδύνων Ῥωμαίους· μηκέτι τολμώντων ἀπερισκέπτως ἐξέρχονται τῶν ἡττωμένων τοὺς ἐξελθόντας μὴ ὑποστρέψαντας, ἀλλὰ θρηνουμένους ὑπὸ τῶν ἰδίων:

γρ. ἐξέρχεσθαι

Δοκεῖ δὲ τοῖς Κίλιξι Σαρακηνοῖς ὅθεν ἔχουσι πεζικοὶ πρὸς ἀμφοτέρας ἐκπαιδεύοντας μάχας· πρός τε τὴν κατὰ γῆν διὰ τῆς ἐξόδου τῆς διὰ τοῦ Ταύρου ὄρους καὶ τὴν κατὰ θάλατταν διὰ τῶν παρ' αὐτοῖς πλοίων τῶν λεγομένων κουμβαρίων· καὶ ὅτε μὲν πρὸς τὴν ἤπειρον ἐκστρατεύουσι διὰ τῆς θαλάσσης ἐξέρχονται, πραίδας τε ποιοῦντες κατὰ τῶν παραθαλασσίων χωρίων, πολλάκις δὲ εἰ οὕτω τύχοι καὶ ναυμαχοῦντες· ὅτε δὲ μὴ κατὰ θάλασσαν ἐξέλθωσι διὰ τῆς ἱππικοῦ κατὰ τῶν ῥωμαϊκῶν χωρῶν ἐκστρατεύουσιν:

Χρὴ οὖν ἐπιτηδεύειν σε στρατηγέ διὰ κατασκόπων ἀληθῶν, καὶ μανθάνειν τὰ κατ' αὐτοὺς ἀκριβῶς καὶ ἑτοιμάζεσθαι σὺν τῶν ἀρκούντων στρατῶν· ἵν' ὅταν διὰ θαλάσσης ἐκστρατεύουσιν, αὐτὸς κατὰ τὴν εἰσδρομὴν ἐν τῇ ἰδίᾳ αὐτῶν προσβάλλῃς αὐτοῖς· ὅταν δὲ διὰ τῆς γῆς ἐκστρατεύειν μέλλωσι, μηνύσεως ὁ Κιβυρραιώτης τῶν πλωΐμων στρατηγός, καὶ μετὰ τῶν ἐπ' αὐτῷ δρομώνων εἰς τὰ πλεῖστα κατὰ τῶν Ταρσῶν καὶ Ἀδανῶν χωρίων ὅσα κεῖται κατὰ θάλασσαν· οὐ γὰρ πολυπληθία στρατοῦ τοῖς Κίλιξι βαρβάροις ἐστίν, ἐπεὶ γὰρ οἱ αὐτοὶ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐκστρατεύονται:

Τὸ δὲ κεφάλαιον τῆς ἐκείνων καταπλήξεως ἐστίν, ἵνα ὁμοῦ καὶ διὰ πλωΐμου στόλου τοῦ ἱκανοῦ καὶ διὰ πεζικοῦ στρατοῦ διὰ τοῦ Ταύρου ἅμα καὶ ἑτέροις συστρατηγοῖς τοῖς ἄρχουσι, ποιήσῃς τὴν κατ' αὐτῶν προσβο-

χὴν καὶ ἐπέλευσιν. καὶ οὕτω τῶν λῃστῶν ἐκείνων καταλήψει τὴν χώραν, οἷον ποτὲ ὁ ἡμέτερος μακαριώτατος πατὴρ καὶ Ῥωμαίων αὐτοκράτωρ ἐν τοῖς αὐτοῦ χρόνοις διὰ κηδεμονίας αὐτοῦ θείας πεποίηκε :

Τοὺς δὲ πλεονάζοντας τῇ μεσοποταμίᾳ Συρίας Σαρακηνοὺς διὰ τῶν ἐπιλοίπων θεμάτων καταπολεμοῦσι, οἷς καὶ κατεπάλαισε ὁ κατὰ τὸν μικρὸν παρελθόντα καιρὸν τὴν Θεοδοσιούπολιν ἐπ' ἐκείνων κατεχομένην ἀφελόμενος στρατηγός, καὶ τῇ ἡμετέρᾳ αὐτὴν ὑποτάξας βασιλείᾳ :

Ἐπειδὴ δὲ οἱ ῥωμαϊκοὶ ἵπποι ἀήθως ἔχοντες πρός τε τὰς καμήλους καὶ πολλῷ μᾶλλον πρὸς τὰ τύμπανα ἠχοῦντα καὶ τὰ κύμβαλα πτύρονται καὶ ὑποστρέφονται εἰς τὰ ὀπίσω, ὥστε καὶ εἰς φυγὴν διὰ τούτων ἔσθ' ὅπου πολλάκις ὁρμᾶν Ῥωμαίους. δεῖ ἐθίζεσθαι τοὺς τῶν στρατιωτῶν ἵππους, καὶ μάλιστα τῶν πρωτοστατῶν καὶ τῶν ἀρχόντων. εἴς τε τοὺς κτύπους τῶν τυμπάνων καὶ τῶν κυμβάλων διὰ τῆς γυμνασίας. καὶ δὴ καὶ εἰς τὸ ζῷον καμήλους καὶ μὴ ξενίζεσθαι τῇ θέᾳ αὐτῶν. εἰσὶ δὲ καὶ ἕτερα ἀπ' αὐτῆς ἐπινοῆσαι πρὸς τὰ παρόντα διασκοπούμενος :

Συνάγοντα δὲ εἰπεῖν ἅπαντα τὰ προειρημένα περὶ τῆς τακτικῆς θεωρίας ἀπ' ἀρχῆς ἄχρι τέλους· ὅτε διά τε τὰ ὅπλα καὶ τὰς ὁπλίσεις καὶ τὰς γυμνασίας καὶ τὰς παρατάξεις τὰς πολεμικάς, καὶ τὰς ἄλλας στρατηγικὰς μεθόδους. εἴρηται ἕνεκεν τοῦ Σαρακηνοῦ ἔθνους ἡμῖν, καὶ παραστῆσαι διατέτακται. τοῦτο γὰρ καὶ γινώσκων ἡ ἡμετέρα πολιτεία, οὐδὲν ἧττον τοῦ ποτὲ Περσικοῦ ἔθνους τοῖς ἀρχαίοις βασιλεῦσι τὰ νῦν ἡμῖν ἐνοχλοῦν, καὶ παραλυποῦν τοὺς ἡμετέρους ὑπηκόους τὸ καθεκάστην. οὗ χάριν καὶ τὸν παρόντα τῆς πολεμικῆς διατάξεως ἀνεδεξάμεθα πόνον. εὕρηται δὲ ἡμῖν πρὸς τοῖς εἰρημένοις καὶ ἕτερα παρατάξεως σχήματα, οἷς χρησάμενος ὁ στρατηγὸς κατὰ τοῦ τοιούτου βαρβαρικοῦ ἔθνους εὐδοκιμήσει. ἔστι δὲ ταῦτα :

Ποιήσεις παράταξιν ποικίλην ὡς ἐν τύπῳ εἰπεῖν ἀπὸ ἀνδρῶν χ̄ ἐπιλέκτων. πρώτη δὲ ἔστω παράταξις, ἡ λεγομένη πρόμαχος ἀνδρῶν :

Ταύτην εἰς τρία διαιρήσεις ἴσα μέρη, δεξιόν, ἀριστερόν, μέσον, ὥστε εἶναι καὶ ταῦτα ἀπὸ ἀνδρῶν φ̄, ἔγγιστα ἀλλήλων τῶν τριῶν τούτων ταξέων παρατεταγμένων, ὡς δοκεῖν μίαν εἶναι τὴν τάξιν. τὴν δὲ δευτέραν τάξιν ποιήσεις ἀπὸ ἀνδρῶν φ̄, ἣν δὴ τέσσαρα διαιρήσεις μέρη ἀπὸ ἑνὸς τοξοβόλου ἀλλήλων διϊστάμενα, ὥστε εἶναι ταῦτα ἀπὸ ἀνδρῶν σ̄ν̄, ὀπίσω τῆς πρώτης παρατάξεως ἱσταμένων. ὥστε εἰ τοῦτο συμβῇ τὴν πρώτην ὑποπεσεῖν τάξιν, ὑποδέχεσθαι αὐτὴν ἐν τοῖς κε

νοις αὐτὴν τῆς διαιρέσεως τόποις, καὶ οἷον μίαν σὺν αὐτοῖς γίνεσθαι παράτα-
ξιν. τὰ γὰρ μεταξὺ μέρη τῆς δευτέρας τάξεως τὰ ἀποκενὰ χωρία, ὡς ἀπὸ οἱ τῆς
πρώτης τάξεως ἤθελες συστῆναι τῇ δευτέρᾳ. ἐπὶ ταύταις δὲ ποιήσεις καὶ οὐρα-
φύλακας ἄνδρας φ, οὓς διαιρήσεις εἰς μέρη δύο κατ' οὐρὰν τοῦ δεξιοῦ καὶ ἀρι-
στεροῦ. ἵστασθαι δὲ αὐτοὺς ὄπισθεν τῆς δευτέρας παρατάξεως εἰς τὴν τάξιν ἔχον-
τας ἕκαστον μέρος ἀνὰ σν, ὥστε ἐν καιρῷ χρείας καὶ αὐτοὺς προερχομένους
δύνασθαι πρὸς βοήθειαν τῇ δευτέρᾳ παρατάξει ὑποδεχομένῃ τὴν πρώτην. ταύ-
τας μέντοι τὰς δύο τάξεις εἰ καὶ διῃρημένας διὰ τὴν χρείαν ὡρίσαμεν, ἀλλ' ὅσῳ ἡ-
νωμένας τῇ ἐπιτάξει καὶ τοῖς ὑπὲρ ἀλλήλων ἀγωνίσμασι καλοῦμεν διὰ τὸ
τοῦ σχήματος εὔθετον. ἐπὶ τούτοις στήσεις καὶ τὰ λεγόμενα κέρατα κατὰ χώραν τε
ἔμπροσθεν τῆς πρώτης τάξεως. τοὺς δὲ λεγομένους ὑπερκεραστὰς κατὰ τὸ δεξι-
ὸν μέρος, τοὺς δὲ πλαγιοφύλακας κατὰ τὸ εὐώνυμον. καὶ ταῦτα ἔστωσαν ἀπὸ ἀν-
δρῶν σ, ὥστε εἶναι ἑτοίμους εἰς τὸ κυκλῶσαι τὴν ἐπερχομένην τῶν πολεμί-
ων παράταξιν τοὺς ὑπερκεραστάς. εἰς δὲ τὸ κωλῦσαι τὴν ἀπ' ἐκείνων κατὰ τὸ σῆς
τάξεως κύκλωσιν τοὺς εὐωνύμους πλαγιοφύλακας, ἤγουν αὐτοὺς εἰς
κύκλωσιν ἑτοίμους. καὶ πρὸς τούτοις ποιήσεις ἐν ἑκατέρᾳ πλευρᾷ μακρό-
θεν τάγματα δύο ἀπὸ ἀνδρῶν σ, ὥστε εἰς ἐνέδραν γενέσθαι ἤγουν ἐγκρύμμα-
τα ἔξωθεν τῆς σῆς παρατάξεως εἰς τόπους κρυπτοὺς ἐγκαθημένους, ἢ ὄπισθεν
τῆς παρατάξεως ἑστῶτας. ἀθρόως δὲ καὶ τὸ δὴ λεγόμενον δρουγγιστὶ ἐπιτι-
θέντας καὶ κατὰ τῶν πλευρῶν τῶν πολεμίων ἐπερχομένους. ἔστωσαν δὲ καὶ ἐν
τοῖς τοιούτοις κενοῖς μέρεσι τῆς δευτέρας παρατάξεως ἀπὸ ἀνδρῶν ρ, ἤγουν ἄν-
δρες τ. ὥστε διαδιεζευγμένην εἶναι καὶ αὐτὴν τὴν τάξιν. οὗτοι δὲ εἰ ἄρα χρεία
καλέσοι ὑποχωρῆσαι τοὺς τῆς πρώτης τάξεως εἰς τὰ εἰρημένα ταῦτα κενὰ ὑποχω-
ρήσουσιν ὄπισθεν, ὅσοι δὲ καὶ ἀναστρέψουσι τοὺς ὁρμῶντας πρὸς φυγὴν καὶ ἐπιστρέ-
ψουσι πρὸς τὴν οἰκείαν αὐτῶν τάξιν, τοῖς νωτοφύλαξιν τοῖς ἅμα γινόμενοι διὰ
τῆς ὄπισθεν ὑποχωρήσεως, ὅπερ οὐ μικρὰν ῥοπὴν ποιήσει τοῖς ἀγωνιζομένοις ὠ-
φέλημον. οἱ δὲ λοιποὶ ς ἄνδρες ἔστωσαν ἅμα τῷ στρατηγῷ μετὰ τῆς ἰδίας αὐτοῦ
προελεύσεως, ἵνα ὁπόταν συμβῇ χρεία γενέσθαι βοηθῆσαι τινὶ βαρουμένῳ μέ-
ρει ἀποστελλόμενοι ἱκανὴν εὐθὺ παρέχωσιν αὐτῷ καὶ ἀναψυχὴν διὰ τῆς
αὐτῶν ἱκανότητος. καὶ οὕτως μὲν ἡ πᾶσα πρώτη καὶ δευτέρα καὶ τῶν τάξεις τῆς
παρατάξεως. καὶ δὴ καὶ οἱ πλαγιοφύλακες καὶ ὑπερκερασταὶ καὶ νωτοφύ-
λακές τε καὶ ἔνεδροι, καὶ οἱ μέσοι τῶν κενῶν τόπων, καὶ δὴ καὶ οἱ ἐν ὑποβο-

ἤτοι μετὰ τοῦ στρατηγοῦ τεταγμένοι ἐν ὅλοις, τ̄ ἄνδρας σ' πάντες ὁμοῦ τὰ τέ
δωταν· ὁ δὲ στρατηγὸς τὴν μέσην ἐχέτω τάξιν τῆς πρώτης παρατάξεως καὶ δια-
ταττέτω καὶ ὁράτω τὰ δέοντα, καὶ ταύτην ἐχέτω πρὸς βοήθειαν. εἴπου δέον
μείζονος δυνάμεως ἐκπέμπειν, ἄλλη σώζεται δὲ ἔστω τοῦ τουρμάρχου ἤτοι τοῦ
πάλαι τῷ ὑποστρατήγου, νῦν δὲ μεράρχου καλουμένου. καὶ γὰρ καθέκαστον μέ-
ρος ἔμπροσθεν τουρμάρχης ὀφείλει προΐστασθαι, καὶ ἐπὶ πάντων τοῦτο ὁ στρα-
τηγός. ἐχέτωσαν δὲ τὰ μέρη καὶ τοὺς ἰδίους δεπουτατείους, καὶ τοὺς ἐπ' ἐκείνους
κόμητας, καὶ τοὺς λοιποὺς ἄρχοντας κατ' ἀρετὴν ἕκαστοι συνεστῶτας καὶ ἰθύνον-
τας τοὺς στρατιώτας καὶ διεγείροντας πρὸς τὴν προκειμένην μάχην :-

Τὸ δὲ ποσὸν τῆς πρώτης τάξεως διαιρήσεις, καὶ τὸ μὲν αὐτοῦ ἤγουν τὸ ἕτερον μέρος
ἀφορίσεις εἰς τοὺς λεγομένους κούρσορας, ὅσους μάλιστα γινώσκεις ἀνδρείους
καὶ εὐθύμους. τὸ δὲ λοιπὸν μέρος τάξεις εἰς τοὺς λεγομένους δεφένσορας,
ἵνα οἱ μὲν ἐπὶ προδρόμου προπορευόμενοι ὡς πρόμαχοι ἐπιτίθωσι κατὰ τῶν πολεμίων.
δεφενσίβε ὄπισθεν ὁμοῦ ἀπὸ τῆς τάξεως, καὶ εἰ μὲν τρέψουσιν αὐτοὺς ἀκολουθοῦ-
σι καὶ οἱ δεφένσορες, ἤγουν οἱ βοηθοὶ καὶ ἔκδικοι μὴ λύοντες τὴν τάξιν αὐτῶν.
ἀλλ' εὐτάκτως περιπατοῦντες. εἰ δὲ βαρηθῶσιν οἱ κούρσορες ἤγουν οἱ λεγόμενοι
καὶ προκλάσαι, εἶτα ὑποστρέψουσιν ἵνα ὑποδέχωνται αὐτοὺς οἱ δεφένσορες τῆς
τάξεως καὶ ἀναστέλλωσι τοὺς πολεμίους. εἰ δέοι καὶ πλέον καὶ οἱ τῆς δευτέ-
ρας τάξεως ὑποβοηθοῦσι καὶ προσέτι οἱ νωτοφύλακες, καὶ οὕτω δέξωνται
τοὺς πολεμίους, ἐκ διαδοχῆς τὴν βοήθειαν παρὰ πολλῶν ὑποδεχόμενοι. οὐ
γὰρ μισοδοκεῖ ἐν μιᾷ μόνῃ παρατάξει ἀποκινδυνεύειν ἀσφαλές, ὅπου γὰρ πονοῦ-
σα ἡ μία, ὁμοῦ καὶ φεύγει. ἐνταῦθα δὲ εἰ καὶ ἡ πρώτη πονήσει, ἀλλ' ἡ δευτέρα
ἔσται ῥωμαλεωτέρα βοηθός. εἰ δὲ καὶ αὕτη πονέσει, ἀλλ' ἡ τρίτη ἀπαθὴς ἐπιτηδεία.
οὕτω καὶ πρὸς ἐξ ἀπαθῆς παράταξις ἡ μία τῶν πολεμίων πονοῦσα, εὐκατα-
γώνιστος γίνεται καὶ ταχέως λυθήσεται καὶ εἰς φυγὴν ὁρμήσει. συμπνεόντων δη-
λονότι κατὰ τὸ ἐνδεχόμενον καὶ τῶν πλαγιοφυλάκων καὶ τῶν ὑπερκεραστῶν :-

Μάλιστα δὲ τῶν εἰρημένων τ̄ ἀνδρῶν ἐπιλέκτων ὄντων καὶ διαφερόντων τῇ ἀνδρεί-
ᾳ καὶ τῇ περὶ τοὺς πολέμους ἀρετῇ ὑπάρχειν ὀφείλει. οὐ γὰρ πρὸς ἀνδραποδώδη στρα-
τὸν ἡμῖν πρόκειται ἡ διάταξις, ἀλλὰ πρὸς ἱκανοὺς μεταχειρίζεσθαι ὅπλα καὶ
εὐθύμως ἀγωνίζεσθαι :-

Τὰς δὲ ἀκίας τῆς τοιαύτης παρατάξεως ποιήσεις ἀπὸ ἀνδρῶν ι τὸ βάθος ἤτοι
τὸ πάχος αὐτῶν. ὥστε εἶναι καθ' ἑκάστην ἀκίαν ἄρχοντας δύο, τὸν λοχαγὸν ἤ

τοῦ δεκάρχου, ἢ πρωτοστάτην, ἢ πρόμαχον, καὶ τὸν οὐραγὸν ὅς ἐστιν ἔσχατος τοῦ στίχου καὶ καλεῖται πεντάρχης· οὓς καὶ μάλιστα ἱκανοὺς εἶναι χρὴ καὶ ἀνδρείους καὶ καταφράκτους τοῖς ἁρμόζουσιν ὅπλοις. καὶ οὕτως τοῦ βάθους τῶν ἀκιῶν τεταγμένου, τὸ δὲ μέτωπον ἐκτείνεται πρὸς πλάτος κατὰ ζυγὸν ὅθεν ἂν ἀπαιτήσῃ τάττεσθαι κατὰ πλευράν :—

Ἐπὶ δὲ τῆς νῦν ὑποθέσεως, ἵνα ἡ τάξις ἥτις καὶ εἰς τέσσαρα μέρη διαιρεθήσεται, καθ' ἕκαστον μέρος ἕξει ἀκίας λ̄. ἀνὰ ι̅ ἐχούσας τὸ βάθος κατὰ στίχον, ἀπὸ τοῦ λοχαγοῦ καὶ πρωτοστάτου ἕως τοῦ ἐσχάτου οὐραγοῦ, ὡς εἶναι τὰς ὅλας ἀκίας τῶν τεσσάρων μερῶν τῆς πρώτης τάξεως ρ̄ν. ἤτοι ἄνδρας ‚α καὶ φ̄. ἡ δὲ δευτέρα τάξις ἐχέτω διὰ τῶν τεσσάρων αὐτῆς μερῶν ἀκίας ἀνὰ εἴκοσι καὶ πέντε, τὰς πάσας ἀκίας ρ̄ ἄνδρας ‚α. οἱ δὲ πλαγιοφύλακες ἕξουσιν ἀκίας κ̄, ἄνδρας σ̄. ὁμοίως καὶ οἱ ὑπερκερασταὶ ἀκίας κ̄, ἄνδρας σ̄. πρὸς τούτοις δὲ οἱ ἔνεδροι ἤτοι τὰ ἐγκρύμματα ὄπισθεν κατόπιν τῶν δύο μερῶν τῆς παρατάξεως ἀνὰ ἀκιῶν κ̄, ἀκίας μ̄. ἀνὰ ἀνδρῶν σ̄. ὁμοῦ δὲ ἄνδρας ῡ. καὶ οἱ ἐν τοῖς κενοῖς δὲ ἑστῶτες τῆς δευτέρας παρατάξεως, οἵτινες καὶ λέγονται καὶ τοὺς φεύγοντας ἀναστέλλουσιν. ἔσονται τὰ τέσσαρα μέρη ἀπὸ ἀκιῶν ρ̄. ὁμοῦ ἀνδρῶν τ̄. καὶ οἱ ὡς στρατηγοῦ παρεστῶτες ἄνδρες ἑκατόν :—

Ἄλλαι μὲν ἓξ παρατάξεις ἐξηρημένων τῶν κουρσόρων ὑπὸ ἀκίας ταχθήσονται. τὰ δὲ λοιπὰ τάγματα, ἤτοι οἵ τε πλαγιοφύλακες καὶ ὑπερκερασταί, ἤγουν οἱ πρὸς τὴν κύκλωσιν τεταγμένοι· καὶ δὴ καὶ οἱ τῶν ἐγκρυμμάτων ἤτοι οἱ ἔνεδροι καὶ οἱ λοιποί· οὐκ ἀεὶ συντεταγμένοι στήσονται, ἀλλὰ πρὸς τὴν χρείαν· ποτὲ μὲν οὕτως, ποτὲ δὲ δρουγγιστὶ ἀπολελύσονται, ἢ ὡς ἀπαιτεῖ ἡ τοῦ πολέμου περίστασις :—

Συναχθήσονται τοίνυν ἀπὸ τῶν οὕτω τεταγμένων δ̄ χιλιάδων ἀνδρῶν οἱ πάντες ἄρχοντες κατὰ τὴν αὐτὴν τάξιν ἀπόλεκτοι ‚ατμς. οὕτως πεντάρχαι μὲν ω̄. δεκάρχαι δὲ ῡ. πεντηκοντάρχαι δὲ καὶ οἱ τριβοῦνοι λεγόμενοι π̄. κένταρχοι δὲ ἤτοι ἑκατοντάρχαι μ̄. κόμητες κ̄. δρουγγάριοι καὶ χιλίαρχοι δ̄. τουρμάρχαι β̄. ὁμοῦ δὲ ἄρχοντες μικροί μεγάλοι ‚ατμς. καὶ οὕτως μὲν ἀπὸ τοῦ ἑνὸς θέματος ἀπολεχθήσονται ἄνδρες στρατιῶται καὶ πληροῦνται τὸ λεγόμενον στρατιωτικὸν θέμα, ἤτοι δ̄ τῶν ἀριθμῶν ἀπλήκτων, καὶ ἐνόπλων καβαλλαρίων καὶ γενναίων ταῖς ἀρεταῖς. τὸ δὲ ἄλλο πλῆθος ἐκ τοῦ θέματος εἰς ἑτέρας τάξεις καὶ χρείας καταμεριζέσθω ὡς ἂν τῷ δοκῇ στρατηγῷ λυσιτελοῦν πρὸς τὸν ἑκάστοτε καιρόν :—

Καὶ ταῦτα μὲν εἴρηται. Ἐὰν ἄρα ὀλίγος ἐστὶν ὁ τῶν πολεμίων στρατὸς ὑπὲρ τὸν σόν, ἢ ἴσος· εἰ δὲ πολυπληθίᾳ πλεονεκτεῖ ὁ ἐναντίος, τότε κατὰ τὸν ὁρισθέντα τύπον τῆς προδηλωθείσης παρατάξεως, ἢ διπλώσεις τὸ στράτευμα ἀπὸ ἑτέρων θεμάτων δύο στρατηγῶν σου ὥστε γενέσθαι τὴν πᾶσαν παράταξιν χιλιάδων η΄. δηλονότι κατὰ τὸν εἰρημένον τύπον μεριζομένου τοῦ ὅλου στρατοῦ. πλὴν μόνου τοῦ ὑπὸ σὲ καθ' ἕκαστον τάγμα τῆς τάξεως προστιθεμένου. εἰ δὲ μὴ διπλασθῆναι μόνον ἀρκεῖ καὶ τριπλώσεις, συντάσσων καὶ ἑτέρους στρατηγούς, ἅμα τοῖς ἐπ' αὐτοῦ στρατιώταις οὕτως ἐπιλέκτοις καὶ καταφράκτοις ὥστε δυοκαίδεκα γενέσθαι χιλιάδας. καὶ οὕτω κατὰ τὸν εἰρημένον ἄνωθεν τύπον διαμερισθήσεται ὅλος ὁ στρατὸς τριπλουμένων δηλονότι τῶν ἐφ' ἑκάστῃ στρατιωτῶν κατὰ τὸ ἄνω προωρισμένον ποσόν:

Καὶ εἰ μὲν πρὸς ὀλίγους καὶ ἀνδρείους πολεμίους ἔχεις τὸν ἀγῶνα καὶ δοκεῖ σοι ἀσφαλέστερον, κατὰ τὸ θέμα συντάξας τρεῖς ποιήσεις παρατάξεις ἀνὰ χιλιάδων δ΄, κατὰ τὸν ῥηθέντα τύπον. ἢ καὶ πλειόνων χιλιάδων πρὸς τὸ ποσὸν τῆς τοῦ στρατοῦ εὐπορίας. καὶ τῇ μὲν μιᾷ προσβάλλεις αὐτοῖς, ἢ προσβάλλοντας ὑποδέξῃ αὐτούς. καὶ ἐπὶ ταύτῃ δυεῖν ἀκολουθουμένων, εἰ μὲν τρέψαιτο, καὶ οὕτως διώξεις ἀσφαλῶς. εἰ δὲ ἀντιστῶσι, τότε καὶ ἡ ἑτέρα ποιήσεται προσβολὴν ἐξόπισθεν αὐτῶν ἐπιθοῦσα, καὶ οὕτως κατεργασθήσονται οἱ πολέμιοι. εἰ δὲ καὶ πρὸς ταύτην ἀντισχῶσιν, ἀλλ' ἡ τρίτη ἐπιθοῦσα, ἢ ὄπισθεν ἢ ἐκ πλαγίου καὶ ἅμα ταῖς ἄλλαις κυκλώσασα τοὺς ἐναντίους, πάντως αἱρήσει αὐτούς. οὐ γὰρ αὐτάρκεις εἰσὶν οἱ πολέμιοι, κἂν ὁ τρίτος αὐτοῖς ὥσπερ ἔξωθεν ἐπίκειται:

Εἰ δὲ πρὸς πλῆθος πολεμίων διαγωνίζεσθαι μέλλεις, τὰς τρεῖς παρατάξεις τὰς ἀπὸ δ΄ χιλιάδων εἰς μίαν ὡς εἴρηται συνάξεις καὶ διπλασιάσεις τὸ ποσὸν τῆς προειρημένης συντάξεως. διαμέρισον κατὰ λόγον ὡς πρόκειται, εἴς τε πρώτην καὶ δευτέραν παράταξιν. καὶ εἰς νωτοφύλακας, καὶ εἰς πλαγιοφύλακας, καὶ εἰς ὑπερκεραστάς, καὶ εἰς ἐνέδρας ἤτοι ἐγκρύμματα, καὶ εἰς τὰ ἄλλα ὡς προείρηται δόγματα. καὶ οὕτω μετὰ συντάξεως καὶ σπουδῆς ποιήσεις τὴν προσβολὴν διὰ τῶν λεγομένων κουρσόρων, ἤτοι προμάχων τῆς πρώτης τάξεως, ἢ καὶ τῶν ὑπερκεραστῶν, ἢ ὡς ἂν ἄλλα καλεῖται. καθώς σοι καὶ ἐν τῇ περὶ τοῦ πολέμου διατάξει διωρισάμεθα. εἰ δὲ καὶ ἔτι πλείονες εἰσὶν οἱ πολέμιοι καὶ χρεία πολλοῦ πλήονος στρατοῦ, ἔστωσαν καὶ οἱ λοιποὶ τῶν ἀνατολικῶν θεμάτων στρατηγοὶ πρὸς τὴν τοιαύτην χρείαν, ὡς ἄχρι τεσσάρων χιλιάδων ὡς εἴρηται ἐφ' ἑκάστῳ θέματι δια-

τὴν νῦν ἐπικρατήσασαν τῶν στρατιωτῶν ἀγυμνασίαν καὶ ἀμέλειαν καὶ ὀλιγότηταν. καὶ οὕτω πάντες πλῆθος δοκίμων στρατιωτῶν συλλέξουσι, καὶ παραστήσουσιν ἅμα τοὺς κατὰ τῶν πολεμίων· ὥστε καὶ ὑπὲρ τὰς χιλιάδας καταστῆναι τοὺς ὀφείλοντας ἀνδρείως καὶ ἐντέχνως ἐκστρατεύειν κατὰ τῶν ἐχθρῶν :-

Καὶ ταῦτα μὲν διειλάμεθα τῇ ὑμῶν ἐνδοξότητι· τὰ μὲν οὐδὲ καινότητι παράδοξαν ἔχοντα, ἀλλ' ἐκ τῶν ὡς εἴρηται τοῖς παλαιοτέροις ἐντυχόντες ἠθροίσαμεν, καὶ μετὰ τὴν πεῖραν ἐκεῖθεν συλλέξαντες· συμφώνως ἐκείνοις διεταξάμεθα, καὶ ἕτερα δὲ πλεῖστα τοιουτότροπα δι' ἡμῶν ἐφευρέθη ἐντεῦθεν λαμβανόντων τὰς ἀφορμάς, ἅπερ ὡς εἴρηται· οὔτε γράφειν καθ' ἓν δυνατόν, οὔτε τὸ παρὸν σύνταγμα διὰ τὴν συντομίαν ἐπιδέξασθαι ἁρμόδιον· ἐξὸν δέ σοι φιλοπονοῦντι, καὶ τὰ πλάτη τῶν τακτικῶν ἐμμελετῶντι· καὶ τοιαῦτα καὶ τούτων ἔτι δραστικώτερα καὶ προσεπινοῆσαι καὶ διαπράξασθαι, θεὸν ἔχοντι βοηθόν. διὰ τῆς εἰς αὐτὸν πίστεως καὶ εἰς τὴν ἡμετέραν βασιλείαν ἀγάπης ἐκ διαθέσεως.

## Διάταξις ιϛʹ.

## Περὶ ναυμαχίας :-

Ἐφεξῆς βουλόμεθα ἤδη καὶ περὶ ναυμαχίας διαταξόμεθα· οὐδὲν μὲν ἐν τοῖς παλαιοῖς τακτικοῖς περὶ αὐτῆς κεκανονισμένον εὑρόντες. ἐξ ὧν δὲ σποράδην ἀνέγνωμεν, καὶ διὰ μελέτας πείρας τοῦ νῦν καιροῦ παρὰ τῶν πλωΐμων στρατηγῶν ἡμῶν ἀνεμάθομεν. τὰ μὲν πεποιηκότων, τὰ δὲ πεπονθότων ἀναλεξάμενοι· μικρά τινα καὶ ὅσον ἔμφασιν δοῦναι τοῖς καὶ ἐπὶ θαλάσσης μάχεσθαι διὰ τῶν πολεμουμένων τριήρων, νῦν δὲ δρομώνων καλουμένων μέλλουσιν ἐν ὀλίγοις διατιθέμεθα :-

Πρῶτον μὲν οὖν τῆς ναυτικῆς δυνάμεως ὁ στρατηγὸς ἤδη γὰρ καὶ πρὸς σὲ τὸν λόγον δεῖ ποιήσασθαι τῆς ναυμαχικῆς ἐμπειρίας καὶ τάξεως ἐπιστήμονά σε χρεὼν εἶναι, καὶ τὰς τῶν ἀέρων καὶ τῶν πνευμάτων κινήσεις προσκοπεῖν καὶ προειδέναι διὰ τῶν

τῶν φαινομένων ἄστρων καὶ τῶν ἀέρος σημείων πεῖραν, καὶ τῶν καθ' ἥλιόν τε καὶ σελήνην γινομένων σημασιῶν· καὶ τὸ καὶ τῆς τῶν καιρῶν ἐναλλαγῆς τὴν ἀκριβεστάτην ἐπίγνωσιν, ὥστε ἔχων περὶ ταῦτα ἔμπειρος, ἀσφαλῶς καὶ ἀκινδύνως ἀπὸ τῶν τῆς θαλάσσης διαφυλάττειν χειμώνων :

Κατασκευαζέσθωσαν δὲ καὶ δρόμωνας δι' ἁρμόζοντας πρὸς ναυμαχίαν κατὰ τῶν ἀντιστρατευομένων πλοΐμων πολεμίων, καὶ πρὸς τὴν ἐκείνων διάθεσίν τε καὶ κατάστασιν, καὶ τῶν σὺν τοῖς ἐκείνοις ἀντιμάχεσθαι :

Ἡ δὲ τῶν δρομώνων κατασκευὴ μήτε ἄγαν ἔστω παχεῖα ἵνα μὴ ἀργοὶ γένωνται ἐν ταῖς ἐλασίαις, μήτε λίαν εἰς λεπτότητα ἐξειργασμένη, ἵνα μὴ ἀσθενὴς οὖσα καὶ σαθρά, ἐλαφρῶς ὑπὸ τῶν κυμάτων καὶ τῆς τῶν ἐναντίων συνταράξεώς τε καὶ κρούσεως διαλύηται· ἀλλὰ σύμμετρον ἐχέτω τὴν ἐργασίαν ὁ δρόμων, ἵνα καὶ ἐλαυνόμενος μὴ λίαν ἀργὸς ἔστι καὶ κλυδωνιζόμενος, ἢ παρὰ τῶν ἐχθρῶν συγκρουόμενος ἰσχυρότερος διαμένῃ καὶ ἄρρηκτος :

Ἐχέτω δὲ καὶ πάντα τὰ πρὸς ἐξάρτισιν δεόμενος ἀπαραλείπτως καὶ διπλᾶ, οἷον αὐχένας, κώπας, σκαρμούς, σχοινία, κατάρτια, καὶ τὰ ἄρμενα δὲ αὐτῶν καὶ κεραταρία, καὶ καταρτία, καὶ ὅσα τὰ ἄλλα ἡ ναυτικὴ τέχνη πρὸς χρείαν ἀπαιτεῖ. Ἐχέτω δὲ καὶ ἐκ περισσοῦ ξύλα τινὰ εἰκαῖα, καὶ σανίδας, καὶ στυππία, καὶ πίσσαν, καὶ ὑγρόπισσον, καὶ ναυπηγὸν μετὰ πάντων ἐργαλείων αὐτοῦ, ἕνα τῶν ἐλατῶν· οἷον σκεπάρνου, τερέτρου, πρίονος καὶ τῶν ὁμοίων :

Ἐχέτω δὲ πάντως τὸν σίφωνα κατὰ τὴν πρῷραν ἔμπροσθεν χαλκῷ ἠμφιεσμένον ὡς ἔθος, δι' οὗ τὸ ἐσκευασμένον πῦρ κατὰ τῶν ἐναντίων ἀκοντίσει. Καὶ ἄνωθεν δὲ τοῦ τοιούτου σίφωνος ψευδοπάτιον ἀπὸ σανίδων καὶ αὐτὸ περιτετειχισμένον σανίσιν. ἐφ' οὗ στήσονται ἄνδρες πολεμισταὶ τοῖς ἐπερχομένοις ἀπὸ τῆς πρώρας τῶν πολεμίων ἀντιπαραταξόμενοι, ἢ κατὰ τῆς πολεμίας νεὼς ὅλης βάλλοντες δι' οἵου ἂν ἐπινοήσωσιν ὅπλου :

Ἀλλὰ καὶ τὰ λεγόμενα ξυλόκαστρα, περὶ τὸ μέσον που τοῦ καταρτίου ἐν τοῖς μεγίστοις δρόμωσιν ἐπιστήσουσι περιτετειχισμένα σανίσιν. ἐξ ὧν ἄνδρες τινὲς τὸ μέσον τῆς πολεμίας νηὸς ἀκοντίσουσιν, ἢ λίθους μυλικούς, ἢ σίδηρα βαρέα, οἷον μάτζας ξιφοειδεῖς, δι' ὧν ἢ τὴν ναῦν διαθρύψουσιν, ἢ τοὺς ὑποκειμένους συνθλάσουσι σφοδρῶς καταφερόμενα, ἢ τι ἕτερον ἐπιχεύσουσιν ἐμπρῆσαι δυνάμενον τὴν ναῦν τῶν ἐναντίων, ἢ τοὺς ἐν αὐτῇ πολεμίους θανατῶσαι. ἕκαστον δὲ τῶν δρομώνων εὐμήκης ἔστω καὶ σύμμετρον ἔχων τὰς

λεγομένας ἐλασίας δύο, τήν τε κάτω καὶ τὴν ἄνω:

Ἑκάστη δὲ ἐλασία ἐχέτω ζυγοὺς τὸ ἐλάχιστον κε΄ ἐν οἷς οἱ κωπηλάται καθεσθήσονται· ὡς εἶναι ζυγοὺς τοὺς ἅπαντας, κάτωθεν κε΄, ἄνω δὲ ὁμοίως κε΄ καὶ ε΄, ὁμοῦ πεντήκοντα. καθ' ἕνα δὲ αὐτῶν δύο καθεζέσθωσαν οἱ κωπηλατοῦντες εἷς τῇ δεξιᾷ εἷς δὲ ἀριστερᾷ· ὡς εἶναι τοὺς ἅπαντας κωπηλάτας ὁμοῦ, ἐν τοῖς αὐτοῖς στρατιώτας, τούς τε ἄνω καὶ τοὺς κάτω ἄνδρας ρ΄. ἔξω δὲ τούτων τὸν κένταρχον τοῦ δρόμωνος, καὶ τὸν τὸ φλάμουλον κατέχοντα, καὶ τοὺς δύο κυβερνήτας τοὺς τοῦ δρόμωνος αὐχένας, οὓς καλοῦσι καὶ πρωτοκαράβους, καὶ ἕνα ἕτερον δὲ εἰς τὴν τοῦ κεντάρχου ὑπηρεσίαν. τῶν δὲ πρωρέων ἔσχατοι οἱ κωπηλάται οἱ δύο. ὁ μὲν ἔσω σιφωνάτωρ, ὁ δὲ ἕτερος ἀγκύρας βάλλων κατὰ θάλασσαν. ἔστω δὲ καὶ ὁ πρωρεὺς ἄνωθεν τῆς πρώρας καθήμενος ἔνοπλος. καὶ ὁ τοῦ ναυάρχου δὲ ἤτοι τοῦ κεντάρχου κράββατος ἐπὶ τῆς πρύμνης γινέσθω, ὅπως τὸ ἀφωρισμένον δεικνύῃ τὸν ἄρχοντα, ὅπως δὲ καὶ φυλάττῃ ἐν καιρῷ συμβολῆς ἀπὸ τῶν ἐπιφερομένων βελῶν παρὰ τῶν ἐναντίων. ἔνθεν καὶ τὰ ἕκαστα βλέπων πρὸς τὴν χρείαν ἀλέσθαι ἥκει ὁ ἄρχων τοῦ δρόμωνος:

Καὶ ἕτεροι δὲ δρόμωνες κατασκευαζέσθωσαν μείζονες, ἀπὸ σ΄ χωροῦντες ἀνδρῶν, ἢ πλέω τούτων, ἢ ἥττω, κατὰ τὴν χρείαν τὴν δέουσαν ἐπὶ καιροῦ κατὰ τῶν ἐναντίων· ὧν οἱ μὲν ν΄ τὴν κάτω ἐλασίαν ὑπουργήσουσιν, οἱ δὲ ρν΄ ἄνω ἑστῶτες ἅπαντες ἔνοπλοι μαχέσονται τοῖς πολεμίοις:

Καὶ ἑτέρους δὲ κατασκεύαζε δρόμωνας ἥττους δρομικωτάτους, οἷον γαλαίας, ἢ μονήρεις λεγομένους ταχινοὺς καὶ ἐλαφρὰς ὡς ἐπιτηδείους πρὸς τὰς βίγλας καὶ τὰς ἄλλας ταχείας χρείας:

Καὶ ἑτέρας δὲ ναῦς ποίησαι φορτηγοὺς καὶ ἱππαγωγούς, οἷον τοῦλδον, ἵν' αἵ τινες τὴν ἀποσκευὴν ἅπασαν τῶν στρατιωτῶν βαστάζουσιν, ἵνα μὴ δι' αὐτὴν βαρῶνται οἱ δρόμωνες, καὶ μάλιστα ἐν τῷ τῆς καιρῷ, ὅτε δὲ χρεία μικρᾶς δαπάνης ἢ ὅπλων ἢ ἄλλου τινός, ἐκεῖθεν ἀναλαμβάνωσι τὰς διοικήσεις:

Τοῦ δὲ τῶν δρομώνων ἀριθμοῦ καὶ τῶν ἐν αὐτοῖς στρατιωτῶν αὐτάρκους ἐστὶ καὶ ἄδηλον διορίσασθαι· ἰστέον ὅτι πρὸς τὸν καιρὸν χρεία πρὸς τὴν τῶν ἀντιπαραταχθησομένων πολεμίων δύναμιν, ὅσον ἀπαιτήσει, τὸ πλῆθος τῶν δρομώνων. καὶ πάλιν τὸν ἀριθμὸν τοῦ ἐν αὐτοῖς λαοῦ κατὰ τὸ μέγεθος τῶν πλοίων καὶ τὴν δέουσαν ἐν αὐτοῖς πολεμικὴν ὅπλισιν οὕτω ποιήσεις:

Προσέτι δὲ καὶ τὰ σκευοφόρα καὶ ἱππαγωγὰ πλοῖα τοὺς ἐν αὐτοῖς ἀρκοῦντ

ἔχουσιν αὐτάς. οὐ γὰρ αὐτοὺς ἀνόπλους, ἀλλὰ καὶ τόξα ἔχοντας καὶ σαγίττας, καὶ ῥικτάρια, καὶ εἴ τι χρειῶδες πρὸς πόλεμον ἐστὶ διὰ τὰς ἀναγκαίας περιστάσεις. ἐπιφέρεσθαι γὰρ καὶ περισσὰ ὅπλα. πολλάκις γὰρ καὶ λιπόντων ὅπλων ἐνδεεῖς οἱ στρατιῶται ποιοῦνται. τὰ δὲ τοιαῦτα πλοῖα καὶ ἅρματα ἐχέτωσαν καὶ μάγγανα, καὶ τὰ ἄλλα ὅπλα πρὸς χρείαν ἂν τύχοι, μή ποτε ἐπιλείπουσι διὰ τὸ ὀλιγοῦσθαι αὐτὰ ἐν ταῖς μάχαις :—

Ἕκαστος δὲ τῶν στρατιωτῶν ἤγουν τῶν ἀνδρῶν καθ' ὅσον ἂν εἰσὶν ἀπὸ τοῦ κεντάρχου καὶ ἐφεξῆς ἕως τοῦ ἐσχάτου κατάφρακτοι ἔστωσαν, ὅπλα ἔχοντες. οἷον σκουτάρια, μέναυλα, τόξα, σαγίττας ἐκ περισσοῦ, σπαθία, ῥικτάρια, λωρίκια, κλιβάνια, εἰ καὶ μὴ ὄπισθεν κασσίδας, χειρόψελλα. καὶ μάλιστα οἱ ἔμπροσθεν ἐν τῇ προσβολῇ τῆς μάχης κατὰ χεῖρας συμπλεκόμενοι καὶ ἀγωνιζόμενοι. οἱ δὲ μὴ ἔχοντες λωρίκια ἢ κλιβάνια πάντως φορείτωσαν τὰ λεγόμενα νευρικά, ἅπερ ἀπὸ διπλῶν κεντούκλων γίνεται. καὶ οὗτοι ὄπισθεν τῶν ἄλλων σκεπόμενοι τόξοις χρήσωνται, καὶ λίθους δὲ χειροπληθεῖς πλείστους ἐχέτωσαν, ἤτοι κόχλακας ἐν τοῖς δεξιωνίοις οὕσπερ κατὰ τῶν πολεμίων βάλλουσιν. οὐδὲν ἧττον τῶν ἄλλων ὅπλων ἀνύουσιν. ὅπλα γὰρ εἰσὶν οἱ λίθοι εὐπόριστα καὶ ἀνέλλιπτα :—

Μὴ μέντοι οὕτω βαλλέτωσαν τοὺς λίθους μόνον ὥστε τὴν ἀκμὴν τῆς αὐτῶν δυνάμεως ἐν τούτοις ἐκδαπανῆσαι καὶ στῆναι τὸ λοιπόν, ἢ καὶ τὰ ὅπλα καταβαλλόμενα ἀποκενῶσαι, μή ποτε οἱ ἐναντίοι ζέοντα ποιήσωσι, καὶ τὰς βολὰς ὑπομείνωσι δεξάμενοι. εἶτα τῶν τόξων πληρωθέντων καὶ τῶν βαλλόντων ἀποκαμόντων ἀθρόοι ἀναστάντες ἀπάρξωνται ταῖς σπάθαις καὶ τοῖς μεναύλοις ἀμύνασθαι. καὶ ὥσπερ ἀκμαιότεροι τῇ ἀθρόᾳ κινήσει ἀναφανέντες, καὶ τοῖς κεκμηκόσι στρατιώταις ἐπελθόντες ἰσχυρότεροι γένωνται, καὶ ἐνδόξως αὐτοὺς καταπολεμήσουσι. φιλεῖ γὰρ τὰ τοιαῦτα τὸ βάρβαρον :—

Ὑπομένουσι γὰρ Σαρακηνοὶ τὴν βίαν τῆς προσβολῆς, καὶ ὅταν ἀποκαμόντας ἴδωσι καὶ τῶν ὅπλων κενωθέντας, ἢ σαγιττῶν, ἢ λίθων, ἢ τινῶν ἑτέρων, τότε ἀναπηδῶντες ὁμοῦ τε καταπλήττουσι, καὶ ταῖς ἐκ χειρὸς ἀπὸ σπαθίων καὶ μεναύλων συμπλοκαῖς εὐρώστως, καὶ ἀκμαιότερον ἐπέρχονται :—

Διὸ φυλάττεσθαι χρὴ τὰ τοιαῦτα, καὶ μετὰ τοῦ δέοντος σκοποῦ ποιεῖσθαι τὴν προσβολήν, ἵνα μᾶλλον οἱ πολέμιοι πάθωσι τὰ πρὸς βλάβην γινόμενα, ἢ οἱ ἡμέτεροι στρατιῶται. δεῖ γὰρ αὐτοὺς τὴν οἰκείαν ἀκμὴν καὶ τὰς βολὰς φυλάττειν ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς μάχης, καὶ μετρεῖν τὴν τῶν ἐναντίων διάθεσιν

καὶ οὕτως τὴν μάχην διασκευάζειν :-

Πρὸς τούτοις φροντίσεις τοῦ στρατοῦ καὶ τῆς δεούσης τῶν στρατιωτῶν δαπάνης, ὥστε ἔχειν αὐτοὺς τὰ ἀναγκαῖα ἵνα μὴ τούτων λειπόμενοι, ἢ στασιάσωσιν, ἢ ἐν ταῖς ἰδίαις χώραις ὄντες τοὺς συντελεστὰς καὶ ὑπηκόους λῃστῶν τυραννήσωσιν καὶ ἀδικήσωσιν ὑπὸ τῆς δαπάνης τῶν ἀναγκαίων συνελαυνόμενοι. ἀλλ' εἴ γε δυνατὸν ἐν τάχει τὴν πολεμίαν καταλάβῃς γῆν, καὶ ἐξ αὐτῆς ἅπαντα τὰ ἐπιτήδεια ποιήσῃς :-

Παραγγέλλε δὲ καὶ τοῖς ἄρχουσι μηδένα τῶν ὑπ' αὐτοὺς στρατιωτῶν ἀδικεῖν, ἢ τὸ οἱονοῦν δῶρον παρ' αὐτῶν λαμβάνειν, ἢ τὰς λεγομένας συνηθείας. περὶ γὰρ τῆς σῆς ἐνδοξότητος τί χρὴ λέγειν, ὡς οὐδὲ ἐνθυμηθῆναι τὸ τοιοῦτον δεῖ· μή τί γε διαπράξασθαι, μήτε δῶρον τὸ οἱονδήποτε ἀπὸ μικροῦ ἢ μεγάλου ἀνδρὸς τῶν ὑπὸ σὲ ἡγουμένων λαμβάνειν τὸ σύνολον :-

Τοὺς δὲ στρατιώτας ἀνδρείους ἐπιλέγου καὶ ῥωμαλέους καὶ εὐπροθύμους, καὶ μάλιστα τοὺς εἰς τὰ ἄνω τοῦ δρόμωνος τεταγμένους, οἵτινες ἐκ τοῦ ἀπὸ χειρὸς τοῖς πολεμίοις συμπλέκονται. εἰ δέ τινας τῶν στρατιωτῶν ἀνάνδρους ἐπιγνῷς, τούτους εἰς τὴν κάτω ἐλασίαν τέως παράπεμπε. καὶ εἴ ποτέ τις πληγῇ, ἢ πέσῃ τῶν στρατιωτῶν, τὸν ἐκείνου τόπον ἐκ τῶν κάτω ἐξ ἀνάγκης ἀναπληρώσεις :-

Χρὴ γάρ σε πάντως εἰδέναι τὴν ἑκάστου τῶν ὑπὸ σὲ στρατιωτῶν ἕξιν ἢ διάθεσιν, καὶ τὴν ἄλλην πρὸς ἀνδρείαν ποιότητα. ὥσπερ οἱ κυνηγέται τῶν κυνῶν ἑκάστου τὰς ἐπιτηδειότητας ἐπιγινώσκοντες ἔχουσιν εὐκαίρως αὐτοὺς πρὸς ὃ βούλονται :-

Οὕτως οὖν διαθήσεις ἕκαστα κατὰ τὴν ἰδίαν ἁρμόζοντα πρὸς τὴν προκειμένην ἐκστρατείαν. τούς τε δρόμωνας καὶ τοὺς ἐν αὐτοῖς στρατιώτας. τά τε ὅπλα καὶ τὰς δαπάνας καὶ τὴν ἄλλην ἐν ἑτέροις πλοίοις ἀποσκευήν. ἤγουν οἷον τοῦλδον ἐν ἀσφαλέσι τόποις σε χρὴ καθιστᾶν, ὅταν καιρὸς ἐπίκειται τῆς μάχης :-

Καὶ προσέτι δεῖ γε τοιαῦτα χελάνδια, ὥστε καὶ ἵππους ἐν τοῖς ἱππαγωγοῖς πλοίοις πρὸς ἐπιρριφὴν κατὰ τῆς πολεμίας ἔχειν τινῶν καβαλλαρίων. καὶ ἁπλῶς πάντα ἐξαρτίσας ὁδοιπορήσεις δεόντως :-

Καὶ πρὸ τοῦ γε τοῦ ἀποκινῆσαι, ἁγιασθήτωσαν ἅπαντα τὰ φλάμουλα τῶν δρομώνων ἑκάστου διὰ τῆς τῶν ἱερέων ἱερουργίας, καὶ εὐχῆς ἐκτενοῦς πρὸς τὸν τῶν ὅλων Θεὸν ὑπὲρ εὐοδώσεως τοῦ στρατοῦ κατὰ τῶν πολεμίων. ἔπειτα καὶ διαλαλήσεις πρὸς ἅπαντα τὸν λαὸν καὶ πρὸς τοὺς ἄρχοντας ἰδίως τὰ δέοντα καὶ ἁρμόζοντα τῷ καιρῷ. καὶ οὕτως προθυμοποιήσας τὸν στρατὸν ἀποκινήσεις, αἰσίου πνεύματος συμπνέοντος τοῦ γε μὴ ἐναντίου :-

Οὐχ ὡς ἔτυχε πάντων τῶν δρομώνων πορευομένων, ἀλλ' ἐπιστάτας αὐτοῖς ἄρχοντας, ἢ κατὰ ε΄, ἢ κατὰ γ΄ δρόμωνας ἕνα τὸν λεγόμενον κόμητα, ὅστις ναύαρχός τε καὶ ἡγεμὼν τῶν ὑπ' αὐτὸν δρομώνων ὑπάρχων. Φροντίσει προσέχειν περὶ πάντων εὐκόλως καὶ διατάξει προσεκτέον περὶ πάντων πρὸς ἕκαστα:

Οἱ δὲ εἰρημένοι ἄρχοντες ὑπὸ σὲ τελοῦντες, ἀπὸ σοῦ καὶ τὰ παραγγέλματα δέξονται, καὶ τοῖς ὑπ' αὐτοὺς μεταδώσουσι. καὶ ταῦτα μὲν ἐπὶ τοῦ βασιλικοῦ λεγομένου πλωΐμου. ἐπὶ δὲ τῶν θεματικῶν δρομώνων, καὶ δρουγγάριοι ἐπιστήσονται, καὶ τουρμάρχαι, καὶ αὐτοὶ τῷ στρατηγῷ ὑποταγήσονται καὶ τοῖς ἐκείνου παραγγέλμασιν εἴξουσιν:

Οὐκ ἄτοπον δὲ εἰπεῖν κατὰ τὴν ὁμοίωσιν τοῦ βασιλικοῦ πλωΐμου, καὶ οἱ τῶν ἄλλων θεμάτων πλωΐμων στρατηγοὶ δρουγγάριοι ἐκαλοῦντο ποτὲ τοῖς ἄνω χρόνοις, καὶ οἱ ὑπ' αὐτοὺς κόμητες μόνον καὶ κένταρχοι. ἀλλὰ νῦν εἰς στρατηγίδα ἡ ἑκάστου τῶν δρουγγαρείων ἀρχὴ ἀναβέβηκε, καὶ οὕτω κοσμουμένη ταῖς στρατηγικαῖς καταμερίζεται τάξεσιν:

Γυμνάσεις δὲ διαφόρως, τούς τε πλωΐμους στρατιώτας καὶ αὐτοὺς τοὺς δρόμωνας· ποτὲ μὲν καθ' ἕνα ἕκαστον ἄνδρα, ποτὲ δὲ καὶ κατὰ πλείους· ὥστε αὐτοὺς ἀλλήλων ἐπέρχεσθαι σπαθίοις καὶ σκουταρίοις χρωμένους. καὶ αὐτοὺς δὲ ὅλους δρόμωνας κατ' ἀλλήλων ὡς ἐπὶ παρατάξεως ἐπερχομένους, καὶ ποτὲ διώκοντας, ποτὲ δὲ ἀπολύοντας, καὶ διαφόρως κατ' ἀλλήλων προσβάλλοντας· ποτὲ δὲ καὶ ἀκοντίοις ἀθροοῦντας τὰ πλοῖα τῶν ἐναντίων ὥστε μὴ πλησιάζοντας διώκειν· οὐ γὰρ ἀεὶ τὸ διὰ καμάκου σιδηρᾶ διώκειν ἀλλήλους τοὺς ἀντιπολεμοῦντας χρησίμως διὰ τοὺς ἀφύκτους ἀναγκαιοῦσι κινδύνους:

Καὶ ἑτέρως δὲ γυμναζέσθωσαν, ὥστ' ἐν ἐπιβάλλῃ ἡ σὴ ἐνδοξότης τὰς κατὰ τῶν ἀντιπάλων ἐνδεχομένας ἐπινοίας. ὥστε ἐλεύθερον ἐθίζονται πρὸς τοὺς κτύπους καὶ τὰς βοὰς, καὶ τὴν ἄλλην κίνησιν τοῦ πολέμου καὶ μὴ θροοῦνται ὡς ἀγύμναστοι καὶ ἀθεώρως ~~ἐπὶ δόξαν~~ καὶ παράδοξα ἐπὶ ταῦτα ἐρχόμενοι:

Οὕτως οὖν γυμνασθέντες, πλεύσουσι σὺν τάξει φυλαττόμενοι τὸ τοῦ ἐφόδου ἀλλήλοις μὴ ἐμποδίζειν ἐν ταῖς ἡσυχίαις καὶ ἐν ταῖς ὥσπερ κατὰ θάλασσαν ὑπὸ τῶν ἀνέμων βίαις· ἀλλ' οἷον τις παράταξις γεγυμνασμένη οὕτω πορευέσθωσαν, καὶ ἐν ταῖς ὁρμήσεσι τῶν ἀπλήκτων ὡσαύτως τῶν κα

τὸν πλοῦν ποιεῖσθαι. καὶ καταλέγειν ἐνόρμως ἐξορμοῦντα πρὸς τὴν ξηράν, ἢ εἰς λιμένα παύλας, ἢ εἰς ὑφόρμου τόπον ἐν ᾧ χάλη κυμαίνουσι κλυδωνίζεσθαι :-

Δεῖ δέ σε καὶ τὰς τῶν ἀνέμων τὴν ἐπιφορὰν προγινώσκειν διὰ τῶν σημείων τοῦ καιροῦ. καὶ πρὸς ταύτης τοὺς τόπους τῆς ὁρμοσίας ἐκλέξασθαι. καὶ ἐὰν μέλλῃς κατεπείγει ἀνάγκη μὴ ἀνοῦ πνεύματος αἰσίου καὶ γαληνοῦ καὶ ἀσφαλοῦς ἐλπίδος σελίας ἐπιρρίπτειν σεαυτὸν εἰς ἀνεπιτήδειον πλοῦν. ἀλλ' ὑφορᾶσθαι καὶ τὰς λεγομένας παρὰ τῶν ναυτικῶν παρασημειώσεις τῶν ἀστέρων. καὶ τὰ ἄλλα συμφέροντα. καὶ οὕτω ποιεῖσθαι τὴν πορείαν :-

Ἐν δὲ ταῖς ἀπλήκτοις, εἰ μὲν ἐν τῇ ἰδίᾳ ὁρμεῖς χώρᾳ καὶ μηδένα φόβον ἔχεις ἀπὸ τῶν πολεμίων, καὶ οὕτω μετ' εὐταξίας ἀναπαύεσθαι τὸν στρατὸν καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. μηδένα τῶν ἐπιχωρίων βλάπτοντας, ἢ ἀδικοῦντας, ἢ καρποὺς ἁρπάζοντας, ἢ φθείροντας :-

Εἰ δὲ ἐν τῇ πολεμίᾳ γῇ πλησιάζεις, ἢ πολεμίου πλησίον που ἡ πορεία, πάντως χρεών σε καὶ βίγλας ἔχειν μακρόθεν καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν καὶ ἀγρύπνους ταύτας, καὶ κατησφαλισμένον καὶ ἕτοιμον εἶναι πρὸς παράταξιν. πολλαὶ γὰρ αἱ τῶν πολεμίων ἐπιβουλαί. καὶ γὰρ ἢ κατὰ γῆς ἐπελθόντες σε ὁρμοῦντα βιάζονται, εἰ τύχοι, ἢ ὑποπρήσαντες καὶ τὰς ναῦς ἐμπρήθουσιν, ἢ διὰ θαλάσσης ἀναφανέντες προσβολὴν ποιοῦνται νυκτὸς ἢ ἡμέρας. καὶ ἐὰν ἀνέτοιμος ἐν ἑτοίμοις εὑρεθῇς, προκρατήσουσιν οἱ ἐναντίοι κατὰ σοῦ. εἰ δέ σε ἕτοιμον εὑρήσουσιν, ἄπρακτος αὐτοῖς ἡ ἐπιβολὴ γενήσεται :-

Ἐπεὶ δὲ τούτων συμμέτρως ἐμνήσθημέν τε καὶ διελεξάμεθα, φέρε λοιπὸν καὶ ὅπως παρατάξεις καὶ τὰς προσβολὰς τὰς ἐν ταῖς μάχαις ποιήσεις, ὡς ἐν συντόμῳ διοριζόμεθα. καθ' ὃν τρόπον καὶ ἐν ταῖς κατὰ γῆν πολεμικαῖς προσβολαῖς αὐτὸ διελεξάμεθα :-

Ὅταν δὲ εἶναι ἡ πρὸς τὸν πόλεμον καιρὸς ὁ στρατηγός, συναθροίσων τοὺς στρατιώτας κατὰ τὰς τάξεις ἑκάστου διηρημένως ὑπαναγινωσκέσθωσαν αὐτοῖς τὰ στρατιωτικὰ ἐπιτίμια ἀπὸ τῶν ἐν τῷ κεφαλαίῳ τῆς στρατιωτικῆς γυμνασίας εἰρημένων. καὶ ἐπιρρωστικοῖς αὐτοὺς λόγοις προσήκουσι προτρεπέσθω καὶ διεγειρέτω πρὸς τοὺς ἀγῶνας. ἵνα τοῦ μὲν διὰ τὸν φόβον τῶν ἐπιτιμίων, τοῦ δὲ διὰ τὴν τῆς ἐνδοξότητος προθυμίαν ἀνδρεῖοι καὶ εὔτακτοι γένωνται. καὶ ἐν τοῖς μέλλουσι πολεμικοῖς κινδύνοις ἐχθρὸς ἀγωνιζόμενοι :-

Χρὴ δέ σε μᾶλλον δι' ἐφόδων τε καὶ ἄλλων ἐπιτηδευμάτων τε καὶ στρατηγημάτων μεθοδεύειν τὴν τῶν πολεμίων, ἢ δόλου τοῦ ὑπό σε πλωΐμου στόλου, ἢ διαφθορὰν αὐτοῦ· μὴ μέντοι χωρὶς ἀνάγκης μεγάλης ἐπὶ τοῦ τῆς κατεπειγούσης εἰς δημόσιον πόλεμον σεαυτὸν ἐπιρρίπτειν· πολλὰ γὰρ τὰ τῆς λεγομένης τύχης ἀντίρροπα, καὶ τὰ τοῦ πολέμου παράδοξα:

Διὰ τοῦτο χρή σε ἀεὶ προφυλάττεσθαι καὶ μὴ πρὸς δημοσίας ὡς ἔτυχε παρατάξεις ἀποθρασύνεσθαι, μάλιστα ἐν πλοίοις· ὅπου δεσμουμένων ἀλλήλους ἄφυκτος ὁ σκληρὸς γίνεται καὶ βιαία ἡ μάχη, καὶ οὐκ ἔστι δυνατὸν τὸ συμφέρον ἐπιλέγεσθαι:

Καὶ ταῦτα μέν σε φυλάττεσθαι· εἰ μὴ ἄρα θαρρεῖς καὶ τῷ πλήθει τῶν δρομώνων καὶ τῇ ἀνδρείᾳ καὶ ὁπλίσει καὶ προθυμίᾳ τῶν στρατιωτῶν καθυπέρτερος εἶναι τῶν πολεμίων:

Οὔτε γὰρ πλῆθος πλοίων, οὔτε μέγεθος κατορθοῖ πόλεμον, εἰ μὴ τοὺς ἐν αὐτοῖς πολεμοῦντας ἔχουσιν εὐψύχους καὶ ῥωμαλέους καὶ προθύμους εἰς τὴν κατὰ τῶν ἐναντίων ἐπιχείρησιν· καὶ πρό γε τούτων εἰ μὴ τὴν θείαν εὐμένειαν εἰς συμμαχίαν ἔχωσι διὰ καθαρότητος βίου καὶ δικαιοσύνης· πρός τε τοὺς συντελεστὰς καὶ πρὸς τοὺς πολεμίους εἴ γε ἔστι τὸ μηδὲν ἀνόσιον ἐν τοῖς αἰχμαλώτοις διαπράττεσθαι, ἢ αἰσχρόν, ἢ ἀφιλάνθρωπον καὶ μὴ ἄδικον πόλεμον μὴ ἀδικεῖν· τοὺς γὰρ ἀδικοῦντας μὴ τῆς τοῦ θεοῦ βοηθείας ἀνταμείβεσθαι:

Ἐὰν δὲ πάντως ἀπαιτῇ τι καὶ μάχης καιρός, διατάξεις τοὺς δρόμωνας ποικίλως καὶ διαφόρως καθὼς ἂν ὅ τε καιρὸς καὶ ὁ τόπος ἀπαιτῇ· ὥστε ἐὰν θαρρῇς καθυπέρτερος εἶναι τῶν πολεμίων ὥς μοι εἴρηται καὶ διὰ τοῦτο πρὸς μάχην συμβαλεῖν ὡς ἐπίζων αἱρήσειν αὐτούς· μὴ ἐν τῇ ἰδίᾳ σου τῇ πλησίον ποιήσῃς τὴν μάχην ἐν ᾗ ἐπιχωριάζουσιν οἱ στρατιῶται τοῦ ἐπειγόμενοι, καταφυγόντες σωθῆναι, ἀλλὰ μᾶλλον πλησίον τῆς τῶν ἐναντίων γῆς· ἵνα αὐτοὶ τὴν σφετέραν ἀπελπίζοντες ἐν τῇ ἰδίᾳ γῇ τὴν φυγὴν παρὰ τοὺς ἀγῶνας προτιμῶνται· στρατιῶται γὰρ εἰς δειλίαν ἐν ἀνάγκῃ πολέμου περιπίπτουσιν εἰ τὴν σφετέραν διὰ τῆς φυγῆς ἐλπίσωσι καὶ ταχέως ῥίπτουσι τὰ ὅπλα καὶ οὐδὲ αὐτοὶ προτιμήσονται· ὀλίγοι γὰρ οἱ ἐν καιρῷ παρατάξεως τὸ ἀποθανεῖν ὑπὲρ τὸ ἀδόξως φυγεῖν προκρίνοντες· εἴτε ἐν τοῖς βαρβάροις εἴποις, εἴτε ἐν τοῖς Ῥωμαίοις:

Πρὸ δὲ τῆς τοῦ πολέμου ἡμέρας χρή σε βουλεύεσθαι μετὰ τῶν ὑπό σε ἀρχόντων τὰ δέοντα πρᾶξαι, καὶ ὅπερ ἀναφανῇ διὰ τῆς κοινῆς γνώμης χρήσιμον, τοῦτο στοιχεῖν καὶ παραγγέλλειν τοῖς ἄρχουσι τῶν δρομώνων, ὥστε αὐτοὺς ἐπιτηδείως ἐκτελεῖσθαι τὰ βουλευθέντα. εἴ γε ἄρα μὴ ἀπαντήσοι γνώμη ἐναντία ἐκ τῆς ἐφόδου τῶν πολεμίων, ἀλλὰ καὶ τότε ἑτοίμους εἶναι πάντας ἀφορῶντας εἰς τὸν σὸν δρόμωνα ὥστε ἐξ αὐτοῦ λαβεῖν σημεῖόν τι. εἰ ἄρα πρᾶξαι δεῖ καὶ τούτου δοθέντος ὀξέως γενέσθαι τὸ ὑποδειχθέν :—

Πάντως γὰρ δεῖ σε τὸν στρατηγικὸν δρόμωνα ἔχειν τὸν ἴδιον ἐξ ἁπάντων τῶν στρατευμάτων ἐπιλέκτους ἔχοντα τοὺς στρατιώτας, μεγέθει καὶ ἀνδρείᾳ καὶ ἀρετῇ καὶ τῇ ὁλοκλήρῳ πανοπλίᾳ διαφέροντας. καὶ τὸν δρόμωνα δὲ μεγέθει καὶ ταχύτητι τῶν ἄλλων ἁπάντων διαφέροντα, ὥστε κεφαλήν τινα τῆς παρατάξεως ἁπάσης. καὶ κατασκευάσαι τὸν τῆς σῆς ἐνδοξότητος τοιοῦτον δρόμωνα τὸν λεγόμενον πάμφυλον :—

Ὁμοίως δὲ καὶ τοὺς ἄλλους ὑπό σε ἄρχοντας οἳ ἔχουσιν ὑπ' αὐτοὺς τινὰς δρόμωνας, ἐξ αὐτῶν ἐπιλέξασθαι ἄνδρας καὶ ἔχειν ἐν τοῖς οἰκείοις, ὥστε καὶ αὐτοὺς διαφέρειν τῶν ἄλλων. καὶ τούτους δὲ πάντας καὶ τοὺς λοιποὺς πρὸς τὸν σὸν ἀποβλέπειν δρόμωνα, καὶ παρ' αὐτοῦ ῥυθμίζεσθαι κατὰ τὸν τοῦ πολέμου καιρόν. εἰ μή γε ἄρα ἐπέλθοι τι παράδοξον τῶν βεβουλευμένων ἀναφανῇ καὶ δέηται μεθόδου ἑτέρας :—

Εἶναι δὲ σημεῖον ἱστάμενον ἐν τῷ σῷ δρόμωνι, εἴτε βάνδον, εἴτε φλάμουλον, εἴτε ἕτερον εἰς τόπον περίοπτον, ἵνα δι' αὐτοῦ σημαίνοντος ὅ τι ἂν δέῃ πράττειν, εὐθέως ἐπιλαμβάνωνται τοῦ δόξαντος ἔργου οἱ λοιποί, εἴτε συμβάλλειν εἰς πόλεμον χρεί, εἴτε ἀναχωρεῖν ἀπὸ πολέμου, εἴτε ἐξαπλοῦν εἰς κύκλωσιν κατὰ τῶν πολεμίων, εἴτε εἰς βοήθειαν καταπονουμένου μέρους συνδραμεῖν, εἴτε ἀρτίσαι τὴν ἡσυχίαν, εἴτε ἐπιδοῦναι εἰς τάχος τὴν κίνησιν, εἴτε ἐγκρύμματα δέον γενέσθαι, εἴτε ἀπὸ ἐγκρύμματος ἐξελθεῖν, ἢ ἄλλα τινὰ καθ' ἕκαστα ἀπὸ σημείου τοῦ σοῦ δρόμωνος ἅπαντα ὑποδέχεσθαι, ἀφορῶντας ὅπως δέον ποιεῖν :—

Οὐ γὰρ δυνατόν ἐστιν ἐν τοιούτῳ καιρῷ ἀπὸ φωνῆς βουκίνου παραγγέλλειν τὰ δέοντα, διά τε τὸν θόρυβον καὶ τὸν τάραχον καὶ τὸν τῆς θαλάσσης ἦχον, καὶ τὸν ἄλλον κτύπον, τῆς τε συγκρούσεως καὶ κωπηλασίας τῶν δρομώνων, καὶ πολλῷ μᾶλλον τῆς βοῆς τῶν πολεμίων :—

Τὸ δὲ σημεῖον ἢ ἐπισειόμενον, ἢ ὀρθὸν ἱστάμενον, ἢ ἐπὶ δεξιὰ ἢ ἐπὶ ἀριστερὰ κλινόμενον, καὶ ἐπὶ δεξιὰ πάλιν ἢ ἐπὶ ἀριστερὰ μεταφερόμενον, ἢ ὅλως ἀφαιρούμενον, ἢ μετατιθέμενον, ἢ διὰ τῆς ἐν αὐτῷ κεφαλῆς ἄλλοτε ἄλλως φαινομένης ἀλλασσόμενον, ἢ διὰ χρωμάτων, ἢ διὰ σχημάτων:

Οἷον ποτὲ τοῖς παλαιοῖς ἐπετελεῖτο· ἐν γὰρ πολέμου καιρῷ σημεῖον εἶχον τῆς συμβολῆς αἴροντες τὴν λεγομένην φοινικίδα, τὸ δὲ λεγόμενον καμελαύκιον ἐπὶ κονταρίου ἐπηρμένον ἐρυθροῦ τὴν χρόαν, καὶ ἄλλα τινὰ ὁμοιοτρόπως ἐπιδεικνύμενα· ἀσφαλέστερον δὲ τάχα διὰ τῆς ἑαυτοῦ χειρὸς τὰ σημεῖα ἐπιδειχθήσεται:

Καὶ οὕτως ἔσται σοι ἡ ἐνέργεια τῶν στρατηγικῶν τῶν τοιούτων σημείων γεγυμνασμένη, ὥστε πάντας τοὺς ὑπὸ σὲ ἄρχοντας ὅσοι δρομώνων ἡγοῦνται ἔχειν τὴν πεῖραν ἀσφαλῆ τῶν τοιούτων ὑποδειγμάτων καὶ διὰ τί γίνεται ἕκαστον, καὶ πότε καὶ πῶς καὶ μὴ διασφάλλεσθαι· ἵνα περὶ ταῦτα καλῶς ἐγγυμναζόμενοι ἐν καιρῷ χρείας ἑτοιμότεροι γένωνται πρὸς τὸ διαγινώσκειν αὐτὰ καὶ πράττειν τὰ διὰ τούτων σημαινόμενα:

Τὴν δὲ τῶν δρομώνων παράταξιν ἐν καιρῷ συμβολῆς, εἴτε ἄρα ὡς εἴρηται τοιαύτη πάρεστιν ἀνάγκη, ἢ καθ᾽ ἑτέρας τὴν νίκην ἡ πεῖρα ποιήσεις, καθὼς ἂν σκοπήσῃς ἁρμόδιον τῷ καιρῷ καὶ τῷ τύπῳ πρὸς τὴν τῶν πολεμίων παρασκευὴν καὶ παράταξιν· οὐ γὰρ νῦν ἔστι λέγειν ἀσφαλῶς περὶ τῶν τότε μελλόντων ἀπαντήσεσθαι:

Ποτὲ μὲν μηνοειδῶς οἷον ἡμικυκλίου τάξιν· τοὺς μὲν ἄλλους δρόμωνας ἔνθεν κἀκεῖθεν, οἷον κέρατά τινα ἢ χεῖρας, καὶ μάλιστα ἐν τῷ ἄκρῳ περιάγοντας τοὺς ἀλκιμωτέρους καὶ μείζονας· ἐν δὲ τῷ κοίλῳ τοῦ ἡμικυκλίου, οἷον τινὰ κεφαλὴν τὴν σὴν ἐνδοξότητα· ὥστε πάντας περισκοπεῖν καὶ διατάττειν καὶ διοικεῖν, καὶ εἴπου δέοι καὶ βοηθεῖν ἐπὶ καιρὸν μεθ᾽ ὧν ἂν βούλοιο ἐπὶ τούτῳ εὐκαιρούντων. τὸ δὲ σχῆμα τὸ μηνοειδὲς γινέσθω ὥστε τοὺς ἐμπίπτοντας πολεμίους ἐντὸς ἀποκλείεσθαι τῆς κυκλώσεως:

Ποτὲ δὲ παράταξις κατὰ μέτωπον ἐπ᾽ εὐθείας, ὥστε χρείας καλούσης ἐμπίπτειν τοῖς πολεμίοις κατὰ πρῷραν, καὶ διὰ τοῦ πυρὸς τῶν σιφώνων ἐμπιπρᾶν τὰς ἐκείνων ναῦς:

Ποτὲ δὲ καὶ εἰς διαφόρους μερίζεσθαι παρατάξεις, ἢ τοι δύο ἢ τρεῖς κατὰ τὴν ποσότητα τῶν ὑπὸ σὲ δρομώνων· καὶ τῆς μιᾶς παρατάξεως συμβαλλούσης, ἡ ἄλλη εἰς προσθήκην κατὰ τῶν πολεμίων ἤδη ἐμπεπλεγμένων, ἢ ὄπισθεν, ἢ κατὰ πλευράν· καὶ διὰ τῆς βοηθούσης ἐπιτιθούσης κατ᾽ αὐτῶν ἀποπέσωσιν οἱ πολέμιοι τοῦ τύχους:

Ποτὲ δὲ καὶ διὰ στρατηγήματος· ἀποπλανωμένων γὰρ τῶν πολεμίων καὶ ἐμπιπτόν

ται ὡς ὀλίγοις ἀναφανεῖ ἀδεῶς τὸ ἐπίκρυμμα καὶ θεάσηται αὐτούς, ἐπελεύσονται τόπου τῆς ἐνέδρας :-

Ἀλλ' ὅτε δὲ διὰ ἐλαφρῶν καὶ ταχινῶν δρομωνίων συμβαλλόντων αὐτοῖς καὶ προσποιουμένων φεύγειν, κἀκείνων ἐν τῇ διώξει κοπουμένων καὶ βιαζομένων τοῦ μὴ καταλαμβανόντων δὲ τοὺς φεύγοντας, ἢ καὶ λοιπὸν τοῦ συνεχῶς ἀποτεινομένων ἑτέροις οἱ δρόμωνες ἄκοποι καὶ ἀναπεπαυμένοι κατὰ τὸν κατάσκοπον ὁρμήσαντες ἀρήγουσιν αὐτούς, ἢ εἰ καὶ τὰ δυνατὰ τῶν ἐχθρῶν πλοῖα παρελθόντα ἰσχύοντας τις τοῖς ἀσθενεστέροις ἐπέλθῃ :-

Ποτὲ δὲ συμβαλὼν καὶ ἱκανῶς ἐχθροῖς πολεμήσας ταῖς ἐναντίαις ναυσὶ μέχρις ἄκρας κοπώσεως· ἀποπλεύσεις μὲν τοὺς δρόμωνας, ἑτέρους δὲ πάλιν ἐπαφήσεις τοῖς πολεμίοις ἐρρωμένους τοῖς κεκοπωμένοις καὶ ἐκλυθεῖσι τῷ τόνῳ ἀπὸ τῆς μάχης, καὶ οὕτως τὴν κατ' αὐτῶν νίκην περιποιήσῃ· μάλιστα δὲ τοῦτο γίνεται ὅταν περιπλεύσῃς αὐτοὺς διὰ πλῆθος τῶν δρομώνων ἐπὶ τοὺς πολεμίους :-

Ποτὲ δὲ φεύγειν προσποιούμενος μετὰ δρομωνίων ταχινῶν πρὸς δίωξιν ἐκκαλέσῃ τοὺς πολεμίους κατὰ πρύμναν ἔχων αὐτούς, κἀκεῖνοι ὁρμήσαντες διώκειν διαλύσουσι τὴν τάξιν αὐτῶν, καὶ οὕτως ἀνθυποστρέψας τάχος διεσπαρμένοις τοῖς διώκουσι· μάλιστα καὶ πλεῖον ἐκείνων δρόμωνας ἔχων ἐπέλθῃς αὐτοῖς κατὰ πρῷραν, καὶ ἢ καθ' ἕνα ἢ κατὰ δύο ἐπελθὼν τοῖς τοὺς δρόμωνας τῶν ἐν πλοίοις τῶν πολεμίων αἱρήσεις τὴν νίκην κατ' αὐτῶν :-

Προσβάλλειν δὲ πολεμίοις χρεὼν ἐν ναυμαχίᾳ· καὶ ὅταν τύχῃ αὐτοὺς ναυαγῆσαι καὶ ὅταν ἀπὸ ζάλης διαταραχθέντες ἀβουλήτως ὦσιν, ἢ ἐν νυκτὶ ἐπελθόντα ἐμπρῆσαι τὰς ἐκείνων ναῦς, ἢ ἐν τῇ χέρσῳ ἀσχολουμένων, ἢ ὅταν ἡ χρεία καλέσῃ, καὶ αὐτὸς ἐπινοήσῃς ποιῆσαι τὰς προσβολάς :-

Ποικίλας γὰρ οὔσας τὰς τῶν ἀνθρώπων γνώμας, ἀδύνατον τινὰ τὰ μέλλοντα ἐμπίπτειν ἐν ταῖς τοιαύταις παρατάξεσι, ἢ προγινώσκειν, ἢ προλέγειν ἅπαντα· διὸ οὐδὲ τὰς κατ' αὐτῶν μεθοδεύειν ἀντιπαρατάξεις ἐν τῷ παρόντι λόγῳ δυνατόν, ἀλλὰ τῇ σῇ ἅπαντα ταῦτα προνοίᾳ ἀναρτᾶν καὶ δέεσθαι τοῦ θεοῦ· ἵνα ἐν τοῖς τοιούτοις ὀξέσι καιροῖς καὶ βουλεύεσθαι δυνατὸς ᾖς καὶ πράττειν τὰ δέοντα :-

Πολλὰ δὲ ἐπιτηδεύματα τοῖς παλαιοῖς καὶ δὴ καὶ τοῖς νεωτέροις ἐπενοήθη κατὰ τῶν πολεμικῶν πλοίων καὶ τῶν ἐν αὐτοῖς πολεμούντων· οἷον τό τε ἐσκευασμένον πῦρ μετὰ βροντῆς καὶ καπνοῦ πεπυρωμένου διὰ τῶν σιφώνων πεμπόμενον καὶ καταπρῆζον αὐτά :-

αἱ τοξοβολίστραι, ἔν τε ταῖς πρύμναις καὶ ταῖς πρῴραις, καὶ κατὰ τῶν δύο πλευρῶν τοῦ δρόμωνος ἐκπέμπουσαι σαΐτας μικρὰς τὰς λεγομένας μυίας :

Καὶ θηρία ἔτι δακνόντα ἐν χύτραις κεκλεισμένα, καὶ κατὰ τῶν πλοίων τῶν πολεμίων ῥιπτόμενα· οἷον ὄφεις, καὶ ἐχίδνας, καὶ σαύρας, καὶ σκορπίους, καὶ τὰ ὅμοια τούτων ἰοβόλα· ὧν συντριβομένων τὰ θηρία δάκνουσι καὶ συμφθείρουσι διὰ τοῦ ἰοῦ τοὺς πολεμίους ἔσωθεν τῶν πλοίων :

Καὶ χύτρας δὲ ἄλλας ἀσβέστου πλήρεις, ὧν ῥιπτομένων καὶ συντριβομένων ὁ τῆς ἀσβέστου ἀτμὸς συμπνίγει καὶ σκοτίζει τοὺς πολεμίους καὶ μετὰ ἐμποδίου γίνεται :

Καὶ τρίβολοι δὲ σιδηραῖ ῥιπτόμεναι ἐν τοῖς πλοίοις τῶν πολεμίων, οὐ μικρὰ λυπήσουσιν αὐτοὺς καὶ ἐμποδίσουσι πρὸς τὸν κατὰ τὴν ὥραν ὀφείλοντα ἀγῶνα :

Ἡμεῖς δὲ ἠκούσαμεν καὶ πυρὸς ἐσκευασμένου πλήρεις ἀκοντίζεσθαι, καὶ χύτρας κατὰ τὴν ὑποδειχθεῖσαν μέθοδον τῆς αὐτῶν σκευασίας· ὧν συντριβομένων ἐμπιπρᾶσθαι εὐκόλως τὰ πλοῖα τῶν πολεμίων :

Χρῆσθαι δὲ καὶ τῇ ἄλλῃ μεθόδῳ τῶν διὰ χειρὸς βαλλομένων μικρῶν σιφώνων ὄπισθεν τῶν σιδηρῶν σκουταρίων παρὰ τῶν στρατιωτῶν κρατουμένων, ἅπερ χειροσίφωνα λέγεται παρὰ τῆς ἡμῶν βασιλείας ἄρτι κατασκευασμένα· ῥίψουσι γὰρ αὐτὰ τοῦ ἐσκευασμένου πυρὸς κατὰ τῶν προσώπων τῶν πολεμίων :

Καὶ τρίβολοι δὲ μείζονες σιδηραῖ, ἢ σφαιρίοις ξυλίνοις ἧλοι ὀξεῖς ἐμπεπηγμένοι, στυππίοις δὲ καὶ ἑτέρᾳ ὕλῃ συνειλημμένη ἐμπυρισθέντα καὶ κατὰ τῶν πολεμίων βαλλόμενα· εἶτα πίπτοντα ἐν τοῖς πλοίοις διὰ πολλῶν μερῶν ἐμπρήσουσιν αὐτά :

Ἀλλὰ καὶ εἰ διὰ τὸ σβέσαι οἱ πολέμιοι πατοῦσι τὴν αὐτῶν φλόγα τοὺς πόδας οἱ πλεῖστοι πληγήσονται κατ᾽ αὐτὴν τὴν ἀκμὴν τοῦ πολέμου, καὶ οὐ μικρὸν ἔσται τοῖς ἐναντίοις ἐμπόδιον :

Δυνατὸν δὲ καὶ διὰ τῶν γερανίων λεγομένων, ἤγουν τῶν ὁμοίων ἐπιτηδευμάτων γαμματοειδῶς κύκλῳ περιστρεφομένων, ἢ πίσσαν ὑγρὰν πεπυρωμένην, ἢ σκυλὴν, ἢ σκυλὴν, ἢ τινὰ ἑτέραν ὕλην ἐπιχέαι τοῖς πολεμικοῖς πλοίοις διὰ τῶν δρομωνίων δεσποζομένοις, καὶ τοῦ μαγγάνου στρεφομένου κατ᾽ αὐτῶν :

Δυνατὸν δὲ καὶ ἀναζεῦξαι ὁλόκληρον τὴν ναῦν τῶν πολεμίων. ἐὰν πλευρὰν παρὰ πλευρὰν δήσας αὐτὴν τῷ δρόμωνι καὶ τῶν πολεμίων ἐφ᾽ ἑνὶ τῶν πλοίων. καὶ 1009
αὐτὸς ὦ στρατηγὲ διασκευάσῃς τοὺς δρόμωνας ὅταν μὴ ἥττονα στρατὸν ἔχῃ ὁ

ἐμπέσῃ δρόμωνι τοῦ πολεμίου, ὅτε μάλιστα εἰς ἰσόπαλον ἤδη εὐτρεπίζηται μάχην διὰ τοῦ εἰς ἀλλήλους δεσμοῦ. ἀλλ᾽ εἰ δυνατὸν καὶ πλείονα ἀμφοτέρων· τῶν γὰρ ἀνδρείως εἰ τύχοι μαχομένων, οἱ πλείονες περιτρέπουσιν :-

Ἐὰν γὰρ συνορᾷς ἔχειν τοὺς πολεμίους πολυανδρούμενα πλοῖα καὶ πλείονα στρατὸν ὑποδεχόμενα, οὕτω ποιήσεις καὶ αὐτὸς τοὺς σοὺς δρόμωνας ἐμπλήθεις. ἐκλέξει δ᾽ ἀπὸ πάντων τοὺς ἀρίστους, καὶ ἐξ αὐτῶν καταστήσεις τὴν ἀρχὴν συνδυάσμων διὰ δρομώνων ἤδη καὶ ἀγωνιστάτων· ὥστε ἢ οὕτω ποιεῖν, ἢ τῶν δύο τοὺς στρατοὺς εἰς ἕνα ἐμβιβάσεις, ἢ ἐκ πάντων ἐπιλέξει τοὺς ἀρίστους ὡς ἑκατὸν καὶ πεντήκοντα ἄχρι καὶ διακοσίων στρατιωτῶν ἢ καὶ πλέον κατὰ δρόμωνα ἕνα· ὅτι τῷ πλήθει καὶ τῷ μεγέθει καὶ τῇ εὐψυχίᾳ τῶν δρομώνων καὶ τῶν στρατιωτῶν καθυπέρτερος τῶν πολεμικῶν πλοίων γενόμενος, ζωγρήσεις τὴν κατ᾽ αὐτῶν ἀποκλήρου νίκην :-

Δεῖ δέ σε καὶ μικροτέρους ἐξοπλίζειν δρόμωνας καὶ ἐλαφροτέρους τῶν ζαυιθῶν, ὥστε καὶ διώκοντας καταλαμβάνειν τοὺς πολεμίους, καὶ διωκομένους μὴ καταλαμβάνεσθαι· καὶ τούτους ἔχειν ἐν καιρῷ τῆς ἁρμοζούσης αὐτοῖς          νασθαι αὐτούς, ἢ δεῖξαι τι κακὸν τοῖς ἐχθροῖς ἢ μὴ παθεῖν τι κακὸν παρ᾽ αὐτῶν :-

Μικροὺς δὲ καὶ μεγάλους δρόμωνας κατὰ τὴν ποιότητα τῶν πολεμίων ἐθνῶν κατασκευάσεις· οὐ γὰρ ὁ αὐτὸς ἐστὶν στόλος τῶν πλοίων τῶν τε Σαρακηνῶν βαρβάρων καὶ τῶν λεγομένων βορείων Σκυθῶν· οἱ μὲν γὰρ κουμβαρίοις χρῶνται μείζοσι καὶ ἀργοτέροις οἱ βάρβαροι, οἱ δὲ οἷον ἀκατίοις ἥττοσι καὶ ἐλαφροτέροις καὶ ταχινοῖς οἱ Σκύθαι, διὰ ποταμοῦ γὰρ εἰς τὸν Εὔξεινον ἐμπίπτοντες πόντον, οὐ δύνανται μείζοσι χρῆσθαι πλοίοις· καὶ ταῦτα μὲν περὶ παρατάξεως εἰρήσθω :-

Ὅταν δ᾽ ἀπαλλαγῆναι βούλῃ τῆς μάχης συννοήσας ὡς ἥρμοται, τὴν παράταξιν τῶν δρομώνων ποιήσας· οὕτως ὑποχωρήσεις διὰ τὸ ἀσφαλὲς εἶναι τὸ τοιοῦτον σχῆμα ἐν ταῖς τοιαύταις προόδοις καὶ ὑποχωρήσεσιν, ὡς τινὲς τῶν παλαιῶν μαρτυροῦσι τῷ τρόπῳ τούτῳ χρησάμενοι :-

Μετὰ δὲ τὴν λύσιν τοῦ πολέμου δέον σε ὦ στρατηγὲ τὰ ὡς εἰκὸς κερδηθέντα ἀπὸ τῶν πολεμίων λάφυρα ἐξισοδιαμερίζειν τοῖς στρατιώταις καὶ ἀριστοποιεῖν καὶ φιλοφρονεῖσθαι          ποιεῖσθαι καὶ εὐωχίαν εἰς αὐτούς· καὶ τοὺς μὲν ἀριστεύσαντας, καὶ δωρεῶν καὶ τιμῶν ἀξιοῦν· τοὺς δὲ ἀναξίους στρατιωτ-

ποιήσαντας ὅπερ καὶ ἐνδεόντως :

Ἴσθι δὲ ὦ στρατηγὲ ὅτι πλῆθος δειλῶν ἀνάνδρους ἐχόντων στρατιώτας οὐδὲν ἰσχύει· οὐδὲ γὰρ καὶ πρὸς ὀλίγους μάχονται τοὺς ἐναντίους ἀνδρείους καὶ εὐψύχους· οὔτε γὰρ πολυπληθία ἀνδρῶν κατὰ ὀλίγων ἰσχύει, εἰ μὴ καὶ τὴν προθυμίαν καὶ τὴν ὁπλισιν στρατιῶται ἀληθῶς ἀποδείκνυνται· τί γὰρ οὐκ ἐργάζονται λύκοι καὶ ὀλίγοι λέοντες πρὸς πολλὰς χιλιάδας ποιμνίου :

Διὸ χρή σε συνορᾶν ἅπαντα μετὰ ἀκριβείας ἁπάσης τὰ τῶν ἐχθρῶν ἐπιδείκνυσθαι καὶ οὕτως τήν τε τῶν δρομώνων κατασκευήν, καὶ τὴν τῶν στρατιωτῶν ὁπλισιν, τὸ πλῆθος αὐτῶν καὶ τὸ μέγεθος καὶ τὰ ἄλλα ἐπιτηδεύματα ἁρμοδίως πρὸς τῶν ἐναντίων παρασκευάζειν :

Ἔχειν δὲ καὶ μικροὺς καὶ ταχεῖς δρόμωνας οὐ πρὸς πόλεμον ἐξωπλισμένους, ἀλλὰ πρὸς τὰς βίγλας καὶ τὰ μανδάτα καὶ τὰς ἄλλας ἁπάσας χρείας ὁμοίως χρή. καὶ ἔστι τὰ μονήρεια λεγόμενα καὶ τὰς γαλαίας πλὴν καὶ αὐτοὺς ἐνόπλους διὰ τὰ τυχηρῶς συμπίπτοντα :

Καὶ σὲ δὲ αὐτὸν διαπαντὸς εἶναι σπουδαῖον καὶ γενναῖον καὶ ἀτάραχον καὶ ὀξὺν ἐν ταῖς ἀναγκαίαις μάλιστα τῶν πραγμάτων ἐγχειρήσεσί τε καὶ πράξεσι· ἵνα Θεῷ εὐάρεστος καὶ τῇ ἡμετέρᾳ ἐν Θεῷ βασιλείᾳ εὐχάριστός τε καὶ δόκιμος ἀναφανεὶς στρατηγὸς ἀμφοτέρωθεν κερδήσῃς τὰς ἀξίας τῶν πόνων ἀμοιβάς· ἐκ Θεοῦ μὲν τὸν μισθὸν ἀθανάτως ὑπὲρ τῆς αὐτοῦ κληρονομίας ἀγωνιζόμενος. ἐξ ἡμῶν δὲ καὶ τιμὰς καὶ δωρεὰς τὰς προσηκούσας μὴ ψευδόμενος τὴν κλῆσιν, ἀλλ' ἀληθῶς στρατηγὸς καὶ ὢν καὶ καλούμενος. τοσαῦτα καὶ περὶ ναυμαχίας σοι συντόμως ἡμῖν εἰρήσθω :

## Διάταξις ιζ'.

## Περὶ διαφόρων στρατηγικῶν ἐφόδων :

Μετὰ δὲ τὰς εἰρημένας αἰτίας τε καὶ διατάξεις, ὦ στρατηγέ, χρεὼν τὴν σὴν ἐνδοξότητα καὶ ταῖς ἤδη εἰθισμέναις εἰκότως γνώσεσι· ἃς ἐκ πολλῶν παλαιῶν καὶ στρατηγικῶν συνταγμάτων ἀναλεξάμενοι συντόμως, χάριν τῶν εἰρημένων ἐνταῦθα παρατεθήκαμεν. ἐκ τούτων γὰρ ἐπὶ τὰς μείζονας πράξεις τῆς τακτικῆς

θεωρίας ἀναβῆναι δυνήσῃ κατὰ τὸν σοφὸν παροιμιαστὴν βασιλέα· σοφῷ γὰρ ἀεὶ ἀφορμὴ διδομένη σοφώτερον ἀπεργάζεται :

Εἰ πρώτως σε ἐγχειρεῖν μέλλων ἀναγκαίων πραγμάτων ὦ στρατηγέ, μὴ χαρίζου σεαυτὸν τῷ πλήθει τῶν ἐν τοῖς ἔργοις πονούντων, ἀλλὰ καὶ αὐτὸς ἀπάρχου τῶν τοιούτων ἐγχειρημάτων, καὶ σύμπονος τοῖς ἔργοις κατὰ τὸ δυνατὸν γίνου· εἴτε τάφρους ὀρύττοντες, εἴτε τάφρους προσχωννύντες, εἴτε πολιορκίαις ἐπιβάλλοντες, εἴτε ὅπλων κατασκευαῖς, εἴτε μηχανημάτων, εἴτε φρουρίων ἀνώσεσι πρὸς ἢ τὸ ἕτερον ἔργον ἐγχειρεῖν ἐπινοοῦντες καὶ κοινωφελές· ἡ γὰρ πολλὴ στρατεύματι πραττόμενον τοῦτο χερσὶν ἰδίαις πρῶτος ἀπάρχῃ· ἐκ τούτου γὰρ ὥσπερ αἰδούμενοι οἱ στρατιῶται θερμότερον σοι ὑπακούσονται, καὶ τὸ πραττόμενον εὐχερέστερον τελειωθήσεται. εἰ δέ τις καὶ τῶν ἐπιτηδείων σπάνις ἐνοχλοίη, πρῶτος αὐτὸς τῆς ἐγκρατείας τὴν καρτερίαν ἐπίδειξον ἵνα καὶ τοῖς ὑπηκόοις κούφην καὶ εὐκολωτέραν τὴν ὑπομονὴν τῆς ἀνάγκης ἐργάσῃ. ἐν δὲ ταῖς πολλαῖς μάχαις παραβόλοις ἐχθρῶν συμπλοκαῖς φύλαττε σεαυτόν, ἵνα τῇ σῇ γνώμῃ καὶ τῇ διατάξει καὶ ταῖς ἄλλαις διευθετήσεσιν ἐν αὐτῷ τῷ ὀξεῖ τοῦ καιροῦ συμπαρὼν σε καὶ τῶν τοιούτων ἀγώνων ἐφάπτῃ· μὴ μέντοι ἀφυλάκτως, οὕτω γὰρ ἐπικινδύνως· ὅτε μὴ τοῦτο χρεία καλοῖ, ἀναγκαίως ἐμπλέκῃ τοῖς πολεμίοις· οὐ τοσοῦτον γὰρ ὥσπερ καὶ ἄνθρωπος εἴρηται συμπλεκόμενος ὡς εἷς τῶν στρατιωτῶν ὠφελήσεις, ὅσον εἴτε συμβῇ τι τοιοῦτον περὶ σοῦ βλάψεις· τὸ γὰρ μέλλον ἄδηλον :

Νόμος γινέσθω τοῖς στρατιώταις ὦ στρατηγέ ὁ τρόπος ὁ σὸς καὶ ἡ περὶ τὰ πρακτέα σπουδή σου· οὕτω γὰρ τῆς τοῦ οἰκείου ἄρχοντος ἀρετῆς ὁ ὑπήκοος μιμούμενος, καὶ τὸ σὸν θεραπεύσει, καὶ τοῖς ἡγουμένοις ὑπακούσεται, καὶ ὡς ἀπὸ σοῦ ταῦτα δεχόμενος ἀποτελέσει :

Ὅταν τὸ πλῆθος τῶν στρατιωτῶν ἐπί τινα τόπον συναχθῇ, τότε δεῖ σε τὰ παρ᾽ αὐτῶν ἁμαρτανόμενα μακροθύμως φέρειν· καὶ μὴ τὰς ἐξετάσεις καὶ καταγνώσεις ἀπαραιτήτους ποιεῖσθαι, ἵνα μὴ ἡ κοινὴ λύπη εἰς σύναρσιν καὶ ἀταξίαν συνάξῃ αὐτούς· ἀλλὰ καθ᾽ ὀλίγον μᾶλλον κατὰ τῶν προκαταρξάντων τῶν τοιούτων ἁμαρτημάτων ποιεῖσθαι τὴν παίδευσιν :

Νήφειν καὶ ἐγρηγορέναι καὶ πρὸς τὰ ἄλλα πάντα κηδομένῳ σοι ὦ στρατηγέ, ὥστε σε εἶναι ἁπλοῦν ἐν τῇ διαγωγῇ καὶ κοινὸν ἐν τῇ διαίτῃ, μετὰ τῶν ὑπό σε στρατιωτῶν· καὶ πατρικήν σε ἔχειν στοργὴν πρὸς αὐτοὺς μετὰ πραότητος, καὶ τὰ πράγματα καὶ τοὺς λόγους ποιούμενον· εἰ μή τις ἀναγκαία χρεία καὶ συμφέρουσα πρὸς

ταχύτατά σε καλέσον· χρὴ δὲ καὶ συνεχῶς διὰ σεαυτοῦ τὰ περὶ τῶν ἀναγκαί-
ων αὐτοῖς παραινεῖν καὶ διαλέγεσθαι. φροντίσεις δὲ καὶ περὶ τῆς ἀπάντων αὐτῶν
καὶ τῆς ἄλλης διοικήσεως καὶ ἀποτροφῆς. σκοπὸς γὰρ τούτων οὐδ' ἐλάττων ἐστὶ
κρατίστου στρατοῦ κατάστασις. ἐν δὲ ταῖς δίκαις ἐπεξελεύσεσι κατὰ τῶν
ἁμαρτανόντων, δέουσι φοβεροὺς εἶναι καὶ τὰς ἀρχὰς μάλιστα τῶν ἀταξιῶν ἐκ-
κόπτειν καὶ μὴ ἀναμένειν ὥστε ἐπιμείζονας ταύτας προκόπτειν. καὶ γὰρ στρα-
τηγοῦ προτέρημά ἐστι τὸ ἀκατάπληκτον αὐτὸν τοῖς στρατιώταις φαίνεσθαι ἐκ δι-
καίου, καὶ τὴν ἀδικίαν ἅπασαν ἀπὸ τῆς ἑαυτοῦ διοικείας ἐκκόπτειν. καὶ τοὺς
ἀδικοῦντας στρατιώτας καὶ τοὺς συντελεστὰς ἐν πᾶσι διορθοῦν:—

Οὔτε τὸ φιλάνθρωπον ἀκαίρως, οὔτε τὸ ἀπηνὲς ἄξιόν ἐστι στρατηγοῦ, ἀλλὰ τὸ σταθμίζειν
ἐν καιρῷ τὰ πάντα. καὶ οὕτως ἐπὶ τοῖς ἁμαρτανομένοις ἐπάγειν τὰς τιμωρί-
ας, ἐπιβλέποντα καὶ τὴν τοῦ πράξαντος διάνοιαν, καὶ τὸν καιρὸν καὶ τὸν τόπον,
καὶ διὰ ποίου τρόπου ἐπράχθη καὶ διὰ ποίαν αἰτίαν, καὶ αὐτοῦ τοῦ πράγ-
ματος τὴν ποιότητα. καὶ οὕτως ἐπὶ τὰς δεούσας τιμωρίας ἔρχεσθαι:—

Μέγα προτέρημα στρατηγοῦ τὸ συμμέτρως διαιτᾶσθαι καὶ ἀγρυπνεῖν, καὶ
ἐν ταῖς νυξὶ μᾶλλον βουλεύεσθαι τὰ περὶ τῶν ἀναγκαίων. καὶ γὰρ εὐκαιρῶς
ἐν νυκτὶ ἡσυχάζουσα βουλή, ὅταν ἡ ψυχὴ ἐκτὸς τῶν ἔξωθεν θορύβων ἠρεμῇ:—

Ἄλλα φήμιζε τοῖς ἐχθροῖς καὶ ἕτερα πράττε, καὶ τὰ περὶ τῶν ἀναγκαίων κρύπτε-
σθαι δέοντα· μὴ πολλοῖς ἀνατίθου, ἀλλ' ὀλίγοις καὶ τοῖς γνησιωτέροις σου μᾶλλον.
τὸ γὰρ οὕτως ἐξαπατᾶν τοὺς ἐχθροὺς ἀναγκαῖον ἀπεδείχθη πολλάκις:—

Τὸ βουλεύεσθαι βραδέως καὶ ἀσφαλῶς καὶ ὅτε δόξει τῇ βουλῇ, μὴ ἀναβάλλε-
σθαι τοὺς καιροὺς διά τινα ὄκνον ἢ δειλίαν, ἀναγκαιότατόν ἐστιν. ἡ γὰρ δειλί-
α οὐ μόνον οὐκ ἀσφαλὲς πρᾶγμά ἐστιν, ἀλλὰ καὶ τῆς τοῦ κακοῦ ἐναντιώσε-
ως ἐπίνοια:—

Ἴδιον δὲ τὸ μηδὲ ἐπαίρεσθαι ἐν ταῖς εὐτυχίαις μήτε πάλιν καταπίπτειν ἐν ταῖς
δυστυχίαις, ἐρρωμένου ἐστὶ λογισμοῦ καὶ ψυχῆς ἀνδρός, καὶ δυναμένης ἀ-
σφαλῶς ἐν τοῖς ἀναγκαίοις παντί τε πράγμασιν ἐπιβάλλειν:—

Τὸ διὰ βουλῆς μᾶλλον καὶ στρατηγίας κρατεῖν τῶν ἐχθρῶν, ἀσφαλὲς εἶναι δο-
κεῖ καὶ ὠφέλιμον. ἢ τὸ χειρὶ βιάζεσθαι δυνάμει καὶ πρὸς τὰς κατὰ πρόσω-
πον μάχας ἀποκινδυνεύειν. τοῖς γὰρ μετ' ἐπικινδύνου γνώμης γίνεται, καὶ
ὅταν ὁ προσδοκῶν τὸ συμφέρον γνώσῃ. τὸ δὲ μετὰ κινδύνου ζημίας πάντως
ἔχει τὴν ἔκβασιν:—

Οὐκ ἀναγκαῖόν ἐστιν ἐπὶ πεῖραν ἐλθοῦσι τοῖς αὐτοῖς ἐγχειρήσεσι κατὰ τῶν ἐχθρῶν συνεχῶς κεχρῆσθαι, κἂν πολλάκις δόξῃς ἐν αὐτοῖς εὐτυχεῖν· διὰ γὰρ τῆς συνεχοῦς προσεπινοοῦντες οἱ ἐχθροὶ τὰ ἐναντία καὶ κανονίζοντες, συμφορὰς πολλάκις περιβάλλουσι τοῖς τοιαύταις κατ' αὐτῶν ἐπιβολαῖς :

Ὑπερτίθεσθαι ἢ ἀναβάλλεσθαι πρὸς τὰ φροντιζόμενα κακὰ ἢ δόλερα καὶ ἐπιβουλὰς οὐ δίκαιον οὐδὲ πρέπον, οὐδὲ καταφρονεῖν αὐτῶν κἂν τε περὶ ἐχθρῶν λέγωνται κἂν τε περὶ ἰδίων· ἀλλὰ μᾶλλον σπουδάζειν ὅσον ἐξῇ τὸν στρατηγὸν μεθοδεύειν καὶ καταπαύειν αὐτὰ πρὶν εἰς ἔργον ἔλθωσιν· ὅτε γὰρ ἅπαξ οὐδὲ ἀναστέλλειν ταῦτα δύναται :

Ποιεῖ θάρσος τοῖς στρατιώταις ἐν καιρῷ πολέμου ἀμελέτα ἀρχομένη, ὅτι ἐν ἄλλοις τόποις τοὺς πολεμίους νενικήκαμεν· οὕτως γὰρ καὶ τὰ δειλὰ φρονήματα ἀνανιστῶνται, καὶ τὰ ἀνδρεῖα μᾶλλον θαρσύνουσι· ἀγαθὸν σύμβολον τῆς νίκης ὄνομα καὶ τὸ τέλειν ὡς ἐκ θεοῦ δεξάμενοι :

Ἀπατήσεις μᾶλλον τοὺς πολεμίους, ἐὰν διὰ προσφύγων ἀπὸ τῶν πρὸς αὐτοὺς ἐναντία φημίσῃς ὧν σὺ βουλεύῃ ποιῆσαι κατὰ τῶν ἐχθρῶν· εἰ γὰρ ἀπιστοῦντες ἀμελήσωσιν, ἢ πιστεύσαντες ἀσχολήσωσιν, καὶ τὰ σὰ βουλεύματα ἐργασθήσονται, τὰ δὲ ἐκείνων ἄπρακτα ἀποβήσονται :

Τὸ κρύπτειν τὰ ἀπαγγελλόμενα ἀτυχήματα ὅσα συμβαίνειν εἴωθεν ὡς εἰκὸς ἐν πλήθει στρατοῦ, καὶ τὰ ἐναντία τῶν ἀληθῶν ποιεῖν ἀπαγγέλλεσθαι, στρατήγημά ἐστιν ἀνδρὸς ἔμφρονος καὶ ἀνισοῦν φρονήματα στρατιωτῶν καταπίπτοντα δυναμένου :

Ῥώμην ἐμποιεῖ στρατηγὸς τῷ πλήθει τοῦ στρατοῦ ἐὰν ποικίλοις τρόποις καὶ ἠπίοις ἀγαθοῖς διά τε λόγων καὶ ἔργων μεθοδεύσῃ αὐτούς· τὸ γὰρ κακονομεῖν καὶ ἐπικλᾶσθαι τῶν τεθλιμμένων τὸ πλῆθος, καὶ διὰ τοῦτο εἰς ἀπόνοιαν αὐτοὺς ἄγειν, σφαλερὸν ὡς εἰκὸς καὶ λίαν ἐπιβλαβές :

Ὅταν ἐν καιρῷ πολέμου παρὰ τῶν στρατιωτῶν ἁμαρτήματά τινα γίνωνται, δέον πρὸς ποιότητα τῆς ἀγνοίας αὐτῶν καὶ ἕως αὐτὰ παρορᾶν· μετὰ δὲ τὸν καιρὸν τοῦ πολέμου χρὴ τοὺς αἰτίους τῶν σφαλμάτων ὅσα σωφρονίσεως τὸ δίκαιον ἐπεξέρχεσθαι :

Συγκαλύπτειν προσήκει τὰς ἀδικίας τῶν στρατιωτῶν καὶ μὴ τελέως ἐλέγχειν, ἵνα μὴ καταπέσῃ τὰ φρονήματα αὐτῶν παντελῶς καὶ ἀπειθεῖς ἑαυτοὺς ἀποδείξωσιν :

Κατασκευάσεις ἀθυμίαν τοῖς πολεμίοις, ὅταν ἐν καιρῷ μετὰ τὸν πόλεμον ποι-

ποιῆσαι δυνηθῇς τὴν ταφὴν ἀφανῶς τῶν ἀπὸ τοῦ σοῦ στρατοῦ πεσόντων· τὰ δὲ σώματα τῶν πεσόντων πολεμίων ἐάσῃς :–

Ἀκινδύνως φεύξῃ εἴποτε καιρός σοι τοῦτο γένηται τοὺς πολεμίους λαθών· ἐὰν πυρὰ πολλὰ ἀλλαχοῦ ἀνακαύσῃς καὶ ἐν ἄλλῳ τόπῳ ἡσυχάσῃς, οἱ γὰρ πολέμιοι ἐπὶ τὰ πυρὰ χωρήσαντες ἀπατηθήσονται· καὶ τοῦτο τὸ Περικλέους διανύσαντος καθώς σοι καὶ ἐν ἄλλοις ὑπεθέμεθα :–

Ἵνα δὲ διχόνοιαν καὶ ὑπόνοιαν κατασκευάσῃς τῶν ἐπισήμων ἀνδρῶν ἐν τοῖς πολεμίοις· ὅταν κατατρέχῃς τὴν πολεμίαν σου χώραν τὰ ἐκείνων χωρία μὴ ἐμπρίζε, ἀλλὰ καὶ τινὰ σημεῖα φιλίας τῆς πρὸς αὐτούς, ἢ διὰ γραμμάτων, ἢ δι' ἑτέρου τρόπου καταλίμπανε· τοῦτο δὲ ποιήσεις καὶ ἐὰν διὰ τῶν κρατουμένων παρὰ σοῦ αἰχμαλώτων κρυφαίως αὐτοῖς ἐπιτηδεύσῃς δηλοποιεῖν περί τινων ἀπορρήτων· εἰ γὰρ καὶ πολλάκις τὰ τοιαῦτα γενόμενα φανερὰν ἀπάτην δοκεῖ τοῖς πολεμίοις καὶ δόλον γίνεσθαι, ἀλλ' οὖν εἰς ὑποψίαν καὶ διχόνοιαν τὴν περὶ τῶν ἀνδρῶν ἐκείνων πάντως ἐμπεσοῦσι :–

Τρόπον εὐπορίας ὑποδείξωσι ὥστε τοῖς πολιορκουμένοις διὰ σημείων τῶν ἀπὸ τοῦ ἔξω πεμπομένων ἐπιστολὰς ἐκπέμπειν, καὶ δι' αὐτῶν ἢ εὐθείαν καὶ ἀπάτην αὐτοῖς ἐπαγγέλλεσθαι· τοῦτο δὲ ποιήσεις δηλοποιῶν αὐτοῖς καὶ διὰ χαρτῶν ἀφειδῶς :–

Οὔτε ταῖς φυγαῖς τῶν πολεμίων ἐξαπατᾶσθαί σε δέον, οὔτε ἐάν ποτε προσποιῶνται ἀναχώρησιν· δολερὰ γὰρ ἀεὶ τῶν ἐχθρῶν τὰ βουλεύματα καὶ πρὸς τὸ οἰκεῖον συμφέρον ὁ ἐναντίος τὰ πάντα ἐπινοεῖ, ὥστε τὸ ἐκείνου συμφέρον ἐν ἀσυμφόροις σοι ἀποδείκνυται καὶ διὰ τῆς ἐναντίας ἀπάτης ἐμποιήσουσι βλάβην :–

Ὑφορᾶσθαί σε προσήκει τὰς διώξεις τὰς ἀτάκτους εἰς χωρία ἐπιτήδεια πρὸς ἐγκρύμματα· διὸ καὶ τὸ ἀναχαιτεῖν εὐκαίρως τοῦ στρατηγοῦ καὶ πάνυ σφοδροτέραν ποιεῖσθαι τὴν ἐπέλευσιν κατὰ τῶν πολεμίων, μάλιστά ἐστι στρατηγικόν :–

Ὑπόνοια δειλίας ἐστὶν ὄκνος καὶ ἀργίασις· ὅταν οὖν τοιούτους ἴδῃς τινὰς τῶν στρατιωτῶν καὶ περὶ στρατηγῶν, χώριζε αὐτοὺς τῆς ἀναγκαίας ἐγχειρίσεως τοῦ πολέμου, καὶ δεόντως αὐτοῖς ἐπίτρεπε τὰ ἁρμόζοντα πρᾶξιν ἐν τῷ τοιούτῳ καιρῷ :–

Ἴσθι λίαν ἀσφαλὲς καὶ ἐν καιρῷ ταλαιπωρίας ἔνθα ἂν ὑπάρχῃς πλησίον πολεμίων στρατοπέδου περιβάλλειν φοσσάτῳ δι' ὀρύγματος, ἢ κτίσματος λίθου, ἢ χάρακα διὰ ξύλων, καὶ οὕτως περιεζωσμένον 1021
ποιεῖσθαι τὸν στρατόν· ἐὰν γάρ τι συμβῇ τῶν ἐναντίων καὶ τέλος δὲ τὸ ὀχυρὸν ὑπε-

νόσῳ, οὐκέτι στρατηγικόν:

Ὅταν πολιορκουμένη πόλις παρὰ τῶν πολεμίων ἁλίσκεται, ἀνοίγεσθαι χρὴ μίαν τὰς πύλας ὥστε φεύγειν τοὺς πολλούς, καὶ μὴ χωρεῖν εἰς ἀπόγνωσιν ἔχθραν πρὸς τοὺς πολίτας. ἀναγκαῖα γὰρ εἶναι μόνων κατὰ κράτησιν:

Ὑφόρασιν προδοσίας καὶ ὑπόνοιαν δόσεως τοῖς πολεμίοις κατὰ τῶν προσφευγόντων ἀπὸ τῶν πρὸς αὐτούς, ὥστε αὐτοὺς ἢ ἀπιστεῖν ἢ κτείνειν. ἐὰν γράμματα πέμπῃς καὶ ὡς δῆθεν ἐκπέμποντα τῶν διακομιζόντων τοῖς πολεμίοις ἐγχειρισθῶσιν, ἐν οἷς ὡς συντάξει ὑπομιμνήσκεις τοῖς προσφυγοῦσι καιροὺς προδοσίας συντεθειμένων ἤδη πραγμάτων προδοτῶν. ἐντεῦθεν γὰρ ἢ καταφεύγονται οἱ προσφυγόντες, ἢ ἀπελαθῶσι, καὶ φοβηθέντες πάλιν ὑποστρέψουσι πρὸς τὰ ἴδια:

Καὶ ἑτέρως δὲ τὴν τῶν δειλῶν διάκρισιν ἐν τοῖς ἀναγκαίοις καὶ ἀφνιδίοις ἐγχειρήμασι ποιοῦ. ἐὰν τοὺς ἀρρώστους ἢ τοὺς ἐκλιμένους ἵππους ἀδυνάτους προστάξῃς χωρίζεσθαι ἰδίως. οἱ γὰρ δειλοὶ ἢ ἀρρωστίαν προσποιούμενοι, ἢ τῶν ἵππων ἀσθένειαν, εὐθέως χωρισθήσονται τῶν ἀναγκαίων τοῦ πολέμου ἐγχειρημάτων. τοὺς δὲ τοιούτους ἢ εἰς παραφυλακὴν κάστρου ὡς ἀνεπιτηδείους εἴργεται, ἢ εἰς ἄλλων ὀχυρωμάτων, ἢ εἰς ἑτέρας ἀκινδύνους χρείας διατάξας ἐκπέμψεις, ἵνα μὴ τῇ δειλίᾳ τοὺς ἀνδρείους μολύνωσιν. ἐν δὲ τῆς παρατάξεως ἱσταμένης προστάσσειν διὰ τῶν κηρύκων, ὁ βουλόμενος προβάτης ὑποχωρείτω, καὶ ὁ βουλόμενος ἀντ᾽ ἐκείνου εἰσίτω. οὐ μόνον τοὺς δειλοὺς διαγνώσῃ, ἀλλὰ καὶ τοὺς ἀνδρείους ἀναμαθήσῃ. οἱ μὲν γὰρ δειλοὶ καὶ τὸν ἄρχοντα προδώσουσιν ὑπὲρ τοῦ μὴ κινδυνεύειν. οἱ δὲ ἀνδρεῖοι μετὰ τοῦ ἄρχοντος καὶ τὸ συγκινδυνεύειν αἱρήσονται:

Ἀκμὴν καιροῦ ἐπιτηδείου δέον, μὴ παρούσης ἀνάγκης, καὶ οὕτως ἐκστρατεύειν κατὰ τῶν πολεμίων. ἵνα καὶ σοῦ περὶ τὴν δαπάνην μὴ στενοῦται, καὶ οἱ πολέμιοι πλέον λυπῶνται τῶν καμάτων αὐτῶν χαριζομένων:

Ἱκανὴν δεῖ φυλακὴν περιποιεῖσθαι καὶ μετὰ τὴν τῶν πολεμίων νίκην, καὶ μὴ ἀμελῶς ἔχειν, ἀλλὰ φυλάττεσθαι τὰς αἰφνιδίους ἐπελεύσεις τῶν ἡττηθέντων. οὐ γὰρ ἠρεμεῖ τὸ εὐμετάβολον ἀεί, ἀλλὰ τὴν οἰκείαν ἧτταν πολλάκις ἀναμαχέσασθαι προθυμότεροι γίνονται:

Τῶν ἐναντίων τὰς πρεσβείας ὑποδέχεσθαι οὐδ᾽ ἀκίνδυνον, οὐδ᾽ ἂν πολὺ προέχωσι τῇ δυνάμει. φιλίας γὰρ τρόπῳ παραγίνονται καὶ δόλῳ ἀπρεπῶς ὑπὸ τὰς χεῖρας ἑαυτοὺς τὰς σὰς καταπίπτειν. τὰ οὖν ὅσα ἐπὶ ἑκάστῳ καὶ πρέποντα πέμπεσθαι

λακτέον. εἰ μὴ γὰρ τοῦτο φυλάττηται, ἀπιστοῦσιν οἱ πρέσβεις ἑκάστου ἔθνους τὴν ἑαυτῶν σωτηρίαν, οὐδέποτε πρεσβεύουσιν, καὶ πολλῶν τῶν ἐκ τῆς πρεσβείας ἀγαθῶν τοῖς ἔθνεσι γινομένων ἑκάστοις ἀποστέρησις ἔσται:

Ὅταν πολλὴ δύναμις πόλιν ἢ φρούριον πολιορκῇ, οὐδὲν οὕτω ποιεῖ ἀφύλακτον τὴν στρατοπεδείαν, ὡς τὸ μόνῳ τῷ χάρακι ἢ ταῖς φόσσαις ἀρκεῖσθαι εἰς ἀσφάλειαν. ἀλλὰ καὶ βίγλας ἔχειν ἀσφαλεῖς καὶ παρὰ τὰς πόρτας τῆς πόλεως στρατὸν ἐγκαθέζειν διὰ τὰς ἀπ' αὐτοῖς ἐκ τῶν πορτῶν καταδρομάς. μάλιστα δὲ καὶ τὰς ἐπὶ τῶν ἔξωθεν ποθὲν ὑφορωμένας προσβολάς:

Ὑποπτεύονταί τινες προδόται πολλάκις καὶ παρὰ σοὶ ὄντες, ἵνα δὲ καὶ ἐκ τούτων ὠφέλειαν σεαυτῷ περιποιήσῃ, τὰ ἐναντία ὧν βούλει λέγε πρὸς αὐτούς, ὥστε δι' αὐτῶν ἐξαπατωμένων τῶν πολεμίων εὐχερέστερον κατορθοῦσθαι τὰ βουλεύματα:

Ἄνευ ὠφελείας ἢ ἀνάγκης ἐπί τινι πράγματι οὐδέποτε παρακινδυνευτέον. οἱ γὰρ τοιούτοις ἐπιχειροῦντες κινδύνοις οὐδὲν διαφέρουσιν ἀνθρώπων τῶν ἀπ' ἀγκίστρου δελεαζομένων καὶ διὰ τὴν ὄρεξιν μόνον ὃ ἐὰν τὴν κτῆσιν αὐτοῦ ἔχειν ἀγωνιζομένων:

Γίνου πάντοτε νήφων καὶ ἐγρηγορῶν πρὸς τὰς τῶν πολεμίων ἀντικαταστάσεις, ἅτε μηδὲ τὸν τῆς ἀνοχῆς τοῦ πολέμου καιρὸν ποιεῖσθαι ἀμελείας καιρόν. μηδὲ περὶ καιροῦ εἰρήνης βεβαίας γινομένης καταμελήσῃς, ἀλλὰ πάντοτε τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς φύλαττου καὶ ἀσφαλῶς κατανόει τὸ τούτων ἄπιστον. μετὰ γὰρ τὸ παθεῖν ἡ μεταμέλεια οὐδεμίαν ἔχει ὠφέλειαν:

Ἱκανοὶ γάρ εἰσι καὶ οἱ προσφεύγοντες ἀπὸ τῶν πολεμίων πεμφθῆναι. πίστευε περὶ τῶν ἐρωτωμένων αὐτοῖς, ἀλλὰ μᾶλλον ἀσφαλέστερον ἀναμάνθανε τὰ παρὰ τῶν ἐξ ἐπιδρομῆς ἀθρόως κρατουμένων λεγόμενα. καὶ γὰρ ὅταν ἀμφότερα τά τε παρὰ τῶν αὐτομόλων καὶ τὰ παρὰ τῶν αἰχμαλώτων λεγόμενα συμβαίνῃ ἀλλήλοις, τότε ἀληθὲς μᾶλλον γνώσῃ περὶ ὧν ἐπιζητεῖς:

Οὐδενὶ τρόπῳ οὐδὲ οἱαδήποτε προφάσει τοὺς πρὸς τοὺς πολεμίους ὅρκους παραβῆσαι ποτέ. μέγα γὰρ κακὸν ἐπιορκίας ἔγκλημα· ἐν οἷς γὰρ θεὸς μεσιτεύει, βέβαια χρὴ μένειν τὰ συντεθειμένα. αἰσχρὸν γὰρ Ῥωμαίοις καὶ μάλιστα χριστιανοῖς τῶν ἄλλων ἐθνῶν τὰς οἰκείας πίστεις τηρούντων, τούτους ἀπίστους περὶ τὰ συμφωνούμενα ὑπὸ θεῷ μεσίτῃ ἐλέγχεσθαι:

Ὑπὸ χάρακος ποτὲ ἢ φοσσάτου περιφρουρούμενος ὅτε καλεῖ σε καιρός, μὴ

2

τῷ τοιούτῳ μόνον ὀχυρώματι τὰς ἐλπίδας τῆς σωτηρίας καταπίστευε ὡς ἐν τοίχῳ ὄντι πρὸς περίληψιν, ἀλλὰ μετὰ τοῦ καὶ αὐτοῖς ὅπλοις ἔχειν τὴν πεποίθησιν καὶ μὴ τούτων ἀμελεῖ διὰ τὴν ἄλλην φρουράν. ἐπεὶ Ῥωμαῖος ὑπάρχεις ἀληθῶς. πρώτη γὰρ σωτηρία καὶ τελευταία ἀσφάλεια τοῦ ἀληθινοῦ στρατιώτου ἡ τῶν ὅπλων ἐστὶν ἐπιμέλεια καὶ μεταχείρισις. τὰ δ' ἄλλα καὶ τοῖς χυδαίοις τῶν ὄχλων ἐπινοεῖται. καὶ γὰρ τοῖς πάλαι Ῥωμαίοις κατ' ἀρχὰς ἀντὶ τειχῶν ἡ ῥώμη φύσαν καὶ τὰ ὅπλα ἐξήρκει μάλιστα λέγεται, καὶ Λακεδαιμονίῳ ποτὲ στρατιώτῃ ἐρωτωμένῳ ποῦ οἱ τῆς γῆς ὑμῶν ὅροι, λέγεται εἰπεῖν δείξας τὸ ἐν τῇ χειρὶ κατεχόμενον δόρυ :–

Παρακελεύου τοίνυν τοῖς στρατιώταις οὕτως εἶναι παρεσκευασμένους ἀεί, ὡς καὶ ἐν ἑορτῇ καὶ ἐν ὄρθρῳ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, καὶ ὅταν ἥκιστα καλέσῃ μέλλειν αὐτοὺς ἐξιέναι κατὰ τῶν πολεμίων. διὰ τὸ γὰρ ἐπὶ τὸν τοιοῦτον καιρὸν ἢ ἡμέραν αὐτοὺς εἶναι διαπαντός :–

Νίκης τοι παρὰ θεοῦ ἐν δημοσίᾳ μάχῃ παρεχομένης, ἐὰν συμβῇ τοὺς ἀντιπάλους ἢ ἐν χάρακι ἢ ἐν ἑτέρῳ ὀχυρῷ τόπῳ καταφυγεῖν μὴ ἐνδῷς αὐτοῖς καιρὸν ἀνέσεως· ἀλλὰ τοῦ φόβου νεάζοντος αὐτοῖς ἐπέρχου καὶ ἐπίκειθου ἵνα μὴ τῇ ἐνδόσει ἀσφαλέστεροι γενόμενοι θαρρήσωσι τὴν ἧτταν αὐτῶν ἀναμαχέσασθαι :–

Ἐὰν τινὲς ἱκέται προσφεύγωσιν ἀπὸ τῶν πολεμίων πρός σε, μὴ ὡς ἐπιτυχόντας προσδέχου· πολλάκις γὰρ ὑπὸ τῶν ἐχθρῶν πέμπονται δόλῳ ὡς ἱκέται καὶ τινῶν δεόμενοι, καὶ οὕτως τοῖς δεξαμένοις ἐπιβουλεύουσιν :–

Ὑπονοεῖν δὲ καὶ παραφυλάττειν ἀσφαλῶς τοὺς προσρυομένους ταῖς πολιορκουμέναις ἡμῶν πόλεσιν παρὰ τῶν ἐχθρῶν, διὰ τὸ μὴ παρ' αὐτῶν τινὰ βλάβην ὑποστῆναι· πολλάκις γὰρ ἐμπρησμοὺς ποιοῦσι καὶ τῶν ἔσωθεν αὐτῶν περὶ τοὺς ἐμπρησμοὺς ἀσχολουμένων, ἔξωθεν οἱ πολέμιοι ἀδεέστερον ἐπιτίθενται :–

Μάχης προκειμένης, ἐὰν ἄρα δυνάμει ἀξιόμαχος εἶναι τῶν ἐχθρῶν ὁ στρατηγός, ἐν τῇ ἐκείνων χώρᾳ τὴν μάχην ἐπιτηδεύσῃς· τοῦτο γὰρ μᾶλλον ἁρμόδιον ἤπερ ἐν τῇ ἰδίᾳ. τῶν γὰρ ἐν τῇ πολεμίᾳ γῇ μαχομένων καὶ τὰ φρονήματα μείζονα γίνονται καὶ ὁ ἀγὼν οὐκ ἴσος, οὐχ ὑπὲρ τοῦ ἰδίου ἔθνους μόνου πρόκειται αὐτοῖς ὁ τοῦ πολέμου, ἀλλὰ καὶ ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας. τὸ γὰρ οἴδασιν ὡς ἐὰν μὴ στερρῶς ἀντικαταστάντες εἰς φυγὴν ἐν τῇ πολεμίᾳ

γῇ τὰ πεδίον ἀνέλπιστος αὐτοῖς ἡ σωτηρία γίνεται, ὅπερ ἐν τῇ ἰδίᾳ γῇ πολεμούν-
των αὐτῶν γενέσθαι οὐκ ἀναγκαῖον. καὶ γὰρ καταφυγόντες ἢ πεζοῦσιν ἀκιν-
δύνως σωθῆναι, καὶ ὀχυρωμάτων ἐπιλαβέσθαι ἐν οἷς σωθήσονται. ὥστε
τὸ γενναίως ἀντιστῆναι τοῖς πολεμίοις οἱ στρατιῶται μὴ συγχωρούμενοι
εἰς φυγὴν ἀκίνδυνον σωθήσονται ἐλπίδι:

Δεῖ δὲ πραττέτωσαν οἱ στρατιῶται ὅταν μὴ ὁ πόλεμος ἐνοχλῇ καὶ μὴ ἀργεί-
τωσαν. ἡ γὰρ ἀργία στρατιώταις συντρεφομένη, ταραχῆς ὑπάρχει γεννητική:

Τὸ θεραπεύειν τὸ θεῖον διὰ παντὸς χρεών ἐστι· μάλιστα δὲ τὸν τὸ θεραπεύοντα
στρατηγὸν, τῶν πολεμικῶν κινδύνων ἀπάρχεσθαι μέλλων. ἐὰν γὰρ γνησίως
τὸ θεῖον θεραπεύσῃς, καταθαρρήσεις ἐν τοῖς δεινοῖς ὡς πρὸς φίλον τὸ θεῖον
τὰς ἱκεσίας ποιεῖσθαι καὶ τὴν σωτηρίαν μετὰ παρρησίας ἐπιζητεῖν:

Ὁ συναγρυπνῶν τοῖς στρατιώταις στρατηγὸς καὶ πλέον πονῶν ἐν τῷ γυμνάζεσθαι
τοὺς στρατιώτας, ἥττονα κινδυνεύσει κατὰ τὸν πόλεμον:

Στρατιώτας ἐξάπτειν ἐπὶ μάχην ἀπείρους οὐ δέον, ὧν μὴ πεῖραν εἴλη-
φας τὴν περὶ ἱκανὴν ἐπ' ἀνδρείαν τυγχάνουσαν. ἀλλὰ δεῖ σε γινώσκειν εἰ
δυνατὸν ἕκαστον τῶν στρατιωτῶν ἐν ποίῳ πράγματι καὶ ἐν ποίῳ τάγματι
ἐστὶν ἁρμόδιος, καὶ οὕτως αὐτοὺς διατάττειν:

Ταῦτα μόνα καλῶς βουλευόμεθα κατὰ τῶν πολεμίων ὅσα πρὶν ἢ πράξομεν
ἠγνόησαν ἐκεῖνοι. ἐὰν δὲ τούτων τὴν γνῶσιν λάβωσι ταχέως κατὰ τῶν βουλευ-
μάτων ἡμῶν μεθοδεύουσιν:

Ἢ δόλοις, ἢ ἐπιδρομαῖς, ἢ λιμῷ τοὺς πολεμίους βλάπτειν, καλόν ἐστι καὶ
λυπεῖν αὐτοὺς κατὰ μικρὸν διὰ συχνοτέρων ἐπαγωγῶν καὶ ἐπιδείξεων.
οὐχὶ δὲ πάντως ἐπὶ δημόσιον ἐκκαλεῖσθαι πόλεμον, ἔνθα πολλάκις τὸ
πλέον ὁρῶμεν τῆς τύχης προτέρημα, ἢ τῆς ἐπιδεικνυμένης ἀνδρείας:

Στρατιῶται πρὸς πόνους γυμναζόμενοι προκόπτουσιν εἰς ἀνδρείαν. ἀρ-
γοῦντες δὲ, νωθροὶ καὶ ἀσθενεῖς μᾶλλον γίνονται. διὸ φρόντιζε μὴ ἀργεῖν
αὐτοὺς ἀλλὰ πρὸς τὰς γυμνασίας πονεῖν, καθώς τι καὶ ἐν ἑτέροις διετα-
ξάμεθα:

Ἄδολον μὲν ἐν τοῖς ἄλλοις ἅπασι διαζῆν σε παρακελευόμεθα. ἐν δὲ τοῖς κατὰ
πόλεμον στρατηγήμασι μόνοις καὶ δόλος ὠφέλιμος πολλάκις, ὅταν τοὺς
ἐχθροὺς καὶ πολεμίους ἐξαπατᾶν μέλλῃς δι' αὐτοῦ:

Γίνωσκε καὶ σύγκρινε τάς τε σὰς δυνάμεις καὶ τὰς τῶν πολεμίων ὅπως

ἔχουσι. τοῦτο γὰρ ποιῶν στρατηγὸς καὶ ἀνακρίνων κατὰ μέρος τάς τε τῶν
οἰκείων καὶ τὰς τῶν πολεμίων ἀρετάς, δυσχόλως ἐν τοῖς κατὰ πόλεμον ἔρ-
γοις σφαλήσεται :·~

Ἴσθι ἀκριβῶς ὦ στρατηγέ, ὅτι εὐταξία μᾶλλον καὶ τάξις στρατιωτική· οἴδα-
σιν ἐν πολέμῳ εὐεργετεῖν, ἢ τὸ πλῆθος τῶν μαχομένων ἀνάνδρων ὡς
ἄτακτον :·~

Αἱ τῶν τόπων θέσεις πολλάκις μεγάλα τοὺς μαχομένους ὠφέλησαν, καὶ
γὰρ ἐνίοτε καὶ τοὺς ἀσθενεστέρους καλλίονας ἔδειξαν. διὸ χρή σε μάλιστα
τούτοις τοῖς τόποις ἁρμόζεσθαι πρὸς μάχην, ἐν οἷς ἂν γινώσκῃς τὸν μὲν σὸν
στρατὸν προτερῆσαι, τὸν δὲ τῶν πολεμίων ἡττηθῆναι :·~

Στρατηγοῦ ἀγχίνοια γενναίους τοὺς στρατιώτας ποιεῖ· ἡ μὲν γὰρ φύσις ὀλίγους
ἀνδρείους ἀπογεννᾷ, ἡ δὲ ἐπιμέλεια καὶ γυμνασία σὺν φρονήσει στρατη-
γοῦ γινομένη, πολλοὺς ἀξιοστάτους ἀποδείκνυσι :·~

Καί σοι δοκεῖ δίκαιον εἶναι τὴν ἀρχὴν τοῦ πολέμου. ὁ γὰρ τοῖς ἀδικήσασιν
ἀνταμυνόμενος οὗτος δίκαιός ἐστι καὶ τὴν θεὰν ἔχει δικαιοσύνην, βοηθόν
τε καὶ σύμμαχον κατὰ τῶν ἀδίκων ἐκστρατευόμενος. ὁ δὲ πρῶτος κατάρξας
ἀδικίας παρ' αὐτῆς τῆς δίκης ἀφαιρεῖται τὴν νίκην :·~

Ἀσφαλῶς δίωκε τοὺς πολεμίους μετὰ νίκην ὦ στρατηγέ, καὶ μὴ διεσπαρμέ-
νως ἐπέρχου, μάλιστα συντεταγμένοις ἐκείνοις. ὁ γὰρ τοῦτο ποιῶν, τὴν ἑαυ-
τοῦ νίκην τοῖς πολεμίοις προδίδωσι. καὶ γὰρ αὖθις στρέψαντες ἐν συντάξει
ὡς οἱ ἐχθροὶ κατὰ τῶν ἀσυντάκτως καὶ διεσπαρμένως διωκόντων, ἑαυτοῖς-
του περιγένονται, καὶ πρὸς τὸ ἐναντίον ἀντιστρέφουσι τὴν κατ' αὐτῶν μάχην :·~

Ἰσχύσεις μᾶλλον ὦ στρατηγέ κατὰ τῶν πολεμίων, ὅταν ἀφορμὰς πρὸς τὴν ποι-
ότητα τῶν καιρῶν καὶ τῶν τόπων καὶ τῶν ἀντιμαχομένων ἐχθρῶν. καὶ οὕ-
τως πρὸς τὴν ἑκάστου χρείαν ταῖς οἰκείαις τέχναις καὶ μεθόδοις συμπλέξεται :·~

Οὔτε συνάγειν ὁμοῦ βουλῆς ἕνεκα τὸ στράτευμα πρέπον ἐστίν. οὔτε συνεχῶς
καλεῖν τοὺς στρατηγοὺς πρὸς σεαυτὸν ἀργοῦντας καὶ ὡς μηδὲν ἀσχολου-
μένους ἔτι. ταῦτα γὰρ ἀκαίρου μελέτης καὶ στάσεως αἰτία τοῖς στρατεύ-
μασι γίνεται :·~

Μεγάλη σύνεσις στρατηγοῦ, ὅταν ἄγοιτο τοῖς συμμάχοις μετρίοις εἰς τὴν ἑαυ-
τοῦ χώραν, ἀλλὰ μὴ πλέον τῆς οἰκείας δυνάμεως. τούτοις ἐλάττω μάλι-
στα δυσμενεῖς ποτὲ τοὺς τοιούτους ἔσεσθαι ἡττωμένους, μήποτε συμφο-

νικῶντες ἀνταίρουσι καὶ τῆς χώρας κρατοῦσιν· διὸ εἰς συμμαχίαν ἐκλήθησαν. οἱ γὰρ ἕνεκεν χρημάτων ὑπὲρ τοῦ κινδυνεύειν ἡγούμενοι, τάχα καὶ πλειόνων χρημάτων προϊεμένων ἕνεκεν κατὰ τοῦ προδιακινδυνεύσουσιν:

Ὅταν μὲν τοῖς στρατεύμασι τὰ ἐπιτήδεια καὶ τὰς ἀναγκαίας τροφὰς περιευρέπτοις, τότε καὶ πολεμίων χωρὶς ἡττῶνται· ἡ γὰρ σπάνις καὶ ἔνδεια τῆς δαπάνης καὶ τοὺς στρατιώτας καὶ τοὺς ἵππους ἐκλυθῆναι παρασκευάσει:

Ὅταν τοῖς ἰδίοις καβαλλαρίοις θαρρῇς καὶ μάλιστα τοῖς μετὰ κονταρίων πολεμοῦσι, τοὺς στενοὺς καὶ ἀνωμάλους τόπους ἔκφευγε. ἐπιζήτει δὲ τόπους ὁμαλοὺς καὶ [illegible]· οὗτοι γὰρ δὴ τοῖς οὕτω παραταττομένοις ἁρμόδιοι, καὶ ἐνταῦθα συγκρότει τὸν πόλεμον. εἰ δὲ πεζοῖς θαρρεῖς δυνάμεσιν, ἀνωμάλους καὶ δασεῖς καὶ τραχεῖς ἐπιζήτει τόπους. καὶ ἐν τούτοις ἐπιτήδευε τὴν μάχην:

Ὑπὲρ σεαυτοῦ καὶ τοῦ σοῦ λαοῦ ἐάν τι βουλεύσῃ κατὰ τῶν πολεμίων καὶ τὴν τοιαύτην βουλὴν ἀκούσῃς προδεδομένην αὐτοῖς, καθόλου τὰ βεβουλευμένα· εἴτε τὴν παράταξιν, εἴτε τὰ παραγγελίας, ἢ σχήμασιν ἐναλλάττων ἀφέλκεις:

Οὐ πλείοσι περὶ τῶν μελλόντων πρακτέων βουλεύου. ἐὰν δὲ πράξῃς, συμβούλοις ἐ τούτοις πιστοῖς· ὃ δὲ συμφέρον τοῦ ἴσου τὴν πασῶν καλλίονα βουλὴν κατὰ σεαυτὸν ἐπιλεξάμενος κάτεχε:

Ἵνα δὲ τὸ στράτευμα ἄλυπον διατηρῆται καὶ ἐρρωμένον· δέον σε ἢ πρὸς τὰ ἐπιτήδεια τῆς χώρας τὸ στράτευμα ἀπάγειν, ἢ αὐτὰ τὰ ἐπιτήδεια πρὸς τὸ στράτευμα μετακομίζειν:

Οὐ διὰ σκοπῶν δὲ μόνον περιερευνᾶν τὰς ὁδούς, ἀλλὰ καὶ αὐτὸν εἰ δυνατὸν τὸν στρατηγὸν λαθραίως τοῖς οἰκείοις ὀφθαλμοῖς μετὰ ἀκριβείας ταύτας κατανοεῖν. καὶ οὐ μόνον τὰς ὁδούς, ἀλλ' εἴ τι δυνατὸν καὶ τὸ πλῆθος τῶν ἐπερχομένων πολεμίων καὶ τὴν τάξιν αὐτῶν ἐλὼν ἐγγύθεν διαγνωσκόμενος· δύναται καὶ κατ' αὐτὴν καὶ ὑπὲρ ἑαυτοῦ ἀσφαλῶς τὰ ἐνδεχόμενα ἐπινοεῖν καὶ μεθοδεύειν:

Ὑψηλῇ διανοίᾳ τὴν ἐμπεσοῦσαν ποτὲ δειλίαν τοῖς στρατιώταις ἀνακαλοῦ, καὶ τέχναις διαφόροις εἰς θάρσος τούτους ἐπανάγε· ποτὲ μὲν λόγοις ποτὲ δὲ δώροις ἀνακαλούμενος, καὶ πρὸς εὐθυμίαν μεθέλκου τὴν ἀθυμίαν:

Κ[illegible] καὶ σέβεσθαι τοὺς ἱεροὺς τοῦ θεοῦ ναούς, μάλιστα δὲ καὶ ἐν αὐτοῖς ἀσύλους αὐτοὺς διατηρεῖσθαι εἰς τοὺς ἐν αὐτοῖς προσφεύγοντας· διὰ τοῦτο παραφύλαττε τὸ στρατιωτικόν, καὶ μήτε σὺ αὐτός, μήτε τινὰ ἕτερον καταδέξῃ ἀπὸ θυσιαστηρίου ἀποσπᾶσθαι τινὰ ἱκέτην καθήμενον, ἕως ἂν τὸ δίκαιον αὐτοῦ ἐπιλύσῃ. τοὺς-

δὲ τοὺς τοῦτο τολμῶντας, ὡς ἀσεβεῖς κόλαζε· ἵνα μὴ τὰ θεῖα καταφρονῶνται :—

Ἀπαρτίας ἁπάσης ἐπηρείας καὶ ἀδικίας ἐλεύθερον φύλαττε τὸν ὑπό σε τεταγμένον λαόν· ὅτι τὸ στρατιωτικόν, καὶ ὅτι τῆς λεγομένης ἐξκουσσείας, ἀρκεῖ γὰρ αὐτοῖς τελεῖν τούς τε δημοσίους φόρους καὶ τὰ ἐπικείμενα αὐτοῖς ἀεικά. καὶ μηδὲν πλέον καταβαρεῖσθαι· ἐὰν δὲ ἢ καστροκτισία γένηται ἢ καραβοποιΐα, ἢ γεφύρας ἀνάκτισις, ἢ ὁδοῦ κατάστασις, ἢ ἀνάγκη τις ἑτέρα τῶν δημοσίων διοικήσεων ἐ, οὐκ ἐπαρκεῖ τὸ κατὰ τόπον δημόσιον, διὰ μισθοῦ ταῦτα ἐργάζεσθαι. τότε μετὰ τοῦ δικαίου λόγου καὶ τῆς ἰσότητος ἅπαντες συνελθέτωσαν, καὶ μηδεὶς ἐξκουσεύσθω, μήτε διὰ δώρων, μήτε διὰ φιλίαν τῆς τοιαύτης δουλείας ἀπολιμπανέσθω· ἀλλὰ κατὰ ἀναλογίαν τῆς δυνάμεως αὐτοῦ ἕκαστος καὶ πλούσιος καὶ πένης τὴν δημοσίαν δουλείαν ἐπιτελείτωσαν :—

Ἱερὰ ἔστω τὰ τῶν τελευτώντων ἐν πολέμῳ στρατιωτῶν σώματα· καὶ μάλιστα τῶν ἀριστευσάντων ἐν τῇ ὑπὲρ τῶν χριστιανῶν μάχῃ· καὶ ταῦτα χρεὼν ἐκ παντὸς τρόπου τιμᾶν ὁσίως καὶ ταφῆς ἀξιοῦν, καὶ μνήμης ἀειμνήστου. ἀλλὰ καὶ τὰ τέκνα τούτων καὶ τὰς γυναῖκας καὶ τοὺς ὅλους οἴκους αὐτῶν, δέον τῆς παρὰ τοῦ κοινοῦ ἀπολαύειν ὦ στρατηγὲ καὶ ἐπιμελείας καὶ ἀντιλήψεως· οὕτως γὰρ οἱ στρατιῶται εὔψυχοι καὶ πρόθυμοι πρὸς τοὺς πολεμικοὺς κινδύνους γενήσονται· ἐν ἐκείνοις βλέποντες τί αὐτοῖς συμβήσεται μετὰ τέλος ἐὰν προθύμως ἀριστεύοντες ἀγωνίζωνται :—

Παρασκευῆς τῆς ἐν πολέμοις ὀφειλούσης, μάλιστα μέλει ὦ στρατηγὲ κατὰ τὸν καιρὸν τοῦ χειμῶνος· ἵνα τοῦ ἔαρος ἐπιγενομένου, ἀνυστερήτως καὶ ἀνεμποδίστως τὴν στρατείαν ἐξάγῃς :—

Ῥήμασι προθυμίοις ὁμίλει συνεχῶς τὸ πλῆθος τῶν στρατιωτῶν, ἔτι τε ὁμονοεῖν αὐτοὺς ἐν τῷ καιρῷ τῆς μάχης, καὶ φιλικῶς αὐτοὺς διακεῖσθαι ἐπιτήδευε· ἵνα ἡδέως ὑπὲρ ἀλλήλων συναγωνίζωνται :—

Ὅταν δημοσίως παράταξιν σχηματίζῃς στρατοῦ, ἤτοι πεζῶν ὁμοῦ καὶ καβαλλαρίων· τοὺς μὲν πεζοὺς δεκαπλασίονας κατὰ τὸ πλάτος, ἤτοι ἐπὶ δέκα τὸ βάθος ποιήσεις τοὺς ὀρδίνους· τοὺς δὲ καβαλλαρίους ἐν τάξει ὡς περὶ δύο κέρατα ἔνθεν κἀκεῖθεν πρὸ τῆς παρατάξεως :—

Στρατιωτῶν γνῶναι σὺν δοκιμασίᾳ γίνεται· ἐὰν ἀγνοούντων αὐτῶν ἀθρόον κτύπον τινά, ἤτοι ἦχον μέγαν, ἢ τυμπάνου, ἢ ἑτέρου τινὸς ἐξαισίου προσφέρῃς ἀπροσδοκήτως. τότε γὰρ τοὺς μὴ καταπληττομένους ἀλλὰ θαρροῦντας πρὸς τὸ ἐξαί-

στου κλήρου. ἐκλέγου ὡς σταθηροὺς καὶ ἀνδρείους, ἐξ ὧν καὶ ἄρχοντας καθίστα:

Κατὰ τὸν καιρὸν τοῦ πολέμου δεῖ σε εὐχὰς πρὸς θεὸν καταβάλλεσθαι, καὶ σύμμαχον αὐτὸν καλεῖν· μὴ μέντοι τῶν προκειμένων ἀγώνων καταμελεῖν, ἢ τῶν ὀφειλομένων πράξεων καταλιμπάνειν· σὺν θεῷ γὰρ δεῖ καὶ τὰς χεῖρας κινεῖν, καὶ τὰ ὄργανα παρέχειν ὑπηρετοῦντα· οὔτε γὰρ τοξότης ἐὰν μὴ ἕλκῃ τὸ τόξον ἐστόχασέ ποτε, οὔτε ὁ μὴ μένων, ἀλλὰ φεύγων κρατήσει ποτὲ τῶν ἐχθρῶν· οὔτε ὅλως ὁ μὴ πράξεως ἀρξάμενος εὐπραγήσει· ἀλλ᾽ εὔχεσθαι σε δεῖ τὴν νίκην λαβεῖν τοῦ πολέμου παρὰ θεοῦ· ὁμοῦ δὲ καὶ τὰ ὅπλα κατέχειν. καὶ μαχόμενον σύμμαχον ἐπικαλεῖσθαι τὸ θεῖον:

Ὑπόλενος συνήθως πολλάκις ὁ στρατὸς ἀπὸ συμβόλων ἢ σημείων τινῶν εἰς δειλίαν εἴωθε τρέπεσθαι, ἀλλ᾽ ἐπὰν τοιοῦτόν τι γένηται ἀναζήτησον αὐτὸ καὶ εὑρὼν ἂν μεταλλάξεις αὐτῶν τὴν διάνοιαν διὰ τῆς σῆς ἀγχινοίας μεθερμηνεύων τὰ σύμβολα ὡς ἐνδέχεται· ἵνα δι᾽ ὧν εἰς δειλίαν κατέπεσον, διὰ τούτων εἰς θάρσος αὐτοὺς καὶ ἐλπίδας ἀγαθὰς ἀναστήσεις:

Νίκης φιλοτιμουμένης προθυμότερον πρὸς τὰς μάχας τὸ στράτευμα γίνεται· ἐὰν τοίνυν διά σε τοιαύτης φιλοτιμίας θάρσος ἐμποιήσῃς τοῖς στρατιώταις μετ᾽ εὐτυχίας δὲ καὶ ἀνδρείας ἐπιμελοῦς ἐγχειρήσεις τῆς μάχης, ἤπιζε σὺν θεῷ τὴν φιλοτιμουμένην νίκην παρέσεσθαι:

Ἐάν ποτε καιρὸς ὅτε Σκιπίων Ῥωμαίων ᾑρέθη ἀπὸ ψήφου κοινῆς στρατηγὸς καὶ ἡλικίας ὤν, ὡσεὶ καὶ δέκα τοῦ στρατιωτικοῦ ἀπαρχόμενος ἔργου. παρὼν δὲ τῆς ἀρχῆς ἐκέλευσεν ἀποπέμπεσθαι τοῦ στρατοῦ κραββάτους καὶ τραπέζας καὶ διάφορα ἐκπώματα καὶ τὰ ἄλλα σκεύη πάντα. πλὴν χύτρας χαλκῆς καὶ σουβλίου σιδηροῦ καὶ ποτηρίου. τοῖς ἔχουσι δὲ ἀργυροῦ, τοῖς δ᾽ ἄλλοις ξυλίνου· μὴ λούεσθαι δὲ ἵνα μηδὲ ἀλείφεσθαι μηδὲν ἐκέλευε τοσούτῳ. ἀεὶ σιτεῖσθαι δὲ ὀρθοὺς ἄπυρον βρῶσιν, διαπνοοῦντας δὲ προσφέρεσθαι κρέας, ἢ ὀπτὸν ἢ ἑφθόν. ἀνακλίνεσθαι δὲ ὑπὸ μικρᾶς σκέπης τοὺς ἄρχοντας, καὶ οὕτως τοῦ ὅλου χρόνου τῆς αὐτοῦ στρατηγίας διανύσας. προβάντος ἐν ταῖς στρατηγίαις καὶ ταῖς νίκαις ἐτύγχανε, ἀπεσόβει δὲ καὶ ἀστρολογίας καὶ μάντεις καὶ τὰς ἀπὸ συμβόλων ἢ σημείων δηλώσεις καὶ ὀρνεοσκοπίας, καὶ δι᾽ ὀνείρων μαντείας καὶ τὰς ἄλλας τοιαύτας προγνώσεις τε καὶ κληδόνας. καὶ τὰ ἄλλα ὅσα τῆς ὀφειλομένης προνοίας τοῦ στρατηγοῦ ἀναστέλλουσι. τοῦτον οὖν ἐὰν μιμήσῃ ὦ στρατηγέ καὶ αὐτὸς τῆς ὁμοίας δόξης ἐπιτύχῃς, καὶ τὴν νίκην τε καὶ ἐπι...

ἐπαίνων :—

Τὰ τόξα ὅπλα εἰσὶν εὐπόριστα, ἐν καιρῷ δὲ καὶ μεγάλην ἔχει τὴν ὠφέλειαν. διὸ κηρυττόμενα δεῖ σε διατάξασθαι πᾶσι τοῖς ὑπὸ σὲ καὶ κάστροις καὶ χωρίοις καὶ κωμοπόλεσιν, καὶ ἁπλῶς ἅπασιν. ὥστε τὸν δυνατὸν ἕκαστον ἄνδρα ἴδιον τόξον ἔχειν. εἰ δὲ μή γε κατ' οἶκον ἓν τόξον καὶ σαγίττας μεταξὺ καταρτίζοντα καὶ γυμνάζεσθαι ἐν αὐτοῖς καὶ εἰς δυσχωρίας ἀνωμάλους τόπους καὶ εἰς κλεισούρας καὶ εἰς δάση. οἱ μὲν γὰρ στρατιῶται ἐν τοῖς πολέμοις τούτοις χρήσονται, οἱ δὲ λοιποὶ ἐν τοῖς ἰδίοις τόποις ἐπαρατυχόντων ἐχθρῶν ἀφυλάκτως ἐπιδεσμοῦσι καὶ αὐτῶν. καὶ γὰρ καὶ κατὰ πετρῶν ἀκροβολισμῶν ἱστάμενοι ἄνδρες καὶ ἐν στενοῖς τόποις, καὶ εἰς δάση ὕλης πολλὴν ἐμποιήσουσι τὴν βλάβην τοῖς ἐχθροῖς τοξεύοντες καὶ οὐ ταχέως

Στρατηγὸς δωρολήπτης, πρᾶγμα δεινοῦ καὶ ὀλέθριον τῷ στρατεύματι. διὸ γὰρ τὰ μάλιστα ἐντεῦθεν συμβαίνει κακά. καὶ γὰρ οἱ στρατιῶται λουξουρευόμενοι ἀποθηριοῦνται, καὶ οἱ ἄρχοντες ἄνανδροι περιχαρίζονται ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων νεμομένου τοῦ τῆς δωροληψίας κακοῦ. ἐξ οὗ στράτευμα κατ' ἐχθρῶν ἀνδραγαθεῖν οὐ δύναται :—

Τοὺς κατασκόπους ὀφείλεις σαθροὺς καὶ ὀξεῖς καὶ πιστοὺς καὶ σπουδαίους, δόξαν μᾶλλον καὶ τιμήν, ἢ χρήματα ἀγαπῶντας. οἱ γὰρ τοιοῦτοι ὄντες μηνύουσι τὴν ἀλήθειαν, οἱ δὲ ἀθρόοι τὴν γνώμην καὶ δειλοί. καὶ ὅθεν πρὸς τὴν κλῆσιν

Ἀσφαλῆ καὶ ἰσχυρὰ καὶ ἀπαθῆ ὄντα τὰ ἡμέτερα κατανοεῖν. ἐὰν δὲ παρ' αὐτοῖς κατάσκοπον κρατήσῃς ἐν πολέμου καιρῷ, μὴ κατάσχῃς τοῦτον, ἀλλ' ἔασον ἐλθεῖν ἀπαγγέλλοντα τοῖς πολεμίοις τὰ περὶ τῆς σῆς καταστάσεως, καταπλήξει γὰρ τὰ τῶν

τῶν φρονήματα. ἐὰν δέ τι περί σε γινώσκῃς ἀσθενές, κόλαζε τοῦτον, ἵνα τοῖς πολεμίοις μὴ ἐξείποι τὰ μυστήρια· καὶ τὸ μυστήριον ἢ διάφθειρε, ἢ ἀσφαλῶς ἀλλαχοῦ τοῦτον ἔκπεμπε :—

Δυνατὰ γενέσθαι καὶ μεγάλα βουλόμενος, ἐν βραχυτάτῳ μικροῦ τῇ βουλῇ ἔργου νοῦν τὸ λεγόμενον. ἐπειδὰν δὲ τὴν πρέπουσαν ἐπὶ τοῖς ὅλοις γνώμην, ἐπιτέλει ταχέως τὰ βουλευθέντα χωρὶς ἀναβολῆς· μάλιστα ἐν πολέμου καιρῷ. καὶ γὰρ Ἀλέξανδρόν ποτε τὸν βασιλέα ἐρωτώμενον πῶς ἐν ὀλίγοις ἔτεσι τοσαῦτα καὶ τηλικαῦτα μεγάλα κατώρθωσε πράγματα, λέγεται εἰπεῖν οὐδὲν δεόμενον τῆς σήμερον ὑπερθέμενος εἰς τὴν αὔριον :—

Ὅταν χρεία σοι γένηται συμμάχων, οὐδέποτε τούτους μετὰ τοῦ οἰκείου συμμίγνυε στρατοῦ, μάλιστα ἑτέρας ὑπαρχούσας πίστεως· ἀλλὰ καὶ ἄπληκτα αὐτῶν καὶ τὰς ὁδοιπορείας ἰδιαζούσας γίνεσθαι παρασκεύαζε, καὶ παντελῶς αὐτοῖς ἀπόκρυπτε τὰ στρατηγήματα τῆς σῆς παρατάξεως, ἵνα μὴ ταῦτα γινώσκοντες ἐν καιρῷ ἔχθρας εὐμηχανώτεροι γίνωνται ἐν ταῖς κατὰ τοῦ πολεμικαῖς συμπλοκαῖς· ἀλλὰ μηδὲ πλείονα στρατὸν ἐπὶ τὸ ἴσον τῆς σῆς δυνάμεως, ἵνα μὴ καθὼς καὶ ἐν ἄλλοις [illegible], ἢ εὐκόλως περὶ αὐτῶν ἐπιβουλευθῇς, ἢ τῆς σῆς στρατιᾶς γένωνται :— ἢ αὐτῶν

Στρατηγὸς εἰρήνης ἐπιθυμῶν, εὐτρεπὴς ἔστω πρὸς τὸν πόλεμον. ἐὰν οὖν βούλῃ πτοῆσαι τοὺς πολεμίους, καὶ ἀγωνιᾶν καὶ εἰρήνην αἰτεῖσθαι παρὰ σοῦ ἐθέλειν, ἀεὶ πρὸς τὸν κατ᾽ αὐτῶν πόλεμον σεαυτὸν ἀποδείκνυε· οὕτως γὰρ καὶ δειλιάσουσι καὶ τὴν εἰρήνην ἀσπάσονται :—

Τρυφὴν μηδέποτε φιλήσῃς ὦ στρατηγέ, μάλιστα δὲ ἐν τῷ στρατῷ διάγων· κοινὸς γὰρ ὄλεθρος αὕτη καὶ στρατηγῷ καὶ στρατεύματι γίνεται :—

Οὔτε ἐν ταῖς εὐπραγίαις ἐπαίρεσθαί σε χρεών, οὔτε ἐν ταῖς δυσπραγίαις καταπίπτειν· οὐ γὰρ πρέπον σε τοιοῦτον ὦ στρατηγέ φαίνεσθαι, ἀλλὰ σταθερὸν αἰεὶ πρὸς τὰ τοιαῦτα ἀνεπίγνωστον· τὸ γὰρ ταχέως πρὸς χαρὰν ἐπαίρεσθαι φανερῶς καὶ πρὸς λύπην πάλιν προδήλως καταπίπτειν, ψυχῆς ἐστι μαλακῆς καὶ ἀναξίας στρατηγοῦ :—

Ὑπερβολὴ παντὸς πράγματος οὐκ ἀποδεκτέον ἐστί· διὸ μήτε λίαν φοβερὸς τοῖς ὑπηκόοις ὑπάρχῃς ὦ στρατηγέ, μήτε λίαν ἐπιεικής, ἀμφότερα γὰρ ἀκατάλληλα τῷ στρατηγῷ πρὸς τὸ στράτευμα γίνεται. ὁ μὲν γὰρ πολὺς φόβος μῖσος ἀπογεννᾷ, ἡ δὲ πολλὴ ἐπιείκεια καταφρόνησιν ἐργάζεται· ἄριστον δὲ ἡ τοῦ μέσου διάθεσις ὥστε σύμμετρόν σε εἶναι πρὸς ἀμφότερα, καὶ μήτε τοὺς ὑπεξελθόντας τιμωρ

ταυομένων μετὰ ἀπονοίας ποιεῖσθαι καὶ ἀμέτρου ὀργῆς, μήτε πάλιν παντελῶς ἀφιέναι ἀτιμώρητα· ὥστε εἰς ἀναλγησίαν δοκεῖν προεῖσθαι τὸν ἄρχοντα: ·~

Ἐν πολέμου καιρῷ βουλευέσθω ἐν νυκτὶ τὸ πλεῖον· τὰ δὲ δόξαντα ταῖς βουλαῖς ἐπὶ τὴν μεθημέραν· οὐ γὰρ ὁ αὐτὸς ὀφείλει καιρὸς εἶναι καὶ βουλῆς παραλάξεως: ·~

Νικητὴς καὶ φοβερὸς τοῖς πολεμίοις λογισθήσεται ὁ στρατηγός· οὐχ ὁ ἀπειλεῖν μόνον καὶ ἐγκαυχᾶσθαι κατ' αὐτῶν δυνατός, ἀλλὰ ὁ ταῖς πράξεσιν αὐτοῦ τοὺς λόγους βεβαίους ἀποδεικνύς: ·~

Ὅταν ὀλίγον ἔχῃς στράτευμα, τῶν πολεμίων δὲ εἰς πλῆθος ἐστίν, σπεῦδε καταλαβεῖν μικρότερον χωρίον καὶ στενώτερον καὶ σύμμετρον τῷ σῷ στρατεύματι· τὸ γὰρ πλεῖστον τῶν πολεμίων πλῆθος ἄχρηστον γενήσεται, τοῦ τόπου μὴ ἐπιδεχομένου τὸ πλέον: ·~

Συνθήκας καὶ ἀνοχὰς πολέμου πρὸς τοὺς πολεμίους ποιούμενος· μὴ διὰ ταύτας ἀμελέστερα διάγῃς, ἀλλὰ μᾶλλον μείζοσι καὶ ἀκριβεστέραις περιλάμβανε ταῖς φυλακαῖς τὸ στρατόπεδον καὶ τὴν χώραν· ἐὰν γὰρ παρασπονδῆσαι βουληθῶσιν οἱ πολέμιοι, ἐκεῖνοι μὲν μετὰ τῆς τοῦ θεοῦ δυσμενείας καὶ ἀπιστίας ἕξουσι τὸ ἄπιστον, σὺ δὲ μετὰ τῆς ἀσφαλείας δεχόμενος, ἕξεις τὸ πιστὸν μετὰ τῆς τοῦ θεοῦ βοηθείας· ἀνάξιον γὰρ στρατηγοῦ τὸ λέγειν τοῦτο οὐ προσεδόκων: ·~

Καὶ τοῦτο δέ ἐστι ἀναγκαῖον τῷ στρατηγῷ, πρὸς στρατηγικὴν ἰδιότητα τὸ συλλογίζεσθαι καὶ γινώσκειν ἀκριβῶς ἐκ τῆς πείρας τὸ τῶν πολεμίων στρατόπεδον πόσοι εἰσί· τοῦτο δὲ γίνεται ἐὰν περιγυμνασάμενος γινώσκῃς πόσος ὁ τόπος καὶ πόσους στρατιώτας ἐπιδέχεσθαι δύναται· καὶ ὡς ἐν ἄλλοις ἐστὶ προσθεωρεῖσθαι: ·~

Ἄξιον δέ ἐστι ὥσπερ τὴν εἰρημένην γνῶσιν τῶν πολεμίων στρατοῦ ὀφείλεις ἔχειν οὕτως, καὶ τοὺς πολεμίους λανθάνειν τὸ πλῆθος τῶν σῶν στρατευμάτων. ὅταν δὲ βούλῃ μαθεῖν τοὺς ἐχθροὺς τῆς σῆς δυνάμεως τὸ πλῆθος, πυκνοὺς περιπατεῖν ἢ ἑστάναι παράγγελλε τοὺς στρατιώτας· ἡ γὰρ συνέχεια καὶ σύνταξις σφαλερὰν ποιεῖ τὴν ὅρασιν τῶν πολεμίων, καὶ ἀκριβῶς εἰκάζειν τὸν ἀριθμὸν τῆς σῆς δυνάμεως οὐκ ἐᾷ. ὁμοίως καὶ ἐπὶ τοὐναντίου εἰ βούλει παραδεῖξαι τὴν σὴν δύναμιν πολλὴν ὀλίγην οὖσαν, ἀραιοτέρους καὶ περιπατεῖν καὶ ἵστασθαι τοὺς στρατιώτας ποιήσεις· ἀμφότερα γὰρ ἐν καιρῷ ἰδίῳ γινόμενα καὶ ἐξαγγελόμενα πρὸς ἀπάτην τῶν ἐχθρῶν εὑρίσκεται: ·~

Ἴσης καὶ ὁμοίας οὔσης τῆς τε τῶν πολεμίων παρασκευῆς καὶ τῆς ἡμετέρας.
ὁ καλλίων παραλαμβανόμενος στρατηγὸς, εἴτε σὺ, εἴτε ὁ πολέμιος, μᾶλλον-
πλεονεκτήσει· περιττὴν ἔχων τῆς δυνάμεως τὴν ἐκ τῶν στρατηγημάτων ἢ τάξε-
ων ἰσχύν:

Μὴ πρότερον ἐάσῃς πρὸς σὲ τὴν οἰκείαν δύναμιν τοὺς ἐναντίους ἐκτάξαι, ἀλ-
λὰ σπεῦδε πρότερος ἐκείνων τὴν παράταξιν σὺ διατάξαι. ἐὰν γὰρ πρότε-
ρος φθάσῃς παρατάξασθαι, οὕτως ὡς βούλει κατ' ἐξουσίαν ὡς ἔθιμος πρά-
ξεις. ὁ δὲ πολέμιος οὐδὲ τοῦ καθοπλισθῆναι τάχα λάβοι καιρὸν τὴν σὴν ταχύ-
αν φοβούμενος ἀπελεύσεται:

Οὕτως οὖν ἐὰν προεκτάξῃς καὶ κατὰ τὴν συμβολὴν ἐξ ἑτοίμου τοῖς ἐναντίοις
ἐγχειρήσεις ἀσφαλῶς, θάρσος μὲν γὰρ τῷ στρατεύματι ἐμποιήσεις, δειλίαν δὲ τοῖς
πολεμίοις ἐνθήσεις:

Νόμον ἔχε ἀπαράβατον τὸ πολλὴν ποιεῖσθαι τῶν πληγέντων στρατιωτῶν τὴν πρό-
νοιαν. ἐὰν γὰρ ἀμελήσῃς αὐτῶν, τοὺς λοιποὺς στρατιώτας ἐθελοκακοῦντας ἐν
ταῖς μάχαις καὶ λυπουμένους εὑρήσεις. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ αὐτοὺς
τοὺς τραυματισθέντας καὶ διὰ τὴν ἐπιμέλειαν δυναμένους ἀναρρωσθῆναι, διὰ τὴν ἀθυ-
μίαν ἀπολέσεις:

Ὅταν εἰς φυγὴν τρέψῃς τοὺς πολεμίους ἀπέρχεσθαι εἰς πραίδας· παράγγελλε
τοῖς στρατιώταις ἵνα μὴ περὶ ταύτην διασπειρομένοις καὶ ἐν αὐτῇ ἀσχολουμένοις
ἐπελθόντες οἱ πολέμιοι, ἐπιβουλεύσωσιν αὐτοῖς καὶ διαφθείρωσιν. ἀλλ' οἱ μὲν
στρατιῶται ἐχέτωσαν τῆς διώξεως μετὰ ἀσφαλείας. οἱ δὲ ἐπὶ τῇ συλλογῇ τῶν πραί-
δων τεταγμένοι, οἵτινες καὶ τοὺς τραυματίας στρατιώτας ἐν αὐτῇ τῇ μάχῃ ἀνα-
λέξονται καὶ θεραπεύσωσιν αὐτοὺς κατὰ τῶν τεθνηκότων πολεμίων σκῦλα
συλλέγοντες, καὶ τοῖς δεκάρχαις παραδιδόντες. ὡς καὶ ἐν ἄλλοις ἡμῖν εἴρη-
ται παραφυλάξουσιν αὐτά. ὥστε διαμερισθῆναι ἐξ ἴσου κατὰ τὸν περὶ αὐτῶν
ὁρισθέντα τύπον:

Ὑποπτεύων στρατηγὸς συχνότερον τὰ τῶν πολεμίων ἐπιτηδεύματα ἀσφαλής
μὲν δοκεῖ κατὰ τὸν πόλεμον, καὶ τὴν ἄλλην αὐτοῦ διαγωγὴν ἀναδει-
χθῆναι:

Ἁμάρτημα στρατηγοῦ μέγιστον οἶδα τὸ μιᾷ μάχῃ φθαρῆναι τὸ πολὺ τοῦ στρα-
τεύματος. ἐὰν γὰρ νουνεχῶς τὴν κατὰ τῶν πολεμίων ποιήσηται παράταξιν
καὶ εὐφρονίμως περιστρέφεται. κἂν συμβῇ τι πταῖσμα περὶ τὸ ἑαυτοῦ στρα-

τοῦ, ἢ ἀσφαλῶς ἀναχωρῆσαι, ἢ ταχέως τὴν ἧτταν ἀνακαλέσασθαι :-

Λυπεῖ τοὺς πολεμίους ἡ μετὰ εὐταξίας καὶ ἁρμοδίως παρὰ τῶν ἰδίων γινομένη παράταξις· καὶ οὕτως φυλαττομένη ἐν ὅλῳ τῷ τῆς μάχης καιρῷ. μέγιστον γὰρ ἐν παρατάξει κεφάλαιον καὶ πρὸς σωτηρίαν βέβαιον τὸ φυλάττειν τοὺς μαχομένους τὴν τάξιν αὐτῶν καὶ μεταξὺ διαστήματα :-

Ἥλιον καὶ ἀνέμους καὶ κονιορτὸν ὄπισθεν ἔχειν ποίει τοῦ σοῦ στρατεύματος· κατὰ πρόσωπον δὲ τῶν πολεμίων· τοῦτο γὰρ πάνυ συμφέρον εὑρήσεις· οἱ γὰρ πολέμιοι τὴν ὅρασιν συμφθειρόμενοι, ἢ τὴν ἀναπνοὴν ἐπεχόμενοι καὶ κραδαινόμενοι, ἢ παρὰ τοῦ ἀνέμου ὠθούμενοι ταχέως παραδοῦσι τὴν νίκην :-

Θρασὺν ὄντα τὸν πολέμιον ὁ στρατηγὸς, εἰς ἄκαιρον προπέτειαν ἐκκαλεῖται ματαίας κινήσεις· ἐὰν δὲ ἔσται δειλὸς ἐν ταχείαις αὐτὸν ἐπελεύσεσι καὶ συνεχέσι καταπλήττε· δεῖ γάρ σε γινώσκειν τοῦ στρατηγοῦ τῶν πολεμίων τὴν διάθεσιν, καὶ πρὸς ταύτην κεχρῆσθαι τοῖς στρατηγήμασιν :-

Ἱκανὸς ὢν ἐν τῷ λέγειν ὁ στρατηγὸς, καὶ τοὺς δειλιῶντας πολλάκις εἰς μάχην ἀναστήσει· καὶ τὰς ἐν τοῖς στρατοπέδοις συμφορὰς εὐκόλως παραμυθήσει, καὶ τοὺς ἀνδρείους μᾶλλον ἐπιρρώσει· καὶ πολλῶν ἀγαθῶν διὰ τῆς σῆς ἐμφρόνου δημηγορίας τὸ ὑπήκοον στρατὸν ἀναπλήσει :-

Νήφειν ὀφείλει καὶ λίαν ὑπάρχειν ἐγρήγορος· καὶ μᾶλλον τῶν ἄλλων στρατιωτῶν τῶν πολεμικῶν μετέχειν πόνων ὁ στρατηγὸς, ὀλίγου δὲ τοῦ κέρδους· οὕτως γὰρ καὶ τὴν παρὰ πάντων εὔνοιαν μετὰ δόξης κτήσεται, καὶ φιλούμενος ὑπ' αὐτῶν συναγωνιζομένους τοὺς προθύμως ἐν τοῖς κινδύνοις ἕξει :-

Ὅταν τὴν νίκην ἢ τὸ τέλος παράσχῃ ἐπελθεῖν ὁ πολέμιος εἰρήνην ἐπαγγέλλῃ, μὴ γίνου ἀνακαμπτὴς ἀλλ' ὑπόπτευε τοὺς ὡς εἰρήνης ἔννοιαν τῶν πολεμίων καὶ τῆς τύχης ἄδηλον :-

Ὑπομιμνήσκου ἀεὶ καὶ τῶν παλαιοῖς εἰρημένων περὶ τῆς τοῦ βασιλέως στρατηγέ· ὅτι μᾶλλον τὴν ἐπιμέλειαν καὶ πρόνοιαν τῶν ὅπλων χρειώδη ποιεῖσθαι, ἤπερ τῶν ἐπιτηδείων περὶ τὰ ὅπλα· οἶδας γὰρ ὅτι τὰ ἐπιτήδεια καὶ διὰ ἁρπαγὰς καὶ τὰ ἄλλα ἀπὸ τῆς χώρας τῶν πολεμίων ποριεῖσθαι δύναται· εἰ δὲ ὅπλων χρεία ἢ τούτων ἐπιλιπόντων τοῖς ἀγωνιζομένοις, οὐ κρατήσεις τῶν δυσμενῶν :-

Θαρσαλέως ἀναφωνὴ τοῦ μεγαλοφώνου στρατεύματος καὶ ἐπιτηδεύουσα πρὸς ἀγαθούς, καταπλήξει πάντως τὴν τῶν πολεμίων παράταξιν :-

Ἐὰν εὐπληθῆ ἔχωσιν οἱ πολέμιοι πεποίθασιν ἐν εὐρυτέροις ἀέρας ἐπιτηρεῖν
διὰ τὸ ἀπράκτως γίνεσθαι τὰ τόξα· οὕτως γὰρ τὴν πρὸς τοὺς ἐναντίους ποιούμε-
νος συμπλοκήν, ἐπικαταφρονοῦντα αὐτῶν καταστήσεις τὰ τέλη :-

Ὁ ταῖς οἰκείαις καλλωπιζόμενος πράξεσι στρατηγὸς ἐκεῖνος ἐστὶν ἄριστος, ἀλλ' οὐχ
ὁ ἀπὸ γένους λαμπρός· ὥσπερ οὐ χρυσῆ λόγχη χρησίμη πρὸς πόλεμον,
ἀλλὰ σιδηρᾶ καὶ ἄκρως ἠκονημένη :-

Ὑψηλὸς τὴν διάνοιαν λογισθήσῃ, ὅταν οὐ τὰ παρόντα μόνον καὶ προσπίπτοντα
διοικῇς ὀρθῶς ὦ στρατηγέ, ἀλλ' ὅταν καὶ τῶν μελλόντων τὴν δέουσαν ποιήσῃς καὶ
φροντίδα καὶ πρόνοιαν :-

Ἡδονῆς κρατεῖν καὶ ἐν παντὶ καιρῷ ἄριστον ἐστίν· στρατηγῷ δὲ μάλιστα ἐν πολέ-
μου καιρῷ λίαν ὑπάρχει τοῦτο χρησιμώτατον :-

Μὴ ἐκ μάχης ἐπικινδύνου καὶ πολλὴν ἐχούσης ἀδηλίαν ἑκουσίως ἀπάρχου.
μηδὲ τοῖς παραβόλοις μᾶλλον ἢ ἐπιβούλοις χρωμένοις πολλάκις τοῖς πράγ-
μασι καὶ θαυμασθεῖσι διὰ τέχνην· μηδὲ τοὺς τοιούτους καταδέχου, ἀλλὰ τὴν
χρηματεύονται πολέμου· τοὺς δὲ πολεμίους ὑποδέχου μετὰ ἀσφαλείας. ταῖς δὲ οἰ-
κείαις ἐπιβουλαῖς ὅταν δοκιμάσῃς εἶναι τὸ χρήσιμον καὶ συμφέρον ἑκάστο-
τε κέχρησο. τύχη μὲν γὰρ ἅπαξ ἐνίκησε καὶ πολλάκις ἔπταισε· στρατηγία δὲ δια-
φόροις τέχναις κεχρημένη, πολλάκις μὲν ἐνίκησε πρὸς τὸ ἅπαξ δὲ ἴσως ἔ-
πταισεν :-

Ὠλέσεις τοὺς ὑπηκόους ὦ στρατηγέ, ἐὰν ὑπάρχῃς χρημάτων ἐραστὴς καὶ οὐ
μόνον τοῖς οἰκείοις ὀλέθριος ὑπάρξεις φιλοχρήματος ὤν, ἀλλὰ καὶ τοῖς πολε-
μίοις γενήσῃ εὐκαταφρόνητος :-

Νουνεχῶς ἐπίβαλλε καὶ μετὰ πολλῆς συζητήσεως τοῖς πολεμικοῖς ἔργοις. ἐν μὲν γὰρ
τοῖς λοιποῖς πράγμασι πταίσας τις μετ' ὀλίγον, ἴσως τὸ πταῖσμα ἐπανορθώ-
σασθαι δύναται· ἐν δὲ τοῖς κατὰ πόλεμον ἁμαρτήμασιν ἡ βλάβη μένει. οἱ γὰρ
τεθνηκότες διεφθάρησαν :-

Λογίζου καὶ καταμάνθανε τὸ ἄπληκτον χωρίον ὦ στρατηγέ. ἐὰν ἐστὶν ὑγιεινὸν καὶ
σειον, ἢ νοσερὸν καὶ τοῖς οἰκείοις πολέμιον καὶ αὐτὰς δὲ τὰς ἐπιτηδείους χρεί-
ας ὕδωρ καὶ ξύλα καὶ χόρτον ἐὰν πλησίον εἰσίν. εἰ γὰρ πόρρωθεν εἰσί, δυ-
σχερής ἐστι καὶ ἐπικίνδυνος ἡ τούτων συγκομιδή. καὶ μάλιστα πολεμί-
ων ἐπικειμένων, καὶ βοσκὸν δὲ ἱκανὸν δέον παραλαβεῖν ἵνα ὅταν τύχῃ ἐ-
πὶ τοῦτον ἀμελήσῃς πρὸ τοῦ φθάσαντες καταλάβωσιν αὐτὸν οἱ πολέμιοι :-

Ἐὰν πολέμιοι περὶ τὰ ἀκίνδυνα τύχωσιν ὦ στρατηγέ, καὶ προσποιηθῇς πρὸς αὐτοὺς ἐναντία ὧν ἐλπίζουσιν, οὐ μικρὰ ὠφελήσεις. δόξας γὰρ ἐνίοτε χάρακα πλατύνειν, ἢ ἐπὶ τὴν κύκλωσιν ἐγχείρημα καὶ διὰ ταύτης δόξης εἰς ὁλοσχερῆ πρᾶξιν τοὺς ἐναντίους παρορμήσας, δυνάσῃ συντεταγμένος αὐτοῖς διεσκεδασμένοις ἐκείνοις ἐς τὰ ἐπιτήδεια συντόμως ἐπιπεσεῖν. ἢ ἐὰν καὶ τοῦτο συμβῇ ἐκ τούτου δυσχερῶν ἀκινδύνως ἀπαλλάξεις τὸ στράτευμα:·

Ὥσπερ ἀγαθοῦ παλαιστοῦ, οὕτως δὲ ἐν ταῖς πράξεσι τοῦ στρατηγοῦ δεινότης ἐλέγχεται καὶ ἀγαθὸν τοῦτο πειρᾶσθαι τοὺς ἐναντίους ἐξαπατᾶν. κεχρῆσθαι δὲ τοῖς ἁρμόζουσι τῷ καιρῷ, καὶ οἷς καὶ τῶν μαχομένων πολεμίων κρατήσεις:·

Νίκης καὶ ἥττης ἀμφοτέρων ἐν ἀδήλῳ κειμένων, ἄριστος καὶ σοφὸς λογισθήσῃ στρατηγός, καὶ ἐν πολέμοις καὶ ἐν πάσῃ τῇ κατ' ἐχθρῶν ἐγχειρήσει. ἐὰν πρὸς δευτέραν τύχην καὶ ἐναντίαν ἔκβασιν ἀποβλέπῃς καὶ ὡς αὐτῆς προούσης. εἰ γὰρ τοιοῦτο συμβῇ ἐναντίον, ἑτοίμως πρὸς τὴν σωτηρίαν φροντίσῃς:·

Ἀσφαλὴς στρατηγὸς οὐ μόνον τὰ εἰκότα γίνεσθαι ἐν τοῖς κινδύνοις διδάσκεται, ἀλλὰ καὶ τὰ παράδοξα λογιζόμενος τὴν περὶ αὐτῶν ποιήσεται πρόνοιαν:· ἰδὼν τὸν περὶ σὲ ἀρχόντων πολλὰ πράττων ἀνάξια καὶ φαῦλα, εὑρεθῇ, μηδὲ περὶ μικρῶν καὶ τῶν τυχόντων πραγμάτων αὐτῷ καταπιστεύσῃς:·

Ἰστέον γὰρ ὅτι τοιούτους ὀφείλεις παραβάλλεσθαι ἄρχοντας, οἵτινες τῶν ὑπὸ χεῖρα αὐτῶν κρείττονες ἔσονται. φιλοῦσι γὰρ ἀεὶ τὰ φρονήματα τῶν ἀρχομένων συνδιατίθεσθαι τοῖς ἄρχουσιν. οὕτως γὰρ ὁ ἀρχαῖος πληρωθήσεται λόγος μὴ ἐλάφους ἄρχειν λεόντων, ἀλλὰ λέοντας ἐλάφων:·

Ῥωμαλέον καταστήσεις τὸ στράτευμα. ἐὰν τῷ τῆς ἀνοχῆς τοῦ πολέμου καιρῷ εἰς ἄσκησιν καὶ γυμνασίαν τῶν κατὰ πόλεμον ἔργων ἀφοσιώσῃ. τότε γὰρ ἐν καιρῷ πολεμικῶν ἀγώνων οὐκ ἔστι μελετᾶν, ἀλλ' ἐπίδειξιν τῆς ἀνδραγαθίας παραστῆσαι:·

Ἡ μελέτη τε τῶν ἀναγκαίων πραγμάτων ἠρεμοῦντος τοῦ γινέσθω. καὶ μὴ πρότερον εἰς ὕπνον τρέπου πρὶν ἂν κατανοήσῃς τί σε ἔδει πεπραχθῆναι. καὶ τοῦτο παρέλιπες, τί δὲ εἰς τὴν αὔριον πραχθῆναι καλόν, ἐκ τούτου ταχέως ἀπάρξῃ:·

Νομισθήσῃ κοῦφος καὶ εὐκαταφρόνητος τοῖς ἐντυγχάνουσιν. ἐὰν πρὸ χρέους πιστεύῃς τοῖς ὑποσχομένοις τὰ τῶν ἐχθρῶν πράξειν, ἐὰν δὲ ἐξετάζων καὶ γυμνάζων τὸ πρᾶγμα φανῇς, αἰσθόμενος ἕκαστος τῶν φαύλων τὴν σὴν ἀκρίβειαν καὶ ἀγχίνοιαν, οὐδέν τι πρὸς ἀπάτην ἐπιτολμήσει, ἀλλὰ καὶ

θαυμάζουσι τοὺς στρατηγοὺς οἱ ὑποχείριοι, καὶ τὰς ἀληθεῖς οὐκ ἀστοχοῦσι :–

Ἴσθι ὅτι ἡ μετὰ λογισμοῦ κατὰ πολεμίων ἔφοδος ἀσφάλειαν ἔχει πολλήν· οἱ γὰρ ὀξεῖς καὶ προπετεῖς στρατηγοί, ὡς ἡ πεῖρα ἔδειξεν, πλεῖστα διαμαρτάνουσι :–

Κοινωνοὺς ποιοῦ ὀλίγους τὰ βουλεύματα λανθάνειν θέλεις τοὺς πολεμίους· ἐὰν γὰρ τοῖς πολλοῖς τῶν οἰκείων ταῦτα θαρρήσῃς, δύσκολον ἐγκρυβῆναι λαθραίαν βουλὴν πολλοῖς χείλεσι πεπιστευμένοις :–

Ὁρμὴν ἑκάστου καὶ κίνησιν καὶ ἄρχοντος καὶ στρατιώτου δεῖ γινώσκειν τὸν στρατηγόν, καὶ πρὸς ὁποίαν ἕκαστος πρᾶξιν ἁρμόδιός ἐστιν· ἵνα ἕκαστον δεόντως ἐκτάξῃς ὡς ἔοικε· τὸ γὰρ ἀγνοεῖν ταῦτα ἀνωμάλους ποιεῖται τὰς παρατάξεις :–

Στρατηγὸς ἀγαθὸς εἰκὼν γίνεται τῶν πρακτέων τοῖς ὑποχειρίοις αὐτοῦ, καὶ ὁ φαῦλος ὁμοίως· σὺ οὖν τῆς ἡμετέρας βασιλείας δεχόμενος τὴν παραίνεσιν, ὡς στρατηγὸς ἀγαθὸς γενοῦ τοῖς ὑπηκόοις εἰκών, καὶ ἀεὶ γυμναζόμενος καὶ ποιῶν ἀπρεπῶν ἀπεχόμενος δὲ ὅλως τοὺς στρατιώτας καὶ πάντας τοὺς ὑπὸ σὲ τεταγμένους ἀπέχεσθαι χειρίστων :–

Ἔνδοξον τὸ πρᾶγμα καὶ λίαν ὀνήσιμόν ἐστιν ἡ στρατηγικὴ ἐπιστήμη· καὶ γὰρ ἄνευ μάχης πολλάκις νικᾷ τοὺς πολεμίους· ταύτης οὖν ἐπιμελεῖσθαί σε χρὴ καὶ διὰ ταύτης τοὺς ἐχθροὺς ἄνευ φανεροῦ πολέμου ἧτταν τῶν ἐναντίων ποιεῖσθαι· ὅταν δὲ ἀνάγκη ταύτην μὴ ἐνεργεῖν, τότε διὰ τῆς τῶν σωμάτων ῥώμης παρακινδυνεύειν ἀναγκαῖον καὶ μάχῃ πρὸς τοὺς πολεμίους διαγωνίζεσθαι :–

Νεάζειν ὀφείλει ὁ στρατηγὸς καὶ τῇ ῥώμῃ τοῦ σώματος διὰ τῆς στρατηγικῆς τέχνης ὀφείλει θαυμάζεσθαι ἴσως τῶν ἐπιτηδευμάτων αὐτῆς. ἔθος γὰρ ἐστὶ παλαιὸν ὥστε τοὺς μέλλοντας στρατηγεῖν οὐ μόνον ἀπὸ ἔθνους καὶ γένους ἕλκειν τὴν συγγένειαν ἐν ταῖς νίκαις λαμπρυνομένου, ἀλλὰ καὶ τοῖς πᾶσι πράγμασιν ἄξιον αὐτοῦ τοῦ ὀνόματος εἶναι τῆς νίκης σημαντικοῦ :–

Χρήσιμον τὸ στρατήγημα διατίθεμαι, καὶ τοῦτο ὅπερ ἀναγνοὺς ἀνέμαθον· ἵνα ἐάν ποτε συμβῇ τινα μέλλειν πρὸς πολεμίους πλεονάζουσαν δύναμιν ἔχοντας διαγωνίζεσθαι, καὶ βούλεται πρὸς αὐτοὺς μὴ συνάπτειν πόλεμον, ἀλλὰ ἀκινδύνως ἐπιζητεῖν ἐπιτήδευμα· ἐὰν παράκειται ποταμὸς καὶ τοῦτον ἐπιστρέψας ὕπαγαγε τοῖς πολεμίοις κατὰ τοῦ πεδίου ἔνθα ἡ παράταξις πρόκειται, καὶ οὕτως τὸν μέλλοντα πόλεμον ἀνενέργητον ποιήσεις :–

Ῥᾳδίως ἀναστέλλει βουλὴν πολεμίων ὁ στρατηγός, ἐὰν καὶ αὐτὸς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν κρατῇ ὑποχειρίους γενομένου, καὶ οἱ πολέμιοι δὲ τῆς ἰσχυρ

κρατοῦντος κατὰ τὸν αὐτὸν καιρὸν ἢ ἑτέρων παραλιμνίων τόπων ἐκστρατεύειν βουλεύονται. ἐὰν γὰρ φθάσῃ ὁ καὶ αὐτὸς διὰ τῆς ἠπείρου βούλεται κατ᾽ αὐτῶν στρατεῦσαι, καταπλήξει αὐτοὺς καὶ ἀναστελεῖ τῆς κατὰ θάλασσαν ἐγχειρήσεως :–

Ἴσθι εὐσεβὲς εἶναι πρᾶγμα, στρατηγέ, καὶ λίαν ἐνδοξότατον τὸ ἐν ταῖς ἀναγκαίαις καὶ κοιναῖς χρείαις μηδέποτε ἰδίας μιμνήσκεσθαι ἔχθρας μηδὲ ὑπόνοιαν ἰδίαν ἐμποδίζεσθαι τὰ δέοντα γίνεσθαι, ἀλλὰ ἐν ταῖς τῶν κοινῶν προνοίαις τὰ τοιαῦτα πάντα καταλύεσθαι καὶ περὶ προσώπων καὶ περὶ πραγμάτων … σιμον ἀποβλέπειν καὶ τοῦτο πράττειν. ἡ γὰρ τοιαύτη αἰτία πολλάκις παρορωμένη μεγάλας βλάβας πολλάκις ἐποίησεν :–

Σοφιζόμενος, ὦ στρατηγέ, χρὴ ὅσα καλοῖς ὠφελήσεις τὰ μάλιστα. ἐὰν γὰρ διά τινος ἐπινοίας προνοήσῃς τὰ μέλλοντα γίνεσθαι, καὶ μάλιστα ἐπὶ ἄστρων ἐπιβολῆς, καὶ ταῦτα προείπῃς ὅτι ἐπ᾽ ἀγαθῇ σημασίᾳ μέλλουσι γίνεσθαι ὑπὲρ τῶν παρὰ σοῦ ἐγχειρουμένων πραγμάτων, ἐπιρρωννύονται οἱ ὑπὸ σὲ στρατιῶται, ὥσπερ ἀπὸ θείου ἐπιβολῆς ἵνα σημαίνουσιν αὐτοῖς ἀγαθὰ ὑποδεχόμενοι, καὶ θαρραλέοι ἔσονται κατὰ τῶν πολεμίων :–

Τοὺς παρὰ σοῦ ἐν ὁμαλῷ καὶ πεδινῷ τόπῳ ποτὲ παραταξομένους πεζοὺς ἀνόπλους πρὸς καβαλλαρίους ἐχθρῶν μηδέποτε ἐάσῃς κἂν πολλὴν ἀνάγκην ὑποστῶσι καταλιπόντας τὴν παράταξιν ἐκφεύγειν. μενόντων γὰρ αὐτῶν, πολλαὶ σωτηρίαι καὶ ἐλπίδες. φευγόντων δέ, οὐδεμία σωτηρίας ἐλπίς, πεζῶν διασκορπισθέντων καὶ ὑπὸ καβαλλαρίων διωκομένων :–

Ὥσπερ τὸ ζῆν ἡδέως ἐπιθυμητόν, οὕτως καὶ τὸν κατὰ πόλεμον κίνδυνον τοὺς στρατιώτας προθύμως ἀπάρχεσθαι χρεωστεῖν. ἐκεῖνοι γὰρ ἴσασι τὸ ζῆν ἡδέως οἱ αἴτιοι. τότε γὰρ τὰ κατορθώματα πολέμου ἀληθῶς γινώσκεται, ἡνίκα τοῦτο τὸ ζῆν … καὶ εἰρηνικὸν ἀπὸ τῶν πολεμίων πορίζουσιν :–

Ἀπονώτερον διὰ ἐφόδων αἱρέσεις καὶ κάστρα ποτὲ καὶ χωρία τῶν πολεμίων. διὰ μὲν τῆς ξηρᾶς ἐὰν αἰχμαλωτίσῃς τοὺς σοὺς στρατιώτας ὁμοίως τοῖς ἐν χωρίοις. διὰ δὲ θαλάσσης ἐὰν ποτὲ ναυμαχεῖν φθάσῃς τὰ πλοῖα τῶν πολεμίων κρατῆσαι, ἢ ἕτερα ὅμοια ἐκείνων κατασκευάσαι καὶ τούτοις τοὺς σοὺς στρατιώτας ἐμβιβάσαι καὶ τῇ τῶν πολεμίων σημαίᾳ αὐταῖς καταπλεῦσαι. οὕτως γὰρ ὡς φιλίαις ταῖς ναυσὶ προσέχοντες οἱ ἐναντίοι οὐ φεύξονται, καὶ εὐχερέστερον ἁλωθήσονται :–

χὴν ἀγρυπνίας οἱ σκοποὶ τηρῶσι· ἀκριβὴς γὰρ αὐτῶν γένοιτο καὶ πάννυχος παραφυλακὴ, εἴτε φρουρᾶς τοῦ ὑπὸ βίγλας φυλαττομένου. Ἐὰν δέ πως ὁ μέλλων κατὰ διαφόρους οὓς θέλω καιροὺς ἀνάπτειν λαμπτῆρας εἰς τὸ πλεῖον τοῦ τόπου, ἵνα καὶ οἱ φύλακες πρὸς ἕκαστον τῶν παρὰ τοῦ λαμπτήρων ἀντανέχουσι καὶ διακινοῦσιν ἰδίους λαμπτῆρας· οὕτως γὰρ τὴν ὥραν τῆς νυκτὸς ἀναλάμψαντες ἀγνοοῦντες καὶ ἐκδεχόμενοι διαπαντὸς ἐγρηγορῶσιν, καὶ ἀποσκοποῦσι τὰς βίγλας αὐτῶν παρασκευάζουσιν· εἰ δέ τινες ἐφησυχάζουσιν ἀδεῶς ἐγκαθεύδονται:

Τὸ φυλάττεσθαι τὰς ἐξ ἀπονοίας μάχας τῶν πολεμίων, ἔμφρονός ἐστι στρατηγοῦ· ἡ γὰρ ἀπόνοια τὴν ἀνάγκην ἔχο καὶ ἀνδρείους τοὺς μαχομένους ποιεῖ· ἀπόνοια δὲ ἐστιν ὅταν τῆς σωτηρίας ἐλπίδα εὑρεῖν μὴ δυνάμενος πρὸς τὸ ἐναντίον, ὥστε ἢ νικῆσαι ἢ ἀποθανεῖν. Ἐὰν δὲ στρατοπεδεύῃς κατέναντι πολεμίων καὶ ὁ ἄνεμος ἐστὶ πρὸς αὐτοὺς ἐπερχόμενος, ἐμπρήσεις τὸν ἀπὸ τῆς γῆς ἀναφυέντα χόρτον ἵνα πρὸς αὐτοὺς ἐπερχόμενον τὸ πῦρ ἐκείνοις αἴτιον γένηται:

Ὅταν μέλλῃς κατὰ χωρίου τινὸς τῶν πολεμίων ἔφοδον ποιεῖσθαι περὶ τὸ αὐτὸ ἑτοίμασον μάλα διάφορα ἄλλα ἀλλαχοῦ κατάστησον διὰ τῆς νυκτός· οὕτως γὰρ διαφόρως προσβαλὼν καὶ πλέον θορυβήσεις καὶ διεσκορπισμένους ἐπιξενώσεις τοὺς ἀγωνιζομένους· καὶ τοῦτο δέ σοι προστίθημι ἵνα ἐν ταῖς βιαίαις κατὰ χώραν ἀθλήσεσι ἐπικελεύσῃς τριβόλους σιδηροῦς νυκτὸς διαρρίπτεις ἐν κύκλῳ· τοὺς δὲ πεζοὺς τοῦ σοῦ στρατεύματος προστάξεις ἤτοι ξύλινα ἴχνη αὐτίκα συμμαθόντες ἔχειν τὰ ὑποδήματα· οὕτως γὰρ ἐὰν καί τινες βουληθῶσιν ἢ πεζοὶ ἢ καβαλλάριοι ἀμύνασθαι τοῖς τριβόλοις ἐμπεσόντες κωλυθήσονται· οἱ δὲ σοὶ πεζοὶ τὸ οἰκεῖον ἔργον ἀνύσουσιν:

Κτῆμα κάκιον ἡ ἀφροσύνη καὶ στρατηγῷ καὶ στρατεύματι, ὥσπερ ἡ πορνεία ἐναντίον καὶ ὀλέθριον· καὶ μάλιστα ἐν αἰχμαλώτοις γυναιξὶ γινομένη εἰς τὴν μάχαν ζημία γίνονται· μιᾶς γὰρ γυναικὸς αἰχμαλώτου πορνεία ὅλον τὸ στρατόπεδον τῶν νενικηκότων μικροῦ διέφθειρεν. Εἰ μὴ ἐστι Φινεὲς καὶ ἐκκεντήσας τοὺς ἁμαρτάνοντας καὶ θανατώσας ἐξιλάσατο καὶ ἐκόπασεν ἡ θραῦσις καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην:

Ῥώμην ἐντίθησι τοῖς στρατιώταις ἐν ἡμέρᾳ πολέμου. Ἐὰν ἐξαναστὰς ἔνθεν ὡς ἀπὸ θυσίας ὀφθέντα ὀνείρου ἐπιφημίσῃς, ἢ ὡς ἀπό τινος θείας δυνάμεως προτρεπούσης ἐπελθεῖν κατὰ τῶν πολεμίων καὶ ἐπιφανεῖσαι κατὰ τῶν πο-

M.

πρὸς συμμαχίαν :—

Ὑπὸ χρημάτων πολλάκις καὶ ἄνευ πολέμου κατορθώσεις κατὰ πολεμίων τὴν νίκην. διὰ τῶν ἑτέρων πολεμίων αὐτοῖς που παρακειμένων, τούτους χρήμασι πείσας πολεμεῖν τοῖς ἐναντίοις ποιήσῃς. ἢ γὰρ ἀλλήλους φθείρουσιν, ἢ τὸ σὸν μέρος ἐπικρατεῖ. πολλοὺς ἀρίστους ἀποβαλεῖν ἔδει κατὰ τὴν μάχην ἀλέσθαι(?). καὶ γὰρ ἀμφοτέρων πολεμίων οὕτως ἡττουμένων ὁμοῦ ἀπαθὴς αὐτὸς καὶ ἰσχυρότερος ἐκείνων ἀναδειχθεὶς :—

Τοῖς βουλομένοις βιαίως ἐν καιρῷ πολέμου τὴν σὴν παράταξιν διαρρῆξαι-
ἐνδοθῆναι(?) διόδους ἑκουσίως
ῥᾳδίως καταδιώξεις αὐτούς :—

Ὥστε μὴ φόβον ἐμπίπτεσθαι εἰς τὸ στρατόπεδον, διὰ τοὺς ἀκαίρως λειποτακτοῦντας(?) ταχέως αὐτοὺς καὶ σωτηρίως ἀποχωρίσας τῆς παρατάξεως, ἐν ἑτέραις χρείαις κατάστησον :—

Ῥώμη στρατηγοῦ χερσὶ τε συμπλεκομένου πολλάκις οὐδὲν μέγα ὠφέλησεν. εἰ μὴ ἄρα μικρὸν ἐν δειλίᾳ στρατὸν ἐπιρρώσαι τοὺς βουλομένου διὰ τῆς κοινωνίας τῶν κινδύνων. πείθεται(?) γὰρ τὰ μέγιστα ἔβλαψεν στρατηγία. τὰ δὲ ἐπιτηδεύματα ὅταν σφαλῇ(?) καὶ διαφυλάττηται ὁ στρατηγὸς πρὸ αὐτοῦ γινόμενα, μεγάλας ὠφελείας ἐν ταῖς μάχαις ἀποτίκτουσιν :—

Πλήθους φαντασίαν τοῦ σοῦ στρατεύματος ποιήσεις εἰ τοῦτο βουληθῇς. ἐὰν καὶ τοῖς ὑποζυγίοις καὶ τοῖς ὄνοις καὶ ταῖς βουσὶν ἐποχεῖσθαι τινάς καὶ καβαλλαρίους ποιήσῃς. ἐνίοτε γὰρ καὶ τοῦτο ἐπιτηδευόμενον χρήσιμον :—

Ἱκανῶς καταπλήξεις τοὺς πολεμίους ἐν παρατάξει, ὅταν τοὺς ὁπλίτας τοῦ σοῦ στρατεύματος πρῶτα μὲν κατὰ τάγμα μετὰ ἀταξίας πεζῆς(?). ὅταν δὲ ἐγγύθεν γένηται τὸ [illegible], τότε δὲ ἐκφανῶς(?) μετ' ὀξύτητος συμπλέκεσθαι
ὑπὸ τὸν τεταγμένον στίχον(?), καὶ ἅπαντας προσβαλόντες τρέψουσι
τοὺς ἐναντίους :—

Σοφοῦ στρατηγοῦ ἔργον τοῦτο κατὰ τόπον(?). ποτὲ γὰρ παραταττομένου αὐτοῦ βροντὴ γέγονε βαρεῖα καὶ τοῦ στρατοῦ αὐτοῦ διὰ τὸ δειλιάσαντος ὡς ἐπὶ κακοῖς αὐτοῖς συμβόλῳ, ἀντεπενέγκεν εἰπών· οὐ δι' ἡμᾶς ἡ βροντὴ γέγονεν, ἀλλὰ τοὺς πολεμίους διὰ ὡς ἐχθροὺς ἐμβροντήτους ποιήσας κατ' αὐτὴν ἡμᾶς ἐπιτάττεσθαι νικᾶν :—

Τοὺς πολεμίους δὲ καταφρονοῦντας ποιήσεις, ἐὰν τοὺς ἀσθενεστέρους αὐτῶν [illegible] ὄντας ἐν ταῖς παρατάξεσιν [illegible] ἥττους, τοὺς δὲ τοῖς ὑπερέχειν παρασκευάσῃς :—

Ὅτε βούλει κρύψαι τοὺς ἀνῃρημένους ἐν τῇ μάχῃ τοῦ σοῦ στρατεύματος· εἴτε καὶ τοῦτο συμβαίη ποτέ ὡς πολλάκις εἴωθεν μετά τὴν λύσιν τῆς μάχης μὴ συμπάντων ὁμοῦ τὰ κοινὰ θέρμια παρακελεύου, ἀλλ᾽ ὡς ἔτυχεν ἕκαστον· οὕτως γὰρ οὐδὲ αἰνοῦντες τοὺς ἀνῃρημένους οὐκ εἰς δειλίαν ἐμπεσοῦνται, ἀλλὰ θαρρήσουσιν:

Στρατηγὸς πολεμίων ὥσπερ κεφαλὴ αἰχίδνης, οὕτως ἐπὶ τῷ στρατεύματι αὐτοῦ· πᾶσαν οὖν ἐπίνοιαν ποιοῦ ὥστε αὐτὸν πεσεῖν. ἢ διὰ πλήθους συμπεφραγμένου καὶ πρὸς αὐτὸν μόνον ὑποδέξω· τοῦ γὰρ στρατοῦ ἐὰν κινήσῃς σάλπιγγα ὡς ὅτι οἱ πολέμιοι συμπλέκονται πρὸς μάχην ταραχῆς γινομένης οἱ μὲν δειλοὶ φεύξονται, οἱ δ᾽ ἀνδρεῖοι παρατάξονται:

Ἐὰν πρὸς ἀγυμνάστους μάχης πολεμίους παρατάξῃ, αὐτὸς δὲ γεγυμνασμένους ἔχῃς στρατιώτας σύ, παρευθὺ τὴν μάχην συνάψῃς· ἀλλὰ συντείνου σε δεῖ τὸν χρόνον ἐν τῇ συστάσει καὶ προσκλύειν τοὺς πολεμίους ὡς ἐπὶ ὀλίγον πονεῖν εἰθισμένους καὶ τότε ἐπιθέσθαι αὐτοῖς. εἰ δὲ πρὸς γεγυμνασμένους αὐτὸς ἔχων στρατιώτας, ἐκ τοῦ αὐθέως καὶ παραχρῆμα τὴν μάχην σύμβαλλε· ἡ γὰρ ἀκμὴ τῶν σῶν στρατιωτῶν γενναίως ἀπομαχέσεται πρὸς τοὺς ἐναντίους: ἐκ τούτου

Ὑπόνοιαν ἐπιμονῆς ἐν τινὶ καιροῦ ζητεῖ δεῖξαι τοῖς πολεμίοις, εἰ ἄρα μέλλεις ὑποχωρεῖν ὡς μένων ἐξαπατῆσαι αὐτούς. ἐὰν δένδρα περικόψας ἢ τόξων μὴ ὄντων ἕτερα τινὰ ξύλα στήσας ἐνδύσῃς αὐτὰ διὰ σκουτατίων ὥστε μὴ μακρόθεν ἐν ὅπλων. ἢ ἐὰν τοσαύτη τύχῃ ἀνάγκη, καὶ ἑτέρων ὅπλων λαμπρῶν· οὕτως γὰρ κρείττονα τῆς τῶν ὅπλων ἀπωλείας τὴν τοῦ στρατοῦ σωτηρίαν ἡγησάμενος διὰ τὴν καλύπτουσαν ἰδὼς ζητεῖν ἀκινδύνως ὑποχωρήσεις:

❦ παντὸς ἔργου ἀπάρχεσθαι. πλέον δὲ τῶν ἄλλων τὰς ἀρχὰς δεῖ τοῦ πολέμου δικαίας εἶναι· καὶ μὴ μόνον δικαίας, ἀλλὰ καὶ φρονίμως πειρᾶσθαι τὸν πόλεμον. καὶ γὰρ τότε καὶ θεὸς συναγωνιστὴς τοῖς στρατιώταις εὐμενὴς γινόμενος, καὶ οἱ ἄνδρες προθυμότεροι γίνονται τοῦ δικαίου προασπίζοντες. καὶ εἰδότες ὡς οὐκ ἄρχουσιν ἀδικίας, ἀλλὰ ἀμύνονται κατὰ τῶν ἀδικούντων:

Ἐπὰν δὲ δικαίως ἀπάρχεσθαι τοῦ πολέμου μέλλῃς ὦ στρατηγέ, χρή σε τὴν στρατιὰν διασκευάσαι ἀκριβῶς καὶ μετὰ ἀσφαλείας ταύτην ἐξάγειν. ἐπεὶ ἀσθενεῖς εἰσὶν αἱ πολεμικαὶ κινήσεις ὅταν τὸ βάρος ἀναλάβωσι τοῦ πολέμου, ταχὺ θλίβονται καὶ ὑστεροῦσιν· ὥσπερ ἀγαθὸς κυβερνήτης ἀποπλευσόμενος ἐξαρτίσας τὸ σκάφος καὶ πάντα τὰ ἀναγκαῖα περὶ αὐτὸ ποιήσας· τότε ἐπιχει

ἀ θεῷ τὸ πᾶν ἀνάθες :-

Νόμιζε ἐπιθέσεις στρατιᾶς πρὸς θήρας ἀποβλέπειν τῆς τοῦ πολέμου κινήσεως. καὶ οὕτω ταύτης ἀπάρχεσθαι· φαῦλον γὰρ καὶ σφαλερὸν κίνησιν γὰρ ποιεῖσθαι πολέμου αὖθις δὲ ἐπιστρέφειν τὸ στράτευμα· ἕκαστος γὰρ καταγελάσει ταύτου τῆς προπετείας, οἱ δὲ ἐχθροὶ καταφρονήσουσι τοῦ τῆς ἀθλητὰς ὡς οὐχὶ μὴ βουλομένου ἄλλου τοὺς διαθεῖναι τὰ πράγματα :-

θεοσεβοὺς

Ἡνίκα δὲ τὰς δυνάμεις ἐξάγειν μέλλεις πρὸς πόλεμον, διὰ τῶν καθαρὰς αὐτὰς ἐξαμαρτημάτων εἶναι καὶ φρόντιζε· διὰ τῶν ἱερέων καθαίρεσθαι αὐτὰς διὰ εὐλογίας. καὶ οὕτως μετὰ θάρσους ἐπὶ τῆς μάχης ἀποκινεῖσθαι :-

Σώζει πάσῃ δὲ τῇ τάξει καὶ εὐκοσμίᾳ καὶ τῇ κατὰ πόλεμον ἐπιστήμῃ διὰ τὸ στρατὸν ὁδοιπορεῖν. κἂν μήπω μέλλῃ συμβαλεῖν, ἀλλὰ διὰ μακρᾶς ὁδοῦ πορεύεσθαι. κἂν πολλῶν ἡμερῶν ἄνυσιν μέλλῃ δεῖν καὶ ἐν τῇ ἰδίᾳ χώρᾳ καὶ ἐν τῇ πολεμίᾳ. οὕτως γὰρ ἐθισθήσεται τὰ στρατεύματα μένειν ἐν τῇ τάξει καὶ συμφυλάττειν τὰ ἴδια σκεύη καὶ ἀκολουθεῖν τοῖς ἄρχουσιν αὐτῶν. ἀλλὰ καὶ πρὸς τὰς ἐξαίφνης γινομένας ἐπιβουλὰς ἐν τῇ πολεμίᾳ μὴ ἐν ἀθρόῳ καιρῷ θορυβεῖσθαι :-

Ἀσφαλέστερον δὲ τὸ στράτευμα διαβήσεται τὰς προκειμένας ὁδούς· ἐὰν διὰ τινων ὀλίγων προαποστείλας ἐρευνᾷς τὰς ἔμπροσθεν εἰσόδους ἤγουν διὰ τῶν καλουμένων τῇ ῥωμαϊκῇ γλώσσῃ βιατόρων καὶ ἀντικηνσόρων :-

Ἐὰν γυμνάζῃς στράτευμα συνεχῶς, ἕξεις αὐτοὺς πρὸς τοὺς πόνους ἑτοίμους τὴν τάξιν φυλάττοντας καὶ ῥωμαλέους τὸ σῶμα. ἡ γὰρ ἀργία μαλθακὰ καὶ ἄτονα κατασκευάζει τὰ σώματα, ἡ δὲ γυμνασία καὶ οἱ πόνοι καὶ τὰ σώματα ἰσχυρὰ καὶ τὰς ψυχὰς ἀνδρείους κατασκευάζουσιν. ἀγωνίσεσθαι δὲ στρατιῶται πρὸ καιροῦ ὀξέως τὰ τοῦ καιροῦ μελετᾶν ἁρμόδια καὶ τὰ ἐπιτήδεια ἐκκατασκευάζειν, ὅτε οὐ καλεῖ τῆς παρατάξεως ἡ ἀνάγκη :-

Ἴσθι πολλάκις τοὺς θρασυτέρους τῶν στρατιωτῶν ἀτάκτως ἐπέρχεσθαι τοῖς ἄρχουσιν ἀπολλυμένους. διὸ τοὺς βουλομένους τοῦ στρατοῦ ἄνευ προστάξεως τοῦ ἄρχοντος αὐτῶν ἐκβαλεῖν, ἢ πρὸς πεσεῖν ἀπιέναι, ἢ τῆς παρατάξεως παρέρχεσθαι κόλαζε τούτους διὰ μαστίγων καὶ ἀναχαίτιζε τῆς ἀταξίας ὡς αἰτίους τῆς ἑαυτῶν ἀπωλείας :-

Σοφός ἐστι στρατηγὸς φυλαττόμενος ἀπὸ πάντων τῶν μελλόντων παρὰ τῶν πολεμίων γίνεσθαι στρατηγημάτων. γνώσεται δὲ ταῦτα ἐξ ὧν καὶ αὐτὸς κατα

στρατηγείν τους εχθρούς μελετά. οις γαρ αυτός γινώσκει δέον κατά των πολε-
μίων ποιείν τούτοις χρήσεται, και τα εχει παρά των πολεμίων μη παθείν. αι
γαρ ιδίαι προς το λυπείν άλλους εμπειρίαι και τας των εναντίων επινοίας
καθ' εαυτόν επεκμαίρεσθαι :

Εάν ποτε λαθείν τους πολεμίους βουληθής, είτε κίνημα αποτα-
πράξειν, μηδενί θαρρήσης                    τῶν ἀρχόντων. εἰ γὰρ εἰς πολ-
λους διαδράμοι το βούλευμα πάντως από των αρχόντων τοις υποχειρίοις πα-
ραδοθήσεται. οι δε τοιούτοι καιροί πολλούς ευρίσκουσι τους δι' επιθυμίαν δώρων
προδότας γινομένους των βουλευμάτων τοις πολεμίοις :

Βέβαιον δε συμβάλλει, εἰ διὰ τῶν ὀνείρων πλάττεσθαι και πείθειν τους στρατι-
ώτας. ώστε προσέχειν τους θεούς ονείρους νίκην επαγγελλομένους εν καιρώ μά-
λιστα πολέμου χρήσιμον έστι και αναγκαίον. δόξαντες γαρ ως από θεού χρη-
σμόν το παρά σου αφηγούμενον όνειρον, θαρραλέως και ανεπτερωμένως κατά
των πολεμίων επιχειρήσουσι, και την προθυμίαν την ανδρείαν διπλασιά-
σουσι :

Απερισκέπτως επακολουθείν ταις των πολεμίων υποχωρήσεσι, σφαλερόν ή γαρ
και βλάβης αίτιον. πολλάκις γαρ επιπεσόντες γαρ ούτω ποιούντες. ενίοτε
η δι' ενέδρας κεκρυμμένων, η δι' επιστροφής και αντιτάξεως και διεσκεδασμένοις
εμπίπτοντες τοις διώκουσι μεγάλας ποιούσι τας βλάβας. όταν τοίνυν
προφευγόντων των εχθρών διώκειν μέλλης, μη χρήσθαι                    πρὶν
τελείαν λάβης πληροφορίαν της των διωκομένων ανελπίστου φυγής :

Στρατιωτών φρονήματα προς δειλίαν καταπεσόντα, εχέφρων στρατηγός δύναται
διεγείραι διά της οικείας όψεως. θαρραλέος αυτοίς και περιχαρής φαινόμενος
και προς τούτοις και τοις λόγοις εύφημων, και πιθανώτερος γινόμενος. ώστε συ-
χνάκις ανορθούν στρατιωτών τα φρονήματα προς το του στρατηγού φαινόμενον θάρσος :

Τάξις ου μία εστί πολέμου, αλλά πολλαί και διάφοροι και παρά τους οπλι-
σμούς, και παρά τους στρατευομένους, και παρά τους αντιπολεμίους, και πα-
ρά τους τόπους, και παρά τους καιρούς. τούτων δε τας διαφοράς ο στρατηγός
επιμελώς των παρατάξεων μαθήσει. ου γαρ ως βούλεται παρατάξει, αλλ' ως α-
ναγκάζει ποιήσει την τάξιν και του στρατού και της οπλίσεως, και κατά πρό-
σωπον και κατά πλάγιον και όπισθεν ως αν η χρεία των πραγμάτων απαιτεί :

Όταν πεζικήν στρατιάν παρατάξης, η οπλοφόρων ανδρών των λεγομένων σκου-

τάτων, ἢ τῶν ψιλῶν ἤγουν τοξοτῶν καὶ σφενδονητῶν ἀντιπολεμούντων· εἰ δὲ αὐτοῖς τινὲς βάλλωσι κατ' αὐτῶν ἢ εἰκαῖα, ἢ διὰ σφενδοβόλων καὶ τόξων, δεῖ αὐτοὺς ὑπὸ σκουτκείων τετραγώνων ἐπὶ τῶν λεγομένων θυρεῶν ἢ ἑτέρων σκουταρίων μεγάλων κεραμῶσαι ἑαυτοὺς ἄνωθεν, καὶ οὕτως προσβαλεῖν· καὶ γὰρ κεραμωθέντες καὶ σκεπόμενοι οὐδὲν πάθουσι κακὸν ὑπὸ τῶν πεμπομένων βελῶν κατ' αὐτῶν :—

Ἀτάκτως τῶν πολεμίων μονοειδῶς παραταττομένων, αὕτη γὰρ ἡ παράταξις δοκεῖ κατὰ τάξιν κατὰ κύκλον γινομένη ἀσφαλὴς εἶναι καὶ ἄτρεπτος· τοὺς γὰρ ἐμπίπτοντας ἀντιπολεμίους ἐν τῷ τοῦ σχήματος κοιλώματι ἐκ τῶν ἔνθεν κἀκεῖθεν τὰς κεραίας ἁπλοῦντες καὶ περικυκλοῦντες ἀποκλείουσιν· καὶ οὕτως δραστικώτερον κατ' αὐτῶν ἀπομάχονται. πρὸς ταύτην οὖν ἀντιπαραταττόμενος τὴν μονοειδῆ τάξιν. εἰς τρία μέρη τὴν σὴν παράταξιν διαιρήσεις, καὶ τοῖς μὲν δυσὶ μέρεσι τῷ δεξιῷ καὶ τῷ εὐωνύμῳ ποιήσεις τὴν προσβολὴν κατὰ τῶν δύο κεράτων τῶν πολεμίων. τὸ δὲ μέσον μέρος στήσεις μὴ προσβαλοῦν τῷ κοιλώματι, ἀλλ' ἐν ὑποβοηθείᾳ τῶν προσβαλλόντων δύο μερῶν ἱστάμενον. οὕτως γὰρ ἢ ἄπρακτος ὁ ἐν κύκλῳ τῶν πολεμίων στρατὸς διαπομένῃ, ἢ κἀκεῖνος προσβαλὼν τὴν μονοειδῆ τάξιν διαλύσει. εἰ δὲ πλαγιασάμενος αὐτὸς ὑποχωρήσει τοῦ μέσου μέρους κινήσας τοὺς λυθήσεται ἡ παράταξις. ἀλλὰ καὶ ἀσυντάκτως διακινοῦν τὸ στράτευμα συντεταγμένον δι' ὑποστροφῆς ἀδείας ἐπελθὼν αὐτοῖς καὶ αἱρεθήσονται πάντες οἱ σὲ διακυκ- κόμενοι [illegible] :—

Ἁπασῶν μὲν ἐνέδρα ἤ τι ἐπίκρυμμα ἐπερχόμενον τοῖς πολεμίοις, ἰσχυρότερον τῶν ἄλλων ἐπιβουλῶν ποιεῖται τὴν κατ' αὐτῶν ἐπίθεσιν· μάλιστα δὲ ἡ κατὰ νώτου τῶν πολεμίων. ταύτην οὖν πολλάκις ποιήσας καὶ αὐτὸς ἐνέδραν καὶ ὄπισθεν αὐτῶν ἐπελθὼν, δράσεις κραταιοτέραν καὶ ἐνεργεστέραν αὐτὴν ὡς γινομένην τῶν ἐκ πλαγίου ἐπικρυμμάτων :—

Ὑπὸ τῶν ἄλλων ἀρχόντων τὰ παραγγέλματα πρὸς τὸν στρατὸν δεῖ γίνεσθαι καὶ τὰ διατάγματα καὶ τὰ συνθήματα· ἀλλὰ μὴ διὰ τῆς σῆς ἐνδοξότητος, ὦ στρατηγέ. ὁ γὰρ κηρύττων ταῦτα δι' ἑαυτοῦ ἐν ὀξύτητι καιροῦ ἰδιώτου ἐστὶ καὶ ἀπρεποῦς λίαν τῶν δεόντων. καὶ γὰρ καὶ χρόνος πολὺς ἐν τῷ παραγγέλλειν ἀγνοηθήσεται, καὶ θόρυβος ὅλου πάντων ἀλλήλοις ἐρωτώντων· τάχα δὲ καὶ ὁ μὲν προσθήσει τι πλέον τοῦ παραγγέλματος, ὁ δὲ παραλείψει :—

Γνώρισμα γενναίου στρατηγοῦ καὶ θαυμάζεσθαι ἀξίου τὸ τῆς ἀνάγκης ἐπικειμέ-
νης ὀξέως νοεῖν τὰ δέοντα μᾶλλον· ἤπερ τὸ πρὸ τῆς ἀνάγκης περὶ τούτων βου-
λεύσασθαι καὶ διακελεύεσθαι· εἰ καὶ τὰ μάλιστα δέον ἄρα μέλλει γενναῖον ὑπὸ τοῦ
πολέμου ἐπικείμενα προΐσασθαι:

Ὅταν ἐν παρατάξει μάλιστα ἡλίου ἀνταυγάζοντος προσβάλλῃς πρὸ τοῦ συμπλακῆ-
ναι τὴν μάχην, κέλευε τοὺς στρατιώτας ἄνω ἔχειν τὰ ὅπλα καὶ ἀκάλυπτα, ξίφη
τε καὶ τὰ σιδηρᾶ σκουτάρια στίλβοντα καὶ τῶν κονταρίων τὰς λόγχας· οὕτως γὰρ
λαμπρὰ παρὰ τοῖς πολεμίοις φαινόμενα καταπλῆξιν ποιήσει· ὅταν δ' εἰς χεῖ-
ρας ἤδη συμπλέκεσθαι μέλλῃς φωνῆς καὶ δρόμου πατάσσοντας τὰ ὅπλα,
οὕτω τὴν προσβολὴν πρὸς τοὺς πολεμίους ἀπάρχεσθαι:

Ὑπὸ τῶν πολεμίων διὰ πλῆθος αὐτῶν καβαλλαρίων πλεονεκτούμενος, τὰ
χαλωρεία ἐκλέγου καὶ στενὰ καὶ πάροδα· ἐν οἷς οὐ δύνανται τοὺς ἵππους
αὐτῶν ἐναντίον κατὰ δύναμιν, ὅπερ καὶ προσκοπεῖσθαι χρὴ πρὸς δευτέραν τύχην
ἀεὶ βλέποντα· τοῦτο γάρ ἐστιν ἐχέφρονος μάλιστα στρατηγοῦ:

Συμφέρει μᾶλλον εἶναι γινώσκε τὸ ἐν ταῖς μάχαις ἐνίστασθαι, καὶ κινδυνεύειν
ἀνδρείως τὴν παράταξιν μαχομένην ἢ φεύγοντας διώκεσθαι· ἐν γὰρ τῇ στά-
σει μᾶλλον τὴν σωτηρίαν ἐλπίζειν ἔχειν, ἀλλὰ μὴ τοῖς ἐχθροῖς τὰ νῶτα διδόν-
τας πιστεύειν τοῦ σῴζεσθαι:

Τῆς μάχης σὺν θεῷ τὴν νίκην σοι χαρισαμένης ὦ στρατηγέ, δέον σε φιλοφρονεῖ-
σθαι τοὺς στρατιώτας τοῖς τῶν πολεμίων λαφύροις· εἴτε ὅπλα εἴσιν γὰρ λείπ-
ποι, εἴτε ἕτερα τινὰ εἴδη, καὶ δοχὰς καὶ τραπέζας αὐτοῖς παρασκευάζειν·
καὶ τοὺς μὲν ἀνδρείως ἀγωνισαμένους κατ' ἀξίαν προβιβάσαι καὶ δώροις τι-
μῆσαι· τοὺς δὲ δειλοὺς καὶ ἀχρήστους ἀναφανέντας, ἢ λιποταξίας πεποιηκό-
τας· τοὺς μὲν κόλαζε δεόντως, τοὺς δὲ ὀνείδιζε μέχρις αἰσχύνης· οὕτω γὰρ καὶ
τοὺς δειλοὺς ἀναρρώσεις καὶ διεγείρεις, καὶ τοὺς ἀνδρείους εὐτολμοτέρους
καὶ εὐθαρσεῖς πρὸς τὰς ἐπιούσας μάχας παρασκευάσεις:

Ὅταν κατὰ πολεμίων τρόπαιον στήσῃς ὦ στρατηγέ, τότε κατὰ τοὺς ἤδη τῆς βασι-
λείας τεθέντας νόμους τῶν ἐς εἰκὸς εἰσκομιζομένων σκύλων τὴν διανεμη-
σιν οὕτως ποιήσεις, ὥστε τὸ πέμπτον μέρος ἀφορίσεις τῷ μέρει τοῦ δη-
μοσίου· τὸ δὲ λοιπὸν ἐξ ἴσης μοίρας οἵ τε ἄρχοντες καὶ οἱ ἀρχόμενοι μερι-
ζέσθωσαν, ἐπείπερ κοινοὺς καὶ τοὺς ἀγῶνας ἐν τοῖς κινδύνοις ἀναδέχονται.
εἰ δέ τινες εὑρεθῶσιν ἐκ τῶν ἀρχόντων, ἢ τῶν προμάχων τῆς παρατάξεως,

ἢ τῆς ἑτέρας τῶν στρατιωτῶν διαφορᾶς αὐδειζόμενοι. τὸ ἐκ τοῦ εἰρηνικοῦ μέρους τοῦ δημοσίου ἀδιαλείπτως σιτοδοτεῖσθαι αὐτοὺς ἐφόδιά τε καὶ τὸ δίκαιον ἀπαιτεῖ. κατὰ δὲ τὴν μετ' εἰδότος τοῦ ἐν ταῖς πολέμοις εὑρισκομένου καὶ οἱ ἐν ταῖς τύχαις καταγινόμενοι φύλακες λέγονται :-

Στῆσαι δὲ συμμίκτων πεζῶν καὶ καβαλλαρίων παράταξις. οἷον θώρακι ἔοικεν. ἀντὶ τῶν χειρῶν ἔχουσα τοὺς ψιλοὺς ἤτοι τοξότας καὶ ἀκοντιστὰς καὶ σφενδονήτας. ἀντὶ δὲ ποδῶν τοὺς καβαλλαρίους. ἀντὶ δὲ κεφαλῆς ἐν μέσῳ τῶν χειρῶν ὄντα τὸν στρατηγόν. ἀντὶ δὲ τοῦ ἄλλου σώματος τοὺς ὁπλίτας ἤτοι τοὺς σκουτάτους τοὺς καὶ τὴν πανοπλίαν φοροῦντας. διὰ τοῦτο ἐν πᾶσι χρῄζοντες καὶ αὐτὸς προνοεῖν τῆς ἑαυτοῦ ἀσφαλείας καὶ τοῦ στρατοῦ, ὥσπερ κεφαλὴ κεκτημένοι τῆς σῆς φυλακῆς καὶ σωτηρίας :-

Καὶ ταῦτα δὲ ἐξετάσῃ ἐν καιρῷ αὐτῶν. ὥστε ἐὰν τὸν στρατὸν ἔχῃς πλείονα, βουλόμενος αὐτὸν διαλανθάνειν ὀλίγον ὑποδεῖξαι τοῖς πολεμίοις, κοινοποιήσεις τὰ κοινὰ τὰ βέρνια καὶ εἰς μίαν καμάραν λεγομένην τὰ δύο ποιήσεις ἀναπαύεσθαι, καὶ τὰ ὅπλα δὲ ἐπαλλήλως τεθῆναι κελεύσεις. ὅταν δὲ ὀλίγον ἔχῃς στρατὸν, τὸ ἐν κοινῷ τοῦ βέρνιον διαμερίσεις εἰς δύο ἢ καὶ πλείονα κατὰ στρατιώτην, καὶ οὕτως πλείονα φανεῖται ἵνα μὴ διὰ τὴν ὀλιγότητα καταφρονηθῇς. ταχέως δὲ τὸν ἄπληκτον μετάξας εἰς ἕτερον ἀπέλευσον, καὶ οὕτως τοὺς πολεμίους καταμαθεῖν τὸν πόλεμον σκευάσῃς :-

Ἀπὸ τῶν πεπλασμένων γινομένων κατὰ αὐτῶν προσβολῶν οἱ στρατιῶται ἐθιζόμενοι ἀκατάπληκτοι γίνονται πρὸς τὰς ἀληθεῖς. οἷον ψευδοβοηθείας μέρους τινὸς ἐπιβοηθούσης κατὰ ἑτέρου πλαγίου ψευδοπροδοσίας, ἢ ψευδεγκρύμματα, ἢ ψευδοκλοπῶν καὶ ἰχνῶν, ἢ ψευδαυτομόλων, ἢ ψευδοεφόδων. οὕτως γὰρ ἐθίζονται καὶ οὐκ ἐκπλαγήσονται ἐξαίφνης τούτων καὶ ἀληθῶς γινομένων :-

Ἱστορεῖται δὲ καὶ ναυτικοῦ στόλου στρατήγημα. ὅταν γὰρ εἰς λιμένας καὶ ψαμμώδεις τόπους τὴν ἀπόβασιν μέλλῃς ἐν καιρῷ ναυτικῆς στρατείας, εἰ οὕτω τύχοι ποιήσασθαι, σάκκους πολλοὺς πληρώσας ἄμμου καὶ τοῖς σχοινίοις προσδήσας ἀπὸ ἑκάστου δρόμωνος ἐκκρεμάσεις τοὺς ἀρκοῦντας οἷον εἰς δίκην ἀγκύρας, καὶ οὕτως τὸν λεγόμενον πηγαδοκαμένα ποιήσας εὐκόλως κατὰ τῶν τόπων νυκτὸς ἐξελθὼν τὴν βεβουλευμένην σοι καταδρομὴν ποιήσεις :-

Τόπους ἀνύδρους μέλλων ποτὲ διαβαίνειν· ὕδωρ τε ὅσον δυνατὸν τὴν ὁδοιπορείαν ἀπὸ ἑσπέρας ἕως πρωΐ· τὴν δὲ ἡμέραν καθ' ὁδὸν παρατρέπου ἀντὶ τῆς νυκτός· οὕτως γὰρ ἧττον διψῶσι τὰ ζῷα καὶ αὐτάρκης τοι γενήσεται ἡ τοῦ ὕδατος χρεία :–

Οἰωνιστικοῖς λόγοις ποτὲ προσέχει ὁ στρατὸς καὶ σημείοις· πταρμοῦ δὲ γενομένου πρὸ ἀλίνος ἐθύμωσαν οἱ στρατιῶται ὡς ἐπὶ χείρει περὶ οἰωνισμοῦ· ἔπειτα εἶπεν ὁ στρατηγὸς οὐ θαυμαστὸν εἰ τοῦ βέλους περιεστώτων εἷς ἔπταρε, καὶ τοῦ βέλους λεχθέντος γέλως ἐγένετο· ἔστι δὲ ὁ γέλως σωτηρίας δηλωτικός· καὶ οὕτως ἔμφρων στρατηγὸς τὸ οἰώνισμα ἐναλλάξας, θαρρεῖν τοὺς στρατιώτας παρεσκεύασεν :–

Ὅρα τι ἵνα ἐὰν ἐν ἡμέρᾳ τινὶ τοῦ ἐνιαυτοῦ, ἡ μάνος γέγονε νίκη, μέλλεις δὲ πρὸς πόλεμον συμβάλλειν, εἴ γε δυνατόν τοι ἐν αὐτῇ τῇ ἡμέρᾳ καὶ αὖθις τῆς μάχης ἀπάρξασθαι ἐπιτήδευε· ὥστε εὐθαρσεῖς εἶναι τοὺς στρατιώτας καὶ μετὰ ἀγαθῆς ἐλπίδος ὡς κατὰ τὴν ἑορτὴν τῆς νίκης, καὶ αὖθις δυναμένους ἔχειν τοὺς προσβάλλοντας τὴν θείαν βοήθειαν· ὁμοίως δὲ καὶ ἐπὶ τόπου ἐν ᾧ νενίκηκας ποτέ :–

Θεώρει ὅσε μανθ. ὃ μέλλω λέγειν· ὁ στρατηγὸς ἀληθὴς καὶ ἄξιος ἐπιτιμηθήσεται ὅταν μὴ τὸ συμφέρον ἐργάζηται μόνον, ἀλλὰ καὶ τὰ κοινὰ καὶ συμφέροντα τοῖς ὑποχειρίοις πραγματεύηται· οὕτως γὰρ μετὰ τοῦ κοινοῦ συμφέροντος καὶ τοῦ ἰδίου τεύξεται, ὅταν γὰρ ὁ ποιμὴν τῆς ποίμνης ἐπιμελεῖται τῆς ἑαυτοῦ ὠφελείας παραίτιος γίνεται· εἰ δὲ ταύτης καταμελήσει οὐ μόνον ποιμὴν ἀληθὴς οὐ λογίζεται, ἀλλὰ καὶ τὴν ποίμνην ζημιούμενος τῆς ἐξ αὐτῆς ὠφελείας στερηθήσεται :–

Πολεμίου ποτὲ ναυτικοῦ στόλου μετὰ οἰκείας δυνάμεως ναυτικῆς ὑποχωρῶν στρατηγός· μὴ νοθὴν παράταξιν ποιούμενος ὑποστρεφέτω πλέων κατὰ πρύμναν καὶ οὕτως ἀποχωρεῖν ἐξελθὼν τῶν πολεμίων βουλευέσθω· καὶ γὰρ οὐ φεύγων, ἀλλὰ φυλομαχῶν εὐτόνως ἔχει τὰς ναῦς καὶ αὖθις ἐπὶ τοῖς πολεμίοις κατὰ πρῶραν, εἴ γε καὶ τοῦτο χρεία γένηται τὰς πρώρας ἔχων πρὸς αὐτούς· καὶ γὰρ οὐ θαρρήσουσιν ἐπελθεῖν κοιλάκαλι ἀσελθεῖν τὴν κύκλωσιν ὑφορώμενοι :–

Νίκης τοι παρὰ θεοῦ δεδομένης μὴ σφοδρῶς καὶ ἀκρατῶς δίωκε τοὺς πολεμίους, ἀλλὰ φυλάσσου τὰς ὑποστροφὰς αὐτῶν· ἡ γὰρ ἀκρατὴς δίωξις

διαφυλάττουσα τὴν τάξιν, ἢ τοὺς ἐπιβουλεύοντας :—

Νουνεχῶς διέρχου διὰ κενῶν τόπων, καὶ μάλιστα ἀναχωρῶν ἀπὸ τῆς πολεμίας τοὺς εὐρώστους καὶ ῥωμαλέους τοῦ στρατοῦ ὄπισθεν ἐν τῇ οὐραγίᾳ τάττε, ἵνα καὶ τοὺς ἐπερχομένους πολεμίους ἀμύνωνται ὄπισθεν καὶ μηδεὶς φεύγῃ. ἔμπροσθεν μὲν τελευταῖον παρελθεῖν τὴν στενοδο ζόντα παρατεταγμένην, καὶ δι' ἀμφοτέρων τηρεῖται ἡ τάξις ἀσφαλὴς καὶ ἀθόρυβος :—

Ἵνα ῥώμην κατὰ τῶν πολεμίων ἐνδώσεις τῷ στρατεύματι, παράγγελλε αὐτοῖς ἵνα εἰ μὲν βοῶντες ἐπέρχωνται αὐτοῖς οἱ πολέμιοι ἐν τῇ συμβολῇ τῆς μάχης, δέχωνται αὐτοὺς μετὰ σιωπῆς· ἐὰν δ' ἐκεῖνοι μετὰ βοῆς κραυγῆς οἱ βίαν τε ἐξελαύνουσι κατ' αὐτῶν :—

Ὅταν ἀπορῇς ἐξοπλίσαι τὸν στρατὸν, τοῖς εὐπόροις μὴ στρατευομένοις δὲ κέλευε, ἐὰν μὴ βούλωνται στρατεύεσθαι, παρέχειν ἕκαστον ἵππον ἀντὶ ἑαυτοῦ καὶ ἄνδρα. καὶ οὕτως οἵ τε πένητες ἀνδρεῖοι ὁπλισθήσονται, οἵ τε πλούσιοι καὶ ἄνανδροι δουλεύουσι κατὰ τὰ τέλη τῶν στρατευομένων :—

Ἅμα τοῖς καβαλλαρίοις καὶ πεζικὴν ἐπιφερόμενος στρατιὰν συμπαραλαμβάνεσθαι αὐτὴν ἐν τοῖς            τὴν ἐλαφρὰν ὅπλισιν. ἔπρεπεν ἔχοντας τε τοῖς ποσὶν ὀξέως τρέχειν δυναμένους, οἵτινες ἐν ἐπικαίροις τόποις δύνωσι καταπηδῶντες ἀπὸ τῶν ἵππων, τοὺς ἐχθροὺς καταλύσουσι καὶ σφενδόναις ἀκοντίζουσι καὶ τόξοις καὶ ἑτέροις ὅπλοις. ἢ καὶ πρὸς τὴν τῶν ἐμπιπτόντων ἀνδρεῖοι ὦσι :—

Βεβαίως ἐπίσταμαι ἄνδρα τινὰ πολλάκις ἀριστεύσαντα, ἐξαιτούμενον δ' ὑπ' ἐκείνου σπείρας ἢ ἑαυτοῦ ἢ φίλου ἢ συγγενοῦς ἀξιοῦντα τὸν στρατηγὸν ἀντὶ πολλῶν καὶ μεγάλων παρακαλεῖν αὐτὸν τὴν δυστυχίαν φίλου ἐπανορθώσασθαι. καὶ ἐν αὐτῷ γὰρ τοσούτους ποιήσεις καὶ ἑτέρους ἐπαναλήψεις ἀριστεύειν ἐπὶ τῇ τοιαύτῃ ἀνταποδόσει :—

Ἄρχοντας ἀγαθοὺς τεκμήρια καὶ ἀρετῆς ἐπίδειξις, ὅταν ἐθελουσίως συγκινδυνεύωσιν αὐτοῖς οἱ ὑποχείριοι καὶ ἐν τοῖς προσπίπτουσι πόνοις παραμένειν ἐθέλουσιν. οἱ γὰρ ἀνάγκῃ καὶ βίᾳ ὑποταττόμενοι τοῖς ἀναξίοις στρατηγοῖς, ὅπερ αὐτοὺς πράττουσιν ἐπίβουλοι μᾶλλον ἀλλ' οὐ φίλοι καὶ φύλακες, ἀλλ' οὐ κινδυνεύσουσι τῷ σφαγῆναι :—

Στρατηγὸς ἀγαθὸς μηδὲν ἕτερον ἐπιτήδευμα δέον ἐπαινεῖν, ἀλλ' ἢ δύο ταῦτα·

τὴν μὲν γεωργικὴν ὡς τρέφουσαν τοὺς στρατιώτας, τὴν δὲ πολεμικὴν ὡς ἐκδικοῦσαν καὶ φυλάττουσαν τοὺς τρέφοντας γεωργούς            τῶν ἐπιτηδευμάτων ἐπιμελεῖσθαί σε καὶ παρὰ τὰ ἕτερα πάντα. ἐκεῖνα μὲν γὰρ τοιαῦτα ἐπεισακτά, ταῦτα δὲ καὶ ἀναγκαιότατα καὶ ὠφέλεια:—

Ἵνα δὲ καὶ ἐν τοῖς τόποις καὶ αὐτὸς σαφῶς ἀναδείκνυται μᾶλλον τοῦ ἰδίου συμφέροντος τὸ κοινὸν συμφέρον προτιμᾶν ὡς καὶ ἀνωτέρω ἡμῖν εἴρηται. καὶ γὰρ ἀγαθὸς στρατηγός ἐστιν οὐκ ἐὰν τὸν ἑαυτοῦ βίον καλῶς διεξάγῃ, ἀλλ' ἐὰν καὶ ὧν ἄρχει τοῦ τῆς ὠφελείας αἴτιος γένηται. στρατηγὸς γὰρ προχειρίζεται παρὰ τῆς ἡμετέρας βασιλείας οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμεληθῇ μόνον, ἀλλ' ἵνα καὶ οἱ ἐπιμελούμενοι παρ' αὐτοῦ καλῶς διεξάγωνται. καὶ γὰρ στρατεύονται πάντες ἵνα ὁ βίος αὐτοῖς [illegible] ὑπάρχῃ. καὶ στρατηγοὺς δέχονται τούτου αὐτοῦ ἕνεκα ἵνα πρὸς τὰ καλὰ καὶ ὠφέλεια ἡγεμόνες αὐτοῖς ὑπάρχωσιν:—

Λύμη στρατοῦ τρυφηλὸς στρατηγὸς καὶ ἄτακτος. ἡ γὰρ εὐταξία καὶ ἡ μετὰ σωφροσύνης ἐγκράτεια μάλιστά ἐστι τοῖς στρατευομένοις ζηλωτέως. δεῖ γὰρ μηδὲν ἄλλο ἐπιφέρεσθαι πρὸς ζωὴν βρώματος ἢ τῆς ἄλλης διαίτης πλὴν τῶν ἀναγκαίων. τρυφὴν γὰρ οὔτε πόλεμος, οὔτε εἰρήνη δέχεται σωφρονοῦσα. πῶς γὰρ οὐκ αἰσχρὸν ἄνδρα ἐπὶ ἵππου καπηλεύειν. διαφθείρεται γὰρ            μικρὰ γίνεται. διὸ πανταχοῦ μὲν τοὺς ἄρχοντας ἀκριβεῖς εἶναι δεῖ καὶ δικαίως ἄρχειν μάλιστα δὲ ἐν τοῖς στρατιωτικοῖς. ὀξεῖς δὲ οἱ καιροὶ καὶ ὀξεῖς αἱ πράξεις ὀφείλουσι καὶ ἐπὶ παντὸς πολέμου. μάλιστα δὲ τοῦ κατὰ θάλασσαν διὰ ναυμαχίας εἰς μάχην συνισταμένου:—

Ἐὰν πολεμῇς πρὸς αὐτοὺς ἐκ πολλῶν τόπων συλλεγομένους, ὦ στρατηγέ, δέον σε μὴ περιμένειν ἕως εἰς ἓν συναχθῶσιν, ἀλλὰ ἔτι διῃρημένοις αὐτοῖς, ἢ κατὰ τῆς ἰδίας χώρας ἕκαστον, ἢ εἰς ἑτέρους τόπους πρὶν ἢ συνέλθωσιν ἐπιχειρεῖν. καὶ νῦν δὲ τοῖς ἐξ Αἰγύπτου καὶ Συρίας καὶ Κιλικίας ἀθροιζομένοις βαρβάροις πρὸς τὴν κατὰ Ῥωμαίων ἐκστρατείαν, δέον τοῖς πλωΐμοις στρατιώταις σὺν τῷ ναυτικῷ στόλῳ τὴν Κύπρον καταλαβόντας πρὸ τοῦ συναχθῆναι τὰς βαρβαρικὰς ναῦς, ἀποστεῖλαι κατ' αὐτῶν πλοΐμων δύναμιν ἱκανὴν καταγωνίσασθαι τὴν βαρβαρικὴν ναυμαχίαν ἔτι διῃρημένην, ἢ τὰς ναῦς ἐκείνων ἐμπρῆσαι πρὸ τοῦ ἀποπλεῦσαι τῆς ἰδίας:—

Ὑπολαμβάνω σε ἰατρὸν οἱονεὶ μεγάλου σώματος τοῦ στρατεύματος. καὶ δεῖ σε ὥσπερ τῆς νόσου τὰς αἰτίας ἐξελαύνειν τοῦ στρατοῦ· οἷον ἀργίαν, τρυφήν, πολυ

ἧτταν, ἀσθένειαν, ἀλλὰ καὶ μάντεις καὶ σύμβολα καὶ οἰωνισμοὺς καὶ ὀνείρους. μάλιστα εὐσεβείᾳ τυγχάνοντα περὶ τὸ θεῖον παρορᾶν σε χρή, εἰ μέλλεις ἀνάγκῃ καὶ τῶν ὅλων παρεῖναι πρὸς πόνησιν. οὐ γὰρ πρὸς ἧτταν ταῦτα στρατηγεῖ, οὐδὲ πρὸς νίκην καὶ σωτηρίαν διὰ προνοίας ἰδίας σημεῖα κείνων, ἀλλὰ προνοοῦντι ἀσφαλῶς καὶ πρὸς τὰ προκείμενα μετὰ ἀγχινοίας καὶ πείρας τὰς ἑαυτοῦ πράξεις διεξάγειν. πάντων δὲ μάλιστα τὴν πορνείαν ἐξορίζειν χρεὼν τοῦ στρατεύματος. ταύτην γὰρ τὰ μάλιστα κακὰ ἐπάγειν καὶ ἐν ταῖς παλαιαῖς ἱστορίαις καὶ ἐν ταῖς καιναῖς τοῖς στρατεύμασιν ἀνεμάθομεν. ἀλλὰ καὶ σημείοις τινὲς καὶ ὀνείροις πεποιθότες πολλάκις ἐψεύσθησαν καὶ ἀπώλοντο τῆς ἐκείνων πείρας ἀστοχήσαντες :-

Συνεκστρατεύειν μετὰ σεαυτοῦ τοῖς τε υἱοὺς καὶ τῶν ἐπισήμων ἐπ' ἀνδρείᾳ ἀρχόντων ἢ στρατιωτῶν, οὐχ ἀδόκιμον, ἀλλὰ καὶ πρέπον ἡγοῦμαι θέας ἕνεκα καὶ πείρας στρατιωτικῶν ἔργων καὶ πολεμικῶν. ἀναγκαῖον γὰρ διδασκάλιον ἀναγκαίων μαθημάτων ὁ πόλεμος. διὸ καὶ τοὺς ἀκμάζοντας καὶ φίλων καὶ οἰκείων παῖδας ὥσπερ σκύλακας τῷ στρατηγῷ συνεκστρατεύειν σε χρὴ καὶ συνεθίζειν ἀνέχεσθαι καὶ τὸ βλέπειν καὶ νεκροὺς ἀπολλυμένους καὶ πληγὰς θεωμένους, καὶ ἐν ταῖς ἀγωνίοις βοαῖς καὶ τοῖς ἀλαλάγμασι τῶν τὰ πρὸ τῆς μάχης γινομένοις παρατυγχάνοντας ἵστασθαι. ἵνα πρὸς τὰ πολεμικὰ ἔργα καὶ πάθη ἐκ νέου συνεθιζόμενοι, καὶ ἀριστεύειν ἐν αὐτοῖς μάθωσιν :-

Ῥωμαλέον καὶ ἄριστον ἀναδείξει σε στρατηγὸν ἡ τῆς ὄψεως ὀξύτης καὶ τὸ σῶμα τὸ ἰσχυρόν, καὶ ὅταν [illegible] ἐπιπροθύμως συναγωνίζηται, καὶ τὸ θαρρεῖν ἐν τοῖς κινδύνοις τοῦ πολέμου, καὶ τὸ ἐξῆς τό τε σταθηρὸν λογισμοῦ καὶ ἀκατάπληκτον. ταῦτα γὰρ στερροῦ στρατιώτου καὶ φιλοπόνου, ἵνα καὶ αὐτὸς ἐν καιρῷ ἐξ ἑαυτοῦ παρέχῃ τὰ δέοντα καὶ διὰ τῆς αὐτοῦ ἀγαθῆς γνώμης καὶ φιλίας συναγωνιστὰς ἔχῃ ὡς φίλους οἰκείους καὶ συγκινδυνεύοντας αὐτῷ ἐν ἅπασι τοῖς στρατιώταις :-

Ὥσπερ κυνηγέτης ἀγαθὸς τέχνῃ τοὺς λαγωοὺς μετερχόμενος, ἢ τὰς ἀλώπεκας ἀγρεύει, οὕτως καὶ αὐτὸς τοὺς ἀπὸ τῶν πολεμίων κατασκόπους διὰ τέχνης ἀνευρήσεις. ἐὰν γὰρ ἔξωθεν τοῦ χάρακος φύλακας τάξεις, εἶτα ἐπιλαβέσθαι τοῦ πλησίον ἑκάστῳ κελεύσῃς καὶ μὴ ἀφεῖναι ἕως ἂν εἴπῃ καὶ τὸν ἄρχοντα καὶ τὸ τάγμα καὶ τὸ κοντουβέρνιον ὅθεν ἐστίν, ἢ ἑτέρου

σύνθημα· τοὺς δὲ ταῦτα λέγειν μὴ δυναμένους ἐξελέγξεις, καὶ οὕτως ἀνευρήσεις τοὺς κατασκόπους :

Μέγα πρᾶγμα καὶ ἀναγκαῖον δημηγορεῖν μετὰ φρονήσεως στρατηγόν· πλεῖονα γὰρ πολλάκις ἐκ τῆς διαλέκτου ὁμιλία ἢ ἐκ τῶν ὅπλων τὴν ἀνδραγαθίαν παρασκευάσει τῷ στρατεύματι, καὶ μάλιστα προστεθεὶς τῷ λόγῳ· ὅτι πρὸς ἀντιπάλους ἐστὶ μάχεσθαι σάρκα καὶ αἷμα ἔχοντας καὶ τὰ ἀνθρώπων πάσχοντας καὶ αὐτούς :

Ἀναγκαῖον δὲ τῷ στρατηγῷ ὅταν χεῖρας συμμίξωσι πρὸς μάχην κατὰ τῶν πολεμίων οἱ στρατιῶται παρατρέχειν καταβοᾶν· ἔτι ἅπαξ προσβάλωμεν τοῖς πολεμίοις καὶ νικήσομεν, καὶ τὸ τοιοῦτο ποιεῖσθαι παριππεύοντα· οὕτως γὰρ νίκην ὡς ἀληθῶς ἐκ τῆς προθυμίας ποιήσεις ἐφεξῆς καὶ συνεχῶς τὰς προσβολὰς ποιούμενος· τοῦτο δὲ ποιήσεις ὅταν μετὰ τῆς τοῦ θεοῦ βοηθείας ὁρᾷς ὅτι κατὰ τὴν πρώτην συμβολὴν προτερεῖς κατὰ τῶν πολεμίων :

Ἵνα δὲ μένῃς θαυμαζόμενος καὶ τοῖς αὐτοῖς πολεμίοις ἔθνει καὶ δόξῃς, καὶ δι' αὐτὸ φοβερός· ἐὰν οἱ πρέσβεις ἀποστείλωσι, δέου σε ἀνερωτῆσαι περὶ αὐτῶν ἐάν ποτε ἐπρεσβεύσαντο καὶ ὑπὲρ τίνων πραγμάτων καὶ μετὰ τίνων προσώπων, καὶ ἐν ποίῳ καιρῷ καὶ ἐν ποίῳ τόπῳ· ἔτι δὲ καὶ τῆς προκειμένης πρεσβείας προμελετῆσαι ἀεὶ καὶ εἴ τι ὅμοιον ἐπράχθη ποτέ, ἢ παρὰ σοῦ, ἢ παρὰ ἑτέρου ἔθνει· ἵνα ἐν ταῖς ἐρωτήσεσι καὶ συντυχίαις ἐκπλήττῃς αὐτοὺς ὡς πάνυ μνημονικὸς καὶ πολύπειρος :

Ὧν ἕνεκα ἢ τόπων ποτὲ ἢ πόλεων ἐκπέμπειν μέλλεις ναυτικὸν στόλον πρὸ πλεύσεως δὲ καὶ τοὺς τόπους καὶ τὰς πόλεις, ὥστε μηδένα προειδέναι ποῦ μέλλει γίνεσθαι ὁ κατάπλους· ἐπίταγμα δὲ γράψας τοῦτο σφραγισάμενος ἀσφαλῶς ἐπιδοὺς τῷ καθισταμένῳ παρὰ σοῦ ναυάρχῳ ἵνα κατὰ τὸ πέλαγος ἐξελθὼν, τότε λύσῃ τὴν σφραγῖδα καὶ μάθῃ ποῦ μέλλει πορεύεσθαι· οὕτως γὰρ ποιήσας λάθῃς τοὺς πολεμίους :

Νόμοι στρατιωτικοὶ φυλαττόμενοι καὶ τοὺς στρατηγοὺς νικηφόρους καὶ ἐνδόξους καὶ δὴ καὶ ἀειμνήστους ἀποτελοῦσι, καὶ τοῖς βασιλεῦσι χαρᾶς καὶ εὐφροσύνης αἴτιοι γίνονται καὶ πρὸς εἰρήνην καὶ ὑποταγὴν τοὺς πολεμίους καταναγκάζουσι καὶ κακοῦ ἢ εὐθείας παντὸς τοῦ ὑπηκόου γινόμενοι. μᾶλλον δὲ καὶ ἀγαθῶν εὐπορίαν προξενοῦντες αὐτοῖς τὴν εἰς θεὸν εὐχαριστίαν αὔξουσι καὶ πρὸς δοξολογίαν αὐτοῦ πᾶσαν εὐσεβῆ ψυχὴν διε-

-γείρουσιν. τούτους οὖν ὦ στρατηγὲ καθάπερ σωτῆρας μετὰ θεὸν καὶ κοινοὺς εὐεργέτας τοὺς στρατιωτικοὺς νόμους διαπαντὸς περιφύλαττε. καὶ πρό γε τούτων τοὺς θείους καὶ πανσέπτους νόμους δι' ὧν ἡ εὐσέβεια κρατύνεται περίθαλπε καὶ ἀνενδοιάστως τούτοις ὑπάκουε. ἐκ τούτων γὰρ ἀεὶ ἄριστ' ἀρχὴ γένοιτο καὶ εὐάρεστος ὁ φιλόχριστος στρατηγός. αὐτῷ γε τῷ θεῷ τῶν ὅλων καὶ βασιλεῖ καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ ἡμῖν τοῖς δι' αὐτοῦ βασιλεύουσιν:

## Διάταξις ιη.

## Ὑπόθεσις περὶ ἐπιτηδευμάτων:

Ὡς ἐν συντόμῳ δὲ τὰ προειρημένα ἡμῖν ἅπαντα οἷον ἀνακεφαλαιούμενοι, ἐνταῦθα παρακελευόμεθα καὶ ὑποτιθέμεθα τῇ σῇ ἐνδοξότητι ἐξ ὧν ὡς ἂν ῥηθῇ καὶ αὐτὸς στρατηγὸς ἀναδειχθεὶς ἀγαθός, καὶ βίον ἀκινδυνότατον τοῖς ὑπὸ σοῦ ἀρχομένοις περιποιήσῃ:

Καὶ πρῶτον μὲν πᾶν ὅπερ μέλλεις ἢ λέγειν, ἢ πράττειν ἀπὸ θεοῦ λαμβάνειν τὴν ἀρχήν, καὶ μηδὲν ἄνευ τῆς ἐκείνου μνήμης τε καὶ ἐπεύξεως, μήτε λόγου ἄρξαι, μήτε πράξεως. οὕτω γὰρ ἐκεῖνα χρεὼν εἶναι ἀπὸ θεοῦ λαμβάνειν ἅπαντα τὴν ἀρχήν. καὶ γὰρ ὁ θεὸς περὶ ἡμῶν καὶ ποιητὴς καὶ ἐπόπτης, καὶ τῶν λόγων ἡμῶν καὶ τῶν πράξεων, καὶ κριτικός ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ κατὰ τὸν θεολογικώτατον Παῦλον. διὸ οὐδὲν τῆς αὐτοῦ γνώμης χωρὶς πράττειν ὀφείλομεν:

Ἔπειτα γάρ ἐστιν ἡμῶν οἱονεὶ συγγενέα πρὸς αὐτὸν καὶ χρέος, ὡς διατελοῦσι παισὶ πρὸς πατέρα. καὶ γὰρ παρ' αὐτοῦ εἰς φῶς καὶ βίον ἤλθομεν, καὶ ὑπὲρ αὐτοῦ καὶ ζῆν καὶ θνήσκειν ὀφείλομεν. ἐπὶ δώροις γὰρ τοῖς ἐκείνου τρεφόμεθα καὶ ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν καὶ τὸ τέλος αὐτῷ πειθόμεθα, ὅσοι ἴδια ἄρχοντες καὶ δεσπότῃ ἀγαθῷ δοῦλοι, καὶ ἄρχοντες βασιλεῖ. καὶ πάντες αὐτοῦ ἐσμὲν ὡς κατὰ πάντων κεκτημένου τὸ κράτος. καὶ ἡμῖν μὲν ἐξ ἐκείνου δεδώρηται πάντα τὰ εὔτυχα καὶ τὰ ἄτυχα, ἡμεῖς δὲ αὐτὸν θεραπεύομεν. καὶ ἡμῖν μὲν ἄλογος πᾶσα ἀγέλη ὑφ' ἡμῶν ποιμαινομένη ἀγέλη, ἡμεῖς δὲ ὑπὸ τοῦ θεοῦ ποιμαινόμεθα τοῦ καλοῦ ποιμένος καὶ διὰ ἡμᾶς φιλανθρώπως

φορέσαντος τὸ ἡμέτερον καὶ οὐδεὶς ἔξαρνος γένοιτο ὅτι ἐστὶ θεός, εἰ μὴ τὴν ψυχὴν διεφθαρμένος ὑπάρχει :

Μετὰ γὰρ τὸ πάντα θεὸν καὶ αὐτὸς ἐκ μὴ ὄντων ταῦτα παραγαγεῖν καὶ πάντα πληροῖ, καὶ πάντα διαλαμβάνει καὶ προνοεῖται καὶ διοικεῖ. ἔλεγχος δὲ τῆς ἀληθείας τὰ ποιήματα αὐτοῦ· οὐρανὸς καὶ τὰ ἐν αὐτῷ, γῆ καὶ τὰ ὅσα ἐν αὐτῇ· καὶ μένει καὶ θάλασσα καὶ τὰ ἐν ἐκείνῃ ἅπαντα καὶ ὅσα ἐν αὐτοῖς ἀθύρματα, μαρτύρια τῆς ἐκ θεοῦ εἰς ἡμᾶς κηδεμονίας τε καὶ προνοίας ἀναδείκνυνται :

Καὶ αὐτὸς βασιλεὺς καθίστα· καὶ γὰρ φησὶ δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ στρατηγὸς δι' αὐτοῦ προχειρίζεται καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας ἀληθῶς αὐτὸς ἐστιν αἴτιος. διὸ καὶ ἡγεῖ μὴ πρότερον ἵνα τὴν ἀρχὴν ὑποδέχεσθαι πρὶν ἢ διὰ τῆς εὐχῆς καὶ ἐντεύξεως πρὸς αὐτὸν ὡς πρὸς ἑαυτὸν ἀφιερῶσαι τῷ θεῷ, καὶ τῇ ἐκείνου προνοίᾳ τὴν ἑαυτοῦ διοίκησιν καταπιστεύσας :

Διὰ τοῦτο δεῖ πάντα τὰ εἰς θεοῦ θεραπείαν ὥσπερ τε πρὸ τῶν ἄλλων ἁπάντων ἐπιμελεῖσθαι καὶ διαφυλάττειν. ἐξαιρέτως τὴν εἰς τοὺς ἱερεῖς τε καὶ ἀρχιερεῖς αὐτοῦ καὶ τοὺς ἄλλους αὐτοῦ θεράποντας τιμὴν καὶ θεραπείαν καὶ τοὺς ἁγίους αὐτοῦ ναοὺς ὥστε ἀσύλους εἶναι, καὶ μὴ αὐτόθεν ἀναρπάζεσθαι τοὺς ἐν αὐτοῖς καταφεύγοντας ἀνθρώπους διαλανθάνοντας τῆς ἡμετέρας βασιλείας :

Καὶ τὰ ἱερὰ δὲ τῶν μοναχῶν ἀσκητήρια καὶ τοὺς ἐν αὐτοῖς τὴν παρθενίαν ἀσκοῦντας ἀβλαβῆ καὶ ἀβίαστα καὶ σεμνὰ διατηρεῖσθαι. καὶ ἁπλῶς εἰπεῖν ὅσα τῷ θεῷ ἀνάκειται παραφυλάττειν ἀνεπηρεάστως. καὶ κτήματα καὶ αἰδέσιμα ἅγια πάντα καὶ ὅσα τῷ θεῷ ἀνακείμενα· καὶ μηδένα στρατηγὸν ἢ τυραννικὴν χεῖρας ἐπιβαλεῖν κατ' αὐτῶν, ἢ ἄλλως ἀποθρασύνεσθαι. μήτε στρατιωτῶν, μήτε ἄλλου τινὰ τῶν ὑπὸ τὴν ἐξουσίαν οἱανδήποτε τινὰ πεπιστευμένον ἀρχήν, ἢ στρατιωτικὴν ἢ πολιτικήν, ἀλλ' εἶναι αὐτοὺς ὡς κτήματα θεοῦ πάσης βλάβης καὶ ἐπηρείας ἐλευθέρους. καὶ μάλιστα τοὺς ἀρχιερεῖς ὡς πατέρας καὶ ποιμένας τῶν ἀνθρωπίνων ψυχῶν· ὅσαι τε ἀρχόντων καὶ ὅσαι ἀρχομένων, καὶ τὰ πρὸς θεὸν ἡμῶν μεσιτεύοντας, τούτους διὰ πάσης ἄγειν τιμῆς καὶ αἰδοῦς καὶ μηδὲν ἐφ' ὕβρει τούτων καταδέχεσθαι. καὶ γὰρ τὰ εἰς αὐτοὺς γινόμενα εἰς τὸν θεὸν ἀναφέρεται παρ' οὗ καὶ τὴν ἀρχιερωσύνην εἰλήφασι. δι' ἧς καὶ ποιμαίνουσι τὰς ψυχάς, καὶ τὰ πρὸς θεὸν αὐταῖς μεσιτεύειν ἀνεδέξαντο. οἱ γὰρ ἱερεῖς ὥσπερ φλέβες διεσπαρμέναι καὶ ζωογονοῦντα ὅλον τὸ σῶμα τοῦ χριστιανικοῦ λαοῦ καὶ ἀρχόντων καὶ ἀρχομένων. καθέστηκεν ὅσῳ καὶ ἡγεμόνα τὸν βασιλέα τῶν ἁπάν

τὴν τοῦ κεκλιμένην, καὶ ἀπ' αὐτοῦ τὰς τοῦ ὅλου σώματος διοικήσεις διαπορθμεύουσα καὶ κυβερνῶσα καὶ περιάγουσα. οὕτως οὖν περὶ τὸ εὐσεβῶς καὶ ὀρθοδόξως καὶ περὶ τοὺς ἐκείνου θεράποντας διακείμενος. ἐπιμελοῦ μετὰ τοὺς ὅρους τῆς πίστεως νόμους ἀπαραβάτους, οἵτε ποιοῦσι κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς σου:

Ἐπιμελοῦ δὲ καὶ τῶν στρατιωτικῶν ἔργων καὶ τῶν πολεμικῶν ὅπλων. οὐχ ἵνα ἀδικήσῃς, ἢ ἀδίκου πολέμου κατάρξῃς, ἢ λῃστάς τινας καὶ ἀδίκους κατὰ τῶν οὐδὲν ἠδικηκότων ἐπιδρομὰς ποιήσῃς, ἀλλ' ἵνα σώζῃς εὐσεβῶς τὰ σά, ἀλλὰ καὶ τοῖς πολεμίοις ὅσον τὸ ἐπὶ σοὶ εἰρηνεύων. καὶ οὕτως εὐσεβῶς καὶ θεαρέστως πολιτευόμενος, ἔχῃς τὰ ὅπλα πρὸς ἄμυναν τῶν ἀδικούντων πολεμίων. ἡ γὰρ εὐσεβὴς ψυχὴ ταῦτα παραλαβοῦσα εὖ οἶδ' ὅτι καὶ τὸν αὐτὸν μετὰ τῆς δικαιοσύνης ἕξει συνεκστρατεύοντα, καὶ ἡ πίστις τοῦ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι στρατηγὸν καὶ ἡγεμόνα τὸν θεὸν ἕξει, καὶ ἀνάγκη πιστεύειν ὅτι δικαίῳ πολέμῳ ἀπὸ θεοῦ ὀφείλεται τὸ τέλος ἀγαθόν ὥσπερ τῷ ἀδίκῳ τὸ ἐναντίον. ὥσπερ γὰρ τὸν ἀδικοῦντα ἀδικῶς μὴ παθεῖν ποτε τὴν τῆς ἀδικίας ποινήν, παράδοξον κεῖται, οὕτως ἀδικοῦντα καὶ τὴν ἀδικίαν ἀμυνόμενον καὶ ἀντιπολεμοῦντα μὴ τῆς παρὰ θεοῦ νίκης ἐπιτυχεῖν. ὁ γὰρ θεὸς κριτὴς δίκαιος καὶ σὺν δίκῃ διεξάγει τὰ σύμπαντα. τούτων τοίνυν χάριν ἀσκεῖν σε δεῖ καὶ ὅπλων καὶ γυμνασίας καὶ τῆς ἄλλης στρατιωτικῆς ἐπιμελείας:

Εἰδέναι δέ σε δεῖ ὅτι οὐδεὶς βουλόμενος ὁ κίνδυνος ἐν πολέμου καιρῷ τῶν τε αὐτοῦ ὑπολελειμμένων τὴν φύσιν γινώσκειν καὶ τὴν ἄλλην κατάστασιν. καὶ δὴ καὶ τὸ ἐκείνων στράτευμα πότερον ὀξύτατόν ἐστι πρὸς τὰς ἐπιχειρήσεις καὶ πρὸς τὰς πρώτας ὁρμὰς δραστικόν, ἢ πρὸς μακροθυμίαν καὶ χρονοτριβὴν ἔργα μᾶλλον ἐγγύμνασται. χρὴ δέ σε διαγινώσκειν καὶ αὐτὸν τὸν πόλεμον πότερον πολυχρόνιός ἐστι καὶ διὰ τοῦτο δαπάνης χρημάτων, ἢ μᾶλλον ὀξύτητι ῥώμης ὀλιγοχρόνιος καὶ ἐπιχειρητικός. ἐν δὲ τοῖς τοιούτοις πολέμοις ἀντιπαρασκευάζου πρὸς τὰς τῶν ἐναντίων ψυχὰς καὶ πρὸς τὸ ὅλον αὐτῶν στράτευμα. ἤτοι πρὸς ἀνδρείας καὶ ὀξύτητας, ἢ καὶ πρὸς τὰ τούτων ἐναντία ἤγουν φόβους καὶ θράση καὶ ὀργὰς καὶ τιμωρίας καὶ φιλοτιμίας καὶ εὐθυμίας. ὥστε τὰ τοιαῦτα πάθη αὐτῶν τῶν στρατευμάτων ἢ καὶ τῶν πολεμίων διασκευάζεσθαί σε καὶ αὔξειν καὶ ταπεινοῦν. καὶ μάλιστα τὰ περὶ τὰ διὰ παραγγελμάτων συλλέγων καὶ πρὸς ποιότητα γνωστικῆς, καὶ τῆς περὶ τὸ θεὸν ἐπιτηδείας, καὶ τῆς διὰ λόγων διανοίας.

ταῦτα δὲ παραφυλάττειν ὥστε γίνεσθαι ἐν τῷ καιρῷ καθ' ὃν αἱ ψυχαὶ ὑπὸ τοῦ λό-
γου κινηθεῖσαι διαμένειν δύνανται διὰ τῆς μνήμης πρὸς τὴν διάθεσιν τῆς κινήσε-
ως, ἀλλὰ μὴ παρὰ τὰς ἀνάγκας αὐτὰς ὅτε πρὸς τὸ διαμάχεσθαι παρασκευάζονται·
συμβαίνει γὰρ ἀπαρασκεύους διαγωνιζομένους τοὺς στρατιώτας ἀτάκτως ἔχειν
πρὸς τὸν τῆς μάχης κίνδυνον:—

Χρὴ οὖν περὶ τῶν κινδύνων μεθαρμόζειν τὰς ψυχὰς τῶν στρατιωτῶν πρὸς τὰς παρού-
σας δόξας ἀξιοπίστως, ἀλλὰ καὶ τὰς τῶν ἀντιπολεμίων ψυχὰς καταδουλοῦσθαι
ἐντέχνως εἴς τε φόβους καὶ ῥαθυμίας καὶ μαλακίας· καὶ οὕτως ἐπιτίθεσθαι αὐ-
τοῖς καὶ ἀντὶ παντὸς ὄκνου διαμάχεσθαι:—

Μηδαμῶς δὲ ἄλλως δύνασαι περιγενέσθαι τῶν ἐναντίων εἰ μὴ πρότερον εἰς ἀνά-
γκας αὐτοὺς περιστήσεις μηδὲ ἄγειν εἰς τοιούτους κινδύνους· ἐξ ὧν θηριόνες-
μᾶλλον ἔσονται οἱ ἐχθροὶ ἢ πρὸ βούλονται· εἰ δὲ πίστεις δῶσι καὶ ὁμολογίαι ταύτας
ἀξίου σε φυλάττειν:—

Ἐν δὲ ταῖς τῶν πραγμάτων ἐκβάσεσι δέον σε μήτε εὐτυχοῦντα καὶ τῆς τῶν πολε-
μίων ἀτυχίας κρατοῦντα μετὰ φρονήματος διαπράξασθαι· μηδὲ πρὸς τὰ καίρια
ἀεὶ τὰ ἐναπομένοντα τῶν πόνων ἀμελεῖν, ἀλλ' εἰς τὰ μακρόθεν καὶ ἔμπροσθεν
ἀποβλέπειν καὶ βουλεύεσθαι ἃ χρὴ ποιεῖν. μήτε δὲ δυστυχῶν φανερὸς γίνου
ὡς καταπεπληγμένος, μήτε τοῖς στρατιώταις μήτε τοῖς πολεμίοις· ἀλλὰ μηδὲ
πρὸς τοὺς πολεμίους διάλυε ἐν οἷς καιροῖς δυνατὸς ὑπάρχεις κατ' αὐτῶν ἀν-
τέχειν καὶ καταγωνίσασθαι· εἰ μὴ βεβαίαν εἰρήνην καὶ ἐπωφελῆ οἱ ἐναντίοι αἰ-
τοῦνται. μεγάλαι γὰρ καταπτώσεις πολλάκις ἐκ τοῦ τοιούτου τρόπου γίνονται:—

Χρεὼν δέ σε καὶ τὸ στράτευμα εἰς πόλεμον ἐξάγειν μὴ ἀτελὲς κατὰ τὸ πλῆθος,
μηδὲ τῶν συνεργῶν τεχνῶν καὶ πραγμάτων ἀπολειπόμενον· μηδὲ ἄλλην τινὰ
δεξιὰν ἔχων ἐλάττωσιν, ἐξ οὗ μάλιστα τρόπου οἱ κακοὶ στρατηγοὶ διαβάλλονται:—

Χρὴ δέ σε σπουδαῖον ἀναφαίνεσθαι, καὶ μάλιστα διοικεῖν καὶ προνοεῖν τῶν στρατι-
ωτῶν· καὶ τὰς δαπάνας εἰς τὸ δυνατὸν ὀλίγας καὶ συνεσταλμένας κελεύειν, καὶ
τὰ ἄλλα τὰ κοινὰ διατάττειν ἐμπείρως καὶ ἐπὶ τούτοις μελετᾶν σε τοῦ ποιοῦ τὰ
δέοντα. ἔντευχε τοῖς ἀρχαίοις καὶ τοῖς νέοις ὥστε ἱστορικὸν εἶναι πάντων τῶν κα-
τὰ πόλεμον, καὶ ἔμπειρον παλαιῶν στρατηγημάτων ὅσα ἀξιάγαστα γεγόνασιν.
καὶ εἴ τις ἐπαγγέλλεταί τι περὶ στρατηγίας ἢ εὑρεῖν ἢ τεχνίτης, ἢ ἰδιώτης πάν-
των ἄκουε καὶ γίνου τῶν λεγομένων κριτής. συμβουλεύεσθαί σε χρὴ μετὰ
γερόντων ἅμα ἐμπείρων γενομένων τῶν κατὰ πόλεμον ἔργων καὶ ἀξιωμα

σι διαπρεπόντων καὶ μετὰ εὐνοίας ἐν τοῖς πράγμασι πειθομένων ἢ ζημιουμένου χεῖρον διακειμένων :–

Δεῖ δέ σε ἐν τοῖς κινδύνοις τῆς μάχης μὴ ἐκ χειρὸς μάχεσθαι, ἀλλὰ φυλακὴν ἔχειν περὶ σεαυτόν· καὶ ἐρρωμένα γίνεσθαι γίνεσθαι τὸ στράτευμα κατὰ τὸν καιρὸν τῆς μάχης πρὸς τὴν κατεπείγουσαν χρείαν ὀξέως. ποιητικὸν δὲ εἶναι στρατηγημάτων καὶ ἀγχίνουν ἐν ταῖς ἐπιχειρήσεσιν ὑπάρχειν· καὶ ὅταν αὐτὸς ἐπιτίθεσθαι βούλῃ τοῖς πολεμίοις καὶ ὅταν ἐπιβουλεύεσθαι μέλλῃς παρὰ τῶν πολεμίων. ἔτι δὲ καὶ ἐν τοῖς αἰφνιδίοις φόβοις εὔπορος καὶ πρὸς τὰς τῶν πολεμίων κακουργίας δεινὸς περιιδεῖν, καὶ τὸ μέλλον προστοχάζεσθαι. εἶναι δέ σε ἀγχίνουν πρὸς τὰ ζητήματα ὅσα κατὰ τῶν πολεμίων ἐπινοήσεις ζητητικὸν καὶ ἐπιμελέστατον. γυμναστὴν δὲ καὶ φύσει καὶ ἐπιμελεῖσθαι διαφέροντα τῶν ἄλλων ὑπό σε ἀρχόντων, καὶ τὸ σῶμα δὲ ῥωμαλέον καὶ πρὸς πᾶσαν ὅπλισιν, ὥστε χρῆσθαι αὐτῇ δυνατῶς καὶ ἀνεμποδίστως. καὶ εὐπρεπῆ δὲ ἐν αὐτῷ γίνεσθαι τὴν ἰδέαν καὶ κατασκευάζεσθαι τῇ πανοπλίᾳ τῶν ὅπλων καλῶς καὶ εὐπρεπῶς καὶ ἀπόνως, ὡς γενναῖον τὴν ἡλικίαν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα εὔρωστον. εἰδέναι δέ σε μάλιστα καὶ ἐγκρατῆ χρημάτων καὶ ἡδονῶν ἁπασῶν. φιλόπονον δὲ πρὸς τὰς καρτερίας, ἀνδρεῖον δὲ πρὸς τοὺς κινδύνους καὶ μὴ ταρασσόμενον ἐν τοῖς ἀγῶσι. φιλότιμον περὶ τὰς πράξεις τὰς μετὰ δικαιοσύνης. μεγαλόψυχον δὲ ἐν τοῖς ἔργοις τοῖς πρὸς τοὺς στρατιώτας. ἀξίωμα ἔχοντα ἀπὸ πόλεως καὶ γένους καὶ πολιτείας εὐνομουμένης τὴν οἰκείαν ἀρετήν, καὶ τὸ προέχειν ἁπάντων ἐν τῇ κατὰ πόλεμον ἐμπειρίᾳ. εὔνοιάν τε καὶ φιλοτιμίαν ἐν τοῖς παροῦσιν ἀεὶ πράγμασι τοὺς ἄλλους νικῶντα, καὶ ὡς ὑπὲρ ἰδίων πραγμάτων τοὺς κοινοὺς κινδύνους ἀναδεχόμενον :–

Προσέτι δὲ δημαγωγικόν σε εἶναι χρὴ καὶ ἀγωνιστὴν καὶ τοῖς ἐπιθετωτάτοις τῶν λόγων χρώμενον περὶ τὴν διήγησιν. πλὴν ὅτι συμφέρειν οἶδεν ἐπιψεύδεσθαι, ὥστε εἰς ἄλλο ἦθος μεταστῆσαι καὶ κινῆσαι τὰς τῶν ἀκουόντων ψυχὰς χρησίμων καὶ βεβαίους ποιῆσαι τὸν παρόντα καιρόν. περὶ δὲ τοὺς ἐν ταῖς μάχαις ἀποθνήσκοντας μεγαλοπρεπὴς γενοῦ καὶ φιλότιμος καὶ τιμητικός. μάλιστα περὶ τοὺς ἀγαθοὺς ἄνδρας. δόξαν αὐτοῖς διὰ τοῦ μακαρισμοῦ καὶ τῆς ἐντίμου ταφῆς περιποιούμενος. τῶν νοσούντων θεραπευτικός. περὶ τοὺς ἀπόρους εὔπορος ἐκ τῶν ἰδίων. ἀφιλόδοξος δὲ καὶ ἐλευθέριος ἔν τε ταῖς ἰδίαις καὶ ἐν ταῖς κοινῇ συνερχομέναις ὁμιλίαις. μὴ δύσερις ὑπάρχῃς. μὴ πολυ

πραγμάτων μηδὲ πολύχρονος. γίνεται δὲ ἐπαινετώτερος καὶ τοῖς σχήμασι καὶ βαδίσμασι, ἐ-
κάλλους τῶν ἄλλων τὸ ἀνεπίφθονον παραφυλάττε. ἀλλ᾽ ἔτι μὴ διακνίζεσθαι τῷ φθόνῳ
πρὸς τοὺς συστρατήγους τοὺς κατορθοῦντας, ἀλλὰ ζηλοῦν μᾶλλον καὶ μιμεῖσθαι καὶ
συναγωνίζεσθαι τοῖς στρατευομένοις πρὸς ἅπαντα τὰ συμφέροντα. τῷ δ᾽ ἀγαθῷ στρατη-
γῷ ἀρέσκον ἐστὶ πρὸς πᾶν ἔθνος ἁρμοζομένῳ διαφόρους πρὸς ἕκαστον τὰς στρα-
τηγίας ἐπινοεῖσθαι διαγινώσκειν. εἰ δέ ποτε καὶ ναυαρχίας ἐπιστήσεται, ἀκέραιον
τὴν τοῦ στόλου τάξιν διαφυλάξει, ἐμπείρως ἔχων τῆς τοῦ ἀέρος φορᾶς, καὶ τὰς
οὐρίας δ᾽ ἤτοι τοὺς ὀπισθοφύλακας εὐτάκτως συνάγειν ἵνα μὴ ὑπὸ τόπου, ἢ ὑ-
πὸ ζάλης θαλαττίας, ἢ ὑπὸ πολεμίων ἀναγκαζόμενοι φθείρονται :—

Δεῖ δέ σε γινώσκειν ὦ στρατηγὲ καὶ ἐκ πόσων τρόπων αἱ μάχαι συνάπτονται. ἢ γὰρ ἐκ
παρατάξεως κατὰ πρόσωπον, ἢ ἐκ παραδολισμοῦ καὶ μεθόδου, ἢ τινων ἀποστει-
σόντων ὀχυρῶν, ἢ χώραν ἐξ ἐφόδου φθείρουσι, ἢ δι᾽ ἐνδείας, ἢ σιτοδείας,
ἢ σώματα ἐμπράζοντας, ἢ λεηλατοῦντας, ἢ αἰχμαλωτίζοντας, ἢ ἑτέρων ἀποστε-
ροῦντας, ἢ ἐξ ἐνέδρας ἐπερχομένους :—

Συνάπτονται δ᾽ αἱ μάχαι καὶ ἐκ τούτων, ὅταν αἰφνιδίως ἐπιστῇ στράτευμα στρατοῦ-
μένῳ καὶ ποταμὸν διαβαίνοντι τῷ πολεμίῳ συνάπτειν, καὶ εἰς στενοὺς τόπους
ἐξ ὀρυχωνείας καθισαμένῳ, καὶ μή πω συντεταγμένῳ. καὶ ὅταν μέλλᾳ τι
ἀθρόα τοῦ κρατοῦντος τῶν πολεμίων γένηται, καὶ ὅταν τῶν ἀναγκαίων ἀπορήσωσιν.
καὶ ὅταν εἰς νόσον τὸ στράτευμα τῶν ἐναντίων ἐμπέσῃ, καὶ ὅταν ὑπὸ χειμῶνος
τῷ ψύχει ἐνοχληθῶσιν, ἢ ἐκ πολλοῦ φθόνου χειμῶνι, καὶ ὅταν ἀπὸ τῶν ἡμερινῶν
πόνων τὰ σώματα κατάκοποι γενόμενοι ἀσθενεῖς εἰσὶ καὶ νηστεύοντες, ἢ πορείας μα-
κρᾶς ἐμπεσούσης καὶ κόπος τῶν ζῴων καὶ ἀνδρῶν γένηται, ἢ ὅταν ἀγρυπνοῦ-
σιν διά τινας αἰτίας. ἐν δὲ ταῖς ναυτικαῖς μάχαις συνάπτονται, ἢ ὅταν οἱ πο-
λέμιοι ναυαγήσωσιν, ἢ ὅταν ὑπὸ χειμῶνος ταλαιπωρηθῶσιν,
τοῦ στρατοῦ καὶ τὰ ἐκ τούτων ἐναντία γινόμενα. πρόσεστι δὲ καὶ τοῖς καταμει-
σθοὺς τοῦ στρατοῦ καὶ τὰς παρατάξεις καὶ τὰς παρατάξεις τῶν τάξεων, ἵνα δι᾽ ὀλί-
γον πίπτωνται. εἰδέναι δὲ καὶ τὰ εἴδη τῶν παρατηγμάτων, καὶ πρὸς τὰς ἀπο-
ειθισμένας ἁπάσας τῆς μάχης ἐπιβολὰς νουνεχῶς ἐπιβάλλειν σε πα-
ρακελευόμεθα ὦ στρατηγὲ καθόλου ἐπινοήσεις ἐκδέχεσθαι τὰς ἐγχειρήσεις. φυλάτ-
τεσθαι δ᾽ ἀπάντων τὰς τῶν πολεμίων ἐπιθέσεις, καὶ πρὸς πάντα τὰ τοιαῦ-
τα εὐσταλεῖς ἐμπεπλουτεῖσθαι φεύγειν τὰς ἐγχειρήσεις. ἀλλ᾽ ἑτέροις δεήσεις,
διὰ τοῦτο τὰ ὅμοια πάθοις πάλιν τῶν ἑτέρων διὰ τοῦτο, ἐπιμελείαν ὀξέας καὶ-

νουνεχῶς ἐπιβάλλεις τοῖς ἐπιπλέουσι καὶ ἀντιληφθεὶς ταῖς ἀναγκαις τὰ δέοντα. ἐν δὲ τούτοις τοῖς χρόνοις τοῦ ἐνιαυτοῦ δέουσι τὰς ἐκστρατείας ποιεῖσθαι ὅταν ὦσιν οἱ καρποί. ἐν δὲ ταῖς στάσεσι τῶν παρατάξεων τὰ ἐναντία πνεύματα κατὰ νώτου ποιεῖσθαι, καὶ τὸν ἥλιον δ' ὁμοίως κατὰ τὰς πολεμικὰς ἀγωνίας ἐν ὄψει τῶν ἐναντίων ποιεῖν :—

Εἶναι δὲ δεῖ τὸν μεγαλόφωνον ἐν τοῖς παρατάγμασιν καὶ εὐθαρσῆ καὶ ἐμμελὲς ἔχειν τὸ φθέγμα. συνεργοῦσι δὲ τῇ φύσει τοῦ πολέμου αὗται αἱ τέχναι· οἷον ὁπλιτική, λογιστική, ἀρχιτεκτονική, ἀστρονομική, ἱερατική, ἰατρική. ἔργα δὲ τῆς ὁπλιτικῆς ὥστε περιφράττειν τὰ σώματα ὅπλοις συμμέτροις καὶ ἁρμόζουσι καὶ ἰσχυροῖς καὶ ἀκριβῶς εἰργασμένοις, καὶ εὐπρέπειαν παρέχουσι τῶν φερόντων αὐτὰ σωμάτων. ἐκλέξασθαι δὲ δεῖ σώματα ὅσα πρὸς πανοπλίαν ἁρμόζουσιν. δεῖ δὲ ὑποδεικνύναι τοῖς στρατιώταις οἵας καὶ ὅσας εἶναι χρὴ τῶν ὅπλων τὰς χρήσεις καὶ τὰς μελέτας τούτων, καὶ πάσας τὰς ἀγωνίας πρὸς πάντων σύσκεψιν καὶ γυμνασίαν πρὸς τὰς μάχας. φροντίζειν δὲ καὶ κτήσεων καὶ οὐσιῶν καὶ εὐπορίας, ἐξ ὧν αἱ κτήσεις τῶν ὅπλων καὶ αἱ δαπάναι αἱ περὶ τὰ σώματα ἀρκοῦσαι ἔσονται. ταῦτα τῆς ὁπλιτικῆς :—

Λογιστικῆς δ' ἔργον ἐστίν, ὥστε μερίζειν τὸ στράτευμα κατὰ κονδουβέρνια, καὶ τάξεις καὶ τούρμας καὶ δρούγγους καὶ βάνδα, καὶ κενταρχίας τε καὶ δεκαρχίας καὶ πενταρχίας, καὶ τοὺς ἄλλους ἀριθμοὺς καὶ ὅλας παρατάξεις. καὶ πάντων τούτων ποιεῖσθαι διαίρεσιν τίνες καὶ ὅτι τὰ κάστρα φυλάξουσι, καὶ τίνες ὅτι νέοι ἢ γέροντες εἰσίν, ἢ ἀνάπηροι τὰ μέλη, ἢ διὰ νόσους ἀσθενεῖς. καὶ ὅτι τῆς πολιτικῆς ἀρχῆς, ἢ περὶ τὰ δημόσια πράγματα τεταγμένοι. ταῦτα λογιστικῆς εἰσί. διακρῖναι δὲ καὶ ἐπιλέξασθαι τὸ λοιπὸν τὰ ἀκμάζοντα σώματα πάσης τῆς στρατιᾶς, καὶ τούτων τὸν μερισμὸν ὁπόσοι εἰσὶ κατὰ μέγεθος καὶ σμικρότητα, καὶ ὅπως ἄρχοντας ἐπὶ τούτοις μεγάλους τὰς ἡλικίας δεῖ ποιεῖσθαι. καὶ πῶς τὰ περὶ τὴν στάσιν ὅτε τὰ μήκη καὶ τὰ βάθη γινόμενοι τάξεις ἔσονται, καὶ ἐν ποίοις ἀριθμοῖς ἕκαστον τὸ μέρος καὶ πῶς καταταγήσονται πρὸς τὰς ἐν ταῖς χρείαις ἀναγκαίαις κινήσεις. καὶ ταῦτα μὲν τῆς λογιστικῆς :—

Τῆς δὲ τακτικῆς ἔργον ἐστίν, ὥστε τὰ σχήματα τῶν ταγμάτων δεῖξαι· ἐν οἷς ἢ ἐγχειρεῖν μάχης, ἢ ἐγχειρεῖσθαι συμβαίνει· καὶ ποῖα χρήσιμα πρὸς τὸ ὑποδέχεσθαι πολεμίων ἐπιφοράς. καὶ ποῖα πρὸς τὸ ἐπέρχεσθαι ἢ ἀμύ-

γίνεσθαι πέφυκεν· καὶ μετὰ ποίου τύπου γίνονται ἕκαστα· καὶ ποίας ὁ
πλεῖστος δεῖ ποιεῖσθαι κατὰ τῶν ἐναντίων· καὶ πῶς μετακινεῖσθαι τὰς
τάξεις δυνατόν· καὶ ἐν τίνι τόπῳ καὶ πότε χρηστέον· ταῦτα ἐκ τῆς τακτικῆς :-

Τῆς δ' ἀρχιτεκτονικῆς ἐστι τὰ τῶν στρατοπέδων καὶ φοσσάτων σχήματα ἰδιάζοντα
ἀπλήκτων πῶς δεῖ ταῦτα περιλαβεῖν διὰ φοσσάτου ἢ χάρακος· καὶ τὸν ἐπιτήδειον
τόπον διαμετρεῖσθαι συμμέτρως καὶ ποιεῖσθαι διεξόδους τὰς ἁρμοζούσας.
καὶ τὸ δεῖξαι διαστήματα μεγίστου στρατοπέδου διά τε τὸ μῆκος καὶ ταχί-
στης πάλιν συστολῆς· ὅτε καιρὸς τῆς ἑκάστου χρεία ἐστὶν ἐπιλέγεσθαι καὶ τόπους
ὅτι μὴ ἐπιβουλευτοὶ τοῖς πολεμίοις, καὶ ὅτι ἀνεμπόδιστοι καὶ ἀ-
κώλυτοί εἰσιν ἐν ταῖς ὑποστροφαῖς :-

Περὶ δὲ τῆς μηχανικῆς ἐστι τειχίσματα πόλεων, ἢ ἄλλων ὀχυρωμάτων πρὸς τὰς
τῶν πολεμίων μηχανὰς ἀνταγωνιστὰ κατασκευάσαι καὶ ὑπὸ τῶν ἐναντίων ἀ-
νεπάλωτα τῆς ἀνάγκης τα· καὶ περὶ τὰ τείχη κατασκευὰς ποιεῖσθαι καὶ παρασκευά-
σαι ὅπλισιν· οἷον τὰ λεγόμενα μαγγανικὰ καὶ τοξοβολίστρας καὶ τὰ ὅπλα ὅλα
πρὸς τειχομαχίαν ἀντίκειται, καὶ ἑτέρας δὲ πρὸς τειχομαχίαν ἐπιτήδεια. ταῦ-
τα ἐκ τῆς ἀρχιτεκτονικῆς :-

Τῆς δ' ἀστρονομικῆς ἐστι τοὺς καιροὺς τοῦ ἐνιαυτοῦ προλέγειν, ἐν αἷς χειμώ-
νων καὶ καυμάτων μεταβολαὶ γίνονται, ἢ ὑδάτων ὀμβρίων μεταφοραί, ἢ
πνευμάτων ἐξαισίων κινήσεις, ἐξ ὧν στρατεύματα πολλάκις εἰς μεγίστους
κινδύνους ἐνέπεσον. καὶ περὶ τὰ μέρη δὲ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἀκρι-
βῶς διαιρεῖν τοὺς καιροὺς πρὸς τὰς ὥρας ἐπιτηδείων, καὶ πρὸς τὰς ἀναπαύ-
σεις ἐν αἷς ἀσχολοῦνται. πολλάκις τινὲς ἄριστον τὴν δύναμιν ἀπρακτάζονται,
περί τε σεισμῶν καὶ τῶν ἄλλων σημείων τὰ μέλλοντα δηλοποιεῖν. ἢ καὶ πρὸς
τὸ συμφέρον τὰς ἐπιφανείας ἐντέχνως μεταχειρίζειν. ταῦτα πάντα τῆς ἀ-
στρολογίας εἰσί :-

Τῆς δ' ἱερατικῆς ἐστι, τὸ καλῶς τὰ θεῖα χρῆσθαι καὶ ταῦτα ἐπιτελεῖν ἀδιαλεί-
πτως τὰ στρατεύματα εὐσεβῶς τε καὶ θεαρέστως κατὰ τὸν προσήκοντα θεσμόν·
δύνασθαι τοῖς εὐσεβέσι χριστιανοῖς διά τε ἱερολογιῶν καὶ ἱερουργιῶν καὶ
τῶν ἄλλων δεήσεων πρὸς τὸν θεὸν ἐκτενῶς γινομένων, καὶ πρὸς τὴν παναγίαν
τὴν αὐτοῦ μητέρα καὶ θεοτόκου, καὶ τοὺς ἁγίους αὐτοῦ θεράποντας. ἐξ ὧν ἱλεοῦ-
ται τὸ θεῖον καὶ διὰ τὴν πίστιν τῆς θείας αἱ ψυχαὶ τῶν στρατιωτῶν γενναιότεραι
πρὸς τοὺς κινδύνους παρασκευάζονται :-

Τῆς δ' ἰατρικῆς ἐστι περὶ τὰ ἕλκη τὰ ἐκ πληγῶν σωμάτων γενόμενα, καὶ περὶ τὰς
πληγὰς ὅσαι ἀπὸ λίθων ἢ ἀπὸ βελῶν ἢ ἄλλου τινὸς ὅπλου γίνονται. τούτων
πάντα φάρμακα ἔχειν θεραπευτικὰ καὶ ἐπιστήμην ἰατρικήν. ἀλλ' ὅσα νοσήματα
κοινὰ συμβαίνειν εἴωθεν διὰ ψύχη, καὶ καύματα καὶ πόνους, καὶ ὑδάτων
μεταβολάς, καὶ τόπων θέσεις, καὶ ἀέρων κράσεις, καὶ σωμάτων ἀθεραπευ-
σίαν, καὶ τροφῶν ἀταξίαν· οἷον καρπῶν νέων, καὶ τῶν ὁμοίων πάντων ἰατρι-
κή ἐστι θεραπευτική :-

Περὶ δὲ τῆς λογιστικῆς ἐστι διοικήσεως καὶ τὰ ἀναλώματα τῶν στρατιωτῶν, καὶ ὅ-
σα ἀπὸ λαφύρων συναθροίζουσι χρήματα, ἢ ἀλλοθέν ποθεν καὶ πάλιν που ἀ-
ναλίσκεται. ἔτι τε ὅπλων καὶ μηχανημάτων κατασκευάς καὶ ἑτέρας χρείας
τῆς ἑκάστης στρατιᾶς. τούτων ἡ διάκρισις καὶ διοίκησις τῆς λογιστικῆς
εἰσι μεθόδου τέχναι, ὥσπερ οὖν τὰ ἄλλα. περὶ δὲ κατασκευὴν καὶ σειρὰν στρατεύ-
ματος, καὶ τεχνῖται γὰρ τούτων οἱ ἐπιστημόνως αὐτὰς μεταχειριζόμενοι. τὴν
γὰρ οὖν ὁπλιτικὴν οἱ περὶ τὴν τῶν ὅπλων ἐργασίαν ποιοῦνται τεχνῖται. τὴν δὲ λο-
γιστικὴν γραμμάτων καὶ ψήφων ἔμπειροι ἄνδρες. τὴν δὲ ταμιευτικὴν σύν τε αὐ-
τοῖς στρατηγοῖς καὶ οἱ ὑπό σε τάσσονται ἄρχοντες :-

Τὴν δ' ἀρχιτεκτονικὴν οἱ τέκτονες καὶ μηχανικοὶ καὶ ἐκ πολλοῦ πρὸς τὴν τοιαύ-
την ἐργασίαν ἔμπειροι. τὴν δ' ἀστρονομίαν γὰρ οἱ περὶ τὰ οὐράνια σχολάζονται. ὅ-
σα τε καὶ ἐπιστήμῃ [illegible] διαφέρουσι, περί τε τοῦ Πτολεμαίου
πρόχειρον κανόνα καὶ περὶ τὴν αὐτοῦ λεγομένην τετράβιβλον. περὶ ἕτερά τινα
δὲ χαλδαϊκῶν πρασιωδῶν. περὶ δὲ καὶ τὴν τοῦ ἀστέρος περὶ τῶν φαινο- ἴσ(ως) πρασπεδωδῶν
μένων διαγορεύουσι. τὰ δὲ τῆς γενεθλιαλογίας ὅσα τοῖς εἰρημένοις παρέ-
σπαρται ὡς ἀπόβλητα τῆς τοῦ θεοῦ ἐκκλησίας ἡ ἡμετέρα ἀποτρέπεται βασιλεί-
α. ταῦτα γὰρ τῆς ἀστρονομίας :-

Τὴν δ' ἱερατικὴν ἱερεῖς καθαροὶ σεμνοὶ τὸν βίον καὶ τὸν τρόπον καθιστάμε-
νοι ἐπιτελοῦσι καὶ αὐτοί. τὸ τέλος τῆς οἰκείας ἐνεργείας τῷ θεῷ ἀναβάλλουσιν
ὥσπερ δὴ καὶ ἡμεῖς τὰ πρώην ἡμῖν εἰρημένα ἀνακεφαλαιούμενοι τὸ τέ-
λος τῆς στρατηγικῆς ἀκριβείας τῷ πάντα ἀγαθὰ διδόντι θεῷ ἀνατίθεμεν.
νόμοι γὰρ οὖν στρατηγικοὶ καὶ τύποι τοῦτο παρὰ τῆς ἡμῶν βασιλείας οἵ τε
αὐτῷ καὶ τοῖς ὑπό σε στρατεύμασι διὰ πείρας ἐκγεγυμνασμένοι ἐστάλησαν ἐ-
φυλάττεσθαι στρατηγοῖς. καὶ ἀξίως ἐντετραμμένοις μετὰ προθυμίας τε ἐ-
ν τάχεως πάσης ἐπιμελείας. μετὰ γὰρ κεφαλαίους ἐκ τοῦ βιβλίου τούτου

καὶ γὰρ ἀφῃρημένα ταῦτα ὅταν ἀκριβῶς τὰ ἐν αὐτῷ στρατηγήματά τε καὶ διατάγματα
ὑπὲρ νοῦ κατανοήσῃς· τότε ἐάν ποτε τοῖς αὐτοῖς οἱ πολέμιοι χρήσωνται, εὐκόλως τὰ
ἐναντία τούτων καὶ ἐκείνων ἐπινοήσῃς· ταῦτα γὰρ καὶ τὸ δυνατὸν ἐκ τῆς τῶν πολλῶν
πείρας ὡς εἴρηται καὶ ἐκ τῶν εἰρημένων παρὰ τῶν ἀρχαίων κατανοήσαντες ὡς ἐν ἀρ-
χῇ ἡμῖν εἴρηται τοῦ συντάγματος· οὔτε πρὸς τινος ἄλλης συντάξεως, ἀλλὰ μόνον ἁ-
πλαῖς τε καὶ κοιναῖς χρησάμενος λέξεσι, καὶ οἵας ἔχει ἡ στρατιωτικὴ συνήθεια· ὅσα δὲ
κεφάλαια ἕτερα τὰ ὡς εἰκὸς ὑπ' αὐτῶν τὰ ἐν ἑκάστου πολέμου καιρῷ, ἢ τινος ἑ-
κάστου παρασκευῆς ἑτοιμασίας· καὶ μάλιστα ἐν τῷ νῦν ἡμῖν ἐνοχλοῦντι τῶν Σα-
ρακηνῶν ἔθνει διόπερ ὡς εἴρηται καὶ τὸ παρὸν ἡμῖν συντέτακται βιβλίον. οὐ γὰρ
μὲν πάντα συλλαβεῖν ἠδυνήθημεν, ἀλλ' ἐκ τε τῶν γεγραμμένων ἐκ τῆς περιλα-
βούσης πείρας καὶ αὐτῆς δὲ τῶν πραγμάτων φύσεως στοχάζεσθαί σε δέον, ὡς
δυνατὸν ἁρμόζεσθαι τοῖς ἀναφυομένοις ὑμῖν· οὐ γὰρ οὐ δυνατὸν οὔτε ἡμᾶς, οὔτε τι-
να ἕτερον ἅπαντα γράφειν, ἢ πρὸς ἅπαντα τὰ μέλλοντα ἀναφύεσθαι· ὥστε παραφυ-
λάττεσθαι ἁπάντων ἀπείρων ὄντων τῶν ἐμπιπτόντων ἑκάστοτε διαφόρων περιστάσε-
ων· οὔτε γὰρ ὁμοίως ἀεὶ τὰ ὑπὸ τῶν ἐναντίων ἐγχειρούμενα στρατηγήματα, διὸ οὐ γὰρ δύ-
νατόν τις στοχάζεσθαι τὰ μέλλοντα ἀναγκαῖα πρὸς χρῆσιν ἑκάστοτε, ἀλλ' οὐδὲ ἐν μιᾷ τά-
ξει στρατεύονται· ἀλλὰ ποικίλης οὔσης παρὰ τῶν ἐναντίων ἐγχειρήσεως καὶ διαφό-
ρει καὶ οἱ τρόποι τῶν κατ' αὐτῶν ἀντιχειρήσεων γίνεσθαι ὀφείλουσι· πανοῦργος γὰρ ἡ
ἀκατάληπτος ἡ ἀνθρωπίνη φύσις ὑπάρχουσα πρὸς ὅ τε βουλεύεσθαι καὶ ἐγχειρεῖν παρ' ἐλπίδας
γενέσθαι· ὅθεν καὶ ἁρμοδίως καὶ κατὰ χρείας δέουσι ἀεί σε τὸν στρατηγὸν τῇ πρὸς τὸ δέον στο-
χάζειν, καὶ τὰς αὐτοῦ ἐντολὰς φυλάττειν· ἵνα διὰ τοῦ δυνατωτέρου ἐχθρῶν
καταστρέφεσθαι, καὶ αὐτὸς ἀβλαβὴς ἅμα τοῖς ὑπὸ σὲ πᾶσι
σώζεσθαι. ἐν Χριστῷ τῷ ἀληθινῷ βασιλεῖ τοῦ
παντὸς αἰωνίῳ, ὃς εὐσεβείας τε νί-
κης ἄνωθεν ἀποδέχεται·
ᾧ ἡ δόξα εἰς τοὺς
αἰῶνας ἀ-
μήν:+

# Περὶ γραμματικῆς καὶ ῥητορικῆς :–

Τὴν πρὸς τοὺς ἀπὸ τῶν μαθημάτων ἀντίρρησιν κοινότερον μὲν ἐοίκασι διατεθεῖσθαι οἵ τε περὶ τὸν ἐπίκουρον καὶ οἱ ἀπὸ τοῦ πύρρωνος· οὐκ ἀπὸ τῆς αὐτῆς δὲ διαθέσεως· ἀλλ' οἱ μὲν περὶ τὸν ἐπίκουρον, ὡς τῶν μαθημάτων μηδὲν συνεργούντων πρὸς σοφίας τελείωσιν, ἢ ὥς τινες εἰκάζουσι τοῦτο προκάλυμμα τῆς ἑαυτῶν ἀπαιδευσίας εἶναι νομίζοντες· ἐν πολλοῖς γὰρ ἀμαθὴς ἐπίκουρος ἐλέγχεται· οὐδὲ ἐν ταῖς κοιναῖς ὁμιλίαις καθαρεύων. τάχα δὲ καὶ διὰ τὴν πρὸς τοὺς περὶ πλάτωνα καὶ ἀριστοτέλην καὶ τοὺς ὁμοίους δυσμένειαν πολυμαθεῖς γεγονότας· οὐκ ἀπεικὸς δὲ καὶ διὰ τὴν πρὸς ναυσιφάνην τὸν πύρρωνος ἀκουστὴν ἔχθραν· πολλοὺς γὰρ τῶν νέων συνεῖχε καὶ τῶν μαθημάτων σπουδαίως ἐπεμελεῖτο· μάλιστα δὲ ῥητορικῆς· γενόμενος οὖν τούτου μαθητὴς ὁ ἐπίκουρος, ὑπὲρ τοῦ δοκεῖν αὐτοδίδακτος εἶναι καὶ αὐτοφυὴς φιλόσοφος, ἠρνεῖτο ἐκ παντὸς τρόπου, τήν τε περὶ αὐτοῦ φήμην ἐξαλείφειν ἐσπούδαζε· πολύς τε ἐγίνετο τῶν μαθημάτων κατήγορος, ἐν οἷς ἐκεῖνος ἐσεμνύνετο· φησὶ γοῦν ἐν τῇ πρὸς τοὺς ἐν μυτιλήνῃ φιλοσόφους ἐπιστολῇ· οἶμαι δὲ ἔγωγε τοὺς βαρυστόνους, καὶ μαθητήν με δόξειν τοῦ πλεύμονος εἶναι, μετὰ μειρακίων τινῶν κραιπαλώντων ἀκούσαντα· πλεύμονα καλῶν τὸν ναυσιφάνην ὡς ἀναίσθητον· καὶ πάλιν προβάς, πολλά τε κακὰ εἰπὼν τἀνδρός, ὑπεμφαίνει τὴν ἐν τοῖς μαθήμασιν αὐτοῦ προκοπὴν λέγων· καὶ γὰρ πονηρὸς ἄνθρωπος ἦν καὶ ἐπιτετηδευκὼς τοιαῦτα ἐξ ὧν οὐ δυνατὸν εἰς σοφίαν ἐλθεῖν· αἰνισσόμενος τὰ μαθήματα· πλὴν ὁ μὲν ἐπίκουρος ὡς ἄν τις εἰκοβολῶν εἴποι, ἀπὸ τοιούτων τινῶν ἀφορμῶν πολεμεῖν τοῖς μαθήμασιν ἠξίου· οἱ δὲ ἀπὸ πύρρωνος, οὔτε διὰ τὸ μηδὲν συνεργεῖν αὐτὰ πρὸς σοφίαν· δογματικὸς γὰρ ὁ λόγος, οὔτε διὰ τὴν προσοῦσαν αὐτοῖς ἀπαιδευσίαν· σὺν γὰρ τῷ πεπαιδεῦσθαι, καὶ πολυπειρότεροι παρὰ τοὺς ἄλλους ὑπάρχειν φιλοσόφους ἔτι καὶ ἀδιαφόρως ἔχουσι πρὸς τὴν παρὰ τοῖς πολλοῖς δόξαν. καὶ μήν, οὐδὲ δυσμενείᾳ τινὶ τῇ πρός τινας· μακρὰν γὰρ αὐτῶν τῆς πρᾳότητός ἐστιν ἡ τοιαύτη κακία· ἀλλὰ τοιοῦτόν τι ἐπὶ τῶν μαθημάτων παθόντες· ὁποῖον ἐφ' ὅλης ἔπαθον τῆς φιλοσοφίας· καθάπερ γὰρ ἐπὶ ταύτην ἦλθον πόθῳ τοῦ τυχεῖν τῆς ἀληθείας, ἰσοσθενεῖ δὲ μάχῃ καὶ ἀνωμαλίᾳ τῶν πραγμάτων ὑπαντήσαντες ἐπέσχον, οὕτω καὶ ἐπὶ τῶν μαθημάτων ὁρμήσαντες ἐπὶ τὴν ἀνάληψιν αὐτῶν, ζητοῦντες καὶ τὸ ἐνταῦθα μαθεῖν ἀληθές· ἴσας δὲ εὑρόντες ἀπορίας, οὐκ ἀπεκρύψαντο· διόπερ καὶ ἡμεῖς

τὴν αὐτὴν τούτοις ἀγωγὴν μεταδιώκοντες, πειρασόμεθα χωρὶς φιλονεικίας τὰ πραγματικῶς λεγόμενα πρὸς αὐτοὺς ἐπιλεξάμενοι, θεῖναι. ὅτι μὲν οὖν διδάσκειν ἀπό τινος ἐγκύκλια προσαγορεύεται μαθήματα καὶ πόσα τὸν ἀριθμόν ἐστι, περιττὸν ἡγοῦμαι· ἱκανὴν ἤδη τὴν περὶ τούτων ἔχοντας κατήχησιν γενομένης ἤδη τῆς διδασκαλίας. ὃ δὲ δοκεῖ ἀναγκαῖον ἐπὶ τοῦ παρόντος, ὑποδεικτέον. ὅτι τῶν λεγομένων πρὸς τὰ μαθήματα, τὰ μὲν, καθολικώτερον λέγεται πρὸς πάντα τὰ μαθήματα· τὰ δὲ, ὡς πρὸς ἕκαστα. καὶ καθολικώτερα μὲν, τὰ περὶ τοῦ μηδὲν εἶναι μάθημα· ἰδιαίτερα δὲ, πρὸς μὲν γραμματικοὺς ἔλεγχοι περὶ τῶν τῆς λέξεως στοιχείων· πρὸς δὲ γεωμέτρας, περὶ τοῦ μὴ δεῖν ἐξ ὑποθέσεως λαμβάνειν τὰς ἀρχάς· πρὸς δὲ μουσικούς, περὶ τοῦ μηδὲν εἶναι φωνὴν, μηδὲ χρόνον. ἴδωμεν δὲ τάξει πρῶτον τὴν καθολικωτέραν ἀντίρρησιν :—

Τῆς μὲν οὖν γενομένης παρὰ τοῖς φιλοσόφοις περὶ μαθήσεως διαφωνίας, πολλῆς καὶ ποικίλης οὔσης, οὐ τοῦ παρόντος ἐστὶ καιροῦ ἐπικρούειν· ἀποχρῇ δὲ παραστῆσαι, ὡς εἴπερ ἐστί τι μάθημα καὶ τοῦτο ἀνυστόν, τέσσαρα δεῖ προσομολογεῖσθαι· τὸ διδασκόμενον πρᾶγμα, τὸν διδάσκοντα, τὸν μανθάνοντα, τὸν τρόπον τῆς μαθήσεως. οὔτε δὲ τὸ διδασκόμενόν ἐστιν, οὔτε ὁ διδάσκων, οὔτε ὁ μανθάνων, οὔτε ὁ τρόπος τῆς μαθήσεως καθάπερ ὑποδείξομεν· οὐκ ἄρα ἐστί τι μάθημα :—

Καὶ δὴ περὶ τοῦ πρώτου λέγοντες, πρῶτόν φαμεν· ὡς εἴπερ διδάσκεται, ἢ τὸ μὴ ὂν τῷ μὴ εἶναι. οὔτε δὲ τὸ ὄν, τῷ εἶναι διδάσκεσθαι, ἢ τὸ μὴ ὂν τῷ μὴ εἶναι. οὔτε δὲ τὸ ὄν, τῷ εἶναι διδάσκεται, οὔτε τὸ μὴ ὂν τῷ μὴ εἶναι καθάπερ παραστήσομεν. οὐκ ἄρα διδάσκεταί τι. καὶ δὴ τὸ μὴ ὄν, τῷ μὴ εἶναι, οὐκ ἂν διδάσκοιτο. εἰ γὰρ διδάσκεται, διδακτόν ἐστι· διδακτὸν δὲ καθεστὼς τῶν ὄντων γενήσεται. ἐνταῦθα ἔσται μὴ ὂν καὶ ὄν. οὐχὶ δέ γε δυνατόν ἐστι τὸ αὐτὸ, καὶ ὄντα καὶ μὴ ὂν ὑπάρχειν. οὐκ ἄρα τὸ μὴ ὂν τῷ μὴ εἶναι διδάσκεται. τῷ τε μὴ ὄντι οὐδὲν συμβέβηκεν· ᾧ δὲ μηδὲν συμβέβηκεν, οὐδὲ τὸ διδάσκεσθαι συμβήσεται. ἓν γάρ τι τῶν συμβεβηκότων ἐστὶ τὸ μὴ ὄν. καὶ μὴν τὸ διδασκόμενον φαντασίαν κινοῦν, εἰς μάθησιν ἥκειν ἔρχεται. τὸ δὲ μὴ ὂν ἀδυνατοῦν φαντασίαν κινεῖν, οὐδὲ διδακτόν ἐστιν. ἔτι δὲ οὐδὲ ἀληθὲς τὸ μὴ ὄν ἐστιν· οὔτε γὰρ τῶν μὴ ὄντων ἐστὶ τἀληθές, οὔτε τὸ ἀληθὲς ὡς μὴ ὂν διδακτόν ἐστιν. εἰ δὲ μηδὲν ἀληθὲς ὡς μὴ ὂν διδακτόν ἐστι, τῶν γὰρ ὄντων ἐστὶ τἀληθές, ἀδίδακτον ἄρα τὸ μὴ ὄν. εἰ δὲ μηδὲν ἀληθὲς διδάσκεται, πᾶν τὸ διδασκόμενον, ψεῦδός ἐστιν· ὅπερ ἀλογώτατον ὑπάρχει. οὐ τοίνυν τὸ μὴ ὂν διδάσκεται. ἤτοι γὰρ τὸ διδασκόμενον ψεῦδός ἐστιν ἢ ἀληθές· ἀλλὰ ψεῦδος μὲν, ἀλογώτατον. εἰ δὲ ἀληθές,

ὂν ὑπάρχειν. οὐκ ἄρα τὸ μὴ ὂν διδακτόν. καὶ μὴν οὐδὲ τὸ ὂν ᾗ εἶναι διδακτόν ἐστιν·
ἐπειδὴ γὰρ τῶν ὄντων πᾶσι φαινομένων ἐπίσης, πάντα ἔσται ἀδίδακτα. ᾧ ἀκο-
λουθήσει τὸ μηδὲν εἶναι διδακτόν. δεῖ γὰρ ὑποκεῖσθαί τι ἀδίδακτον, ἵνα ἐκ τοῦ γι-
νωσκομένου γένηται ἡ τούτου μάθησις. τοίνυν οὐδὲ τὸ ὄν, ᾗ εἶναι διδάσκεται. ὁ δὲ
ὁμοίως τῆς ἀπορίας γενήσεται τρόπος καὶ πρὸς τοὺς ἐρωτῶντας τὸ ὄντι, ἢ τι διδάσκε-
σθαι. εἰ γὰρ τὸ ὄντι διδασκόμενον ἔσται ἢ διδάσκεταί τι, ἐκ ταὐτοῦ τὸ αὐτὸ τἀναντία
ὄντι καὶ τι ἔσται, ὅπερ εἶναι τῶν ἀδυνάτων. ᾧ τε οὐ τινὶ οὐδὲν συμβέβηκεν. διὸ οὐδὲ
τὸ διδάσκεσθαι. ἐπεὶ γὰρ τοῦτο τῶν συμβεβηκότων ἐστίν. οὐ τοίνυν τὸ ὄντι διδάσκεται.
κατὰ δὲ τὴν αὐτὴν ἀκολουθίαν ἐκ τοῦ τι ἀδιδάκτων γενήσεται. εἰ γὰρ διὰ τοῦτο διδακτὸν ἔ-
σται ὅτι ἐστίν, οὐδὲν ἀδίδακτον ἔσται, ᾧ ἕπεται, τὸ μηδὲν εἶναι διδακτόν. καὶ μὴν εἰ
διδάσκεταί τι, ἤτοι διὰ τῶν ἀγνώστων διδαχθήσεται, ἢ διὰ τῶν γνωστῶν. ἀλλὰ τὸ μὲν διὰ τῶν
ἀγνώστων, οὐχ οἷόν τε διδαχθῆναι. ἀνυπόστατα γάρ ἐστι τῇ διανοίᾳ ταῦτα κατὰ τοὺς ἀπὸ τῆς
στοᾶς. λείπεται οὖν διὰ τῶν γνωστῶν γίνεσθαι τὴν μάθησιν. ὃ πάλιν ἄπορόν ἐστιν. ὥσπερ
γὰρ αὐτὸ τὸ διδασκόμενον κατὰ τοῦτο διδάσκεται καθό ἐστιν, οὕτως ἐπεὶ τὰ ἐξ
ὧν ἡ μάθησις τινά ἐστι, γενήσεται διδακτά. ἐκ ταύτης μηδενὸς ὄντος διδακτοῦ, ἀναιρεῖ-
ται ἡ μάθησις. ἄλλως τε ἐπεὶ τῶν ὄντων τὰ μέν ἐστι σώματα, τὰ δὲ ἀσώματα. δεήσει
τὰ διδασκόμενα τινὰ ὄντα, ἤτοι σώματα εἶναι ἢ ἀσώματα. οὔτε δὲ σώματα δύνα-
ται ὑπάρχειν, οὔτε ἀσώματα, ὡς παραστήσομεν. οὐκ ἄρα ἐστί τινα διδασκόμενα:~
Ὁ μὲν οὖν σῶμα καὶ μάλιστα κατὰ τοὺς στωϊκούς, οὐκ ἂν εἴη τῶν διδακτῶν. δεῖ γὰρ
τὰ διδασκόμενα λεκτὰ τυγχάνειν. τὰ δὲ σώματα οὐκ ἔστι λεκτά. διόπερ οὐ διδάσκεται.
ἐπείπερ δὲ τὰ σώματα μήτε αἰσθητά ἐστι μήτε νοητά, δῆλον ὡς οὔτε διδακτὰ γενήσεται.
αἰσθητὰ μὲν οὖν οὐκ ἔστιν ὡς ἐκ τῆς ἐννοίας αὐτῶν συμφανές. εἰ γὰρ σύνοδός ἐστι κατὰ
ἀθροισμὸν μεγέθους καὶ σχήματος καὶ ἀντιτυπίας τὸ σῶμα, ὡς φησιν Ἐπίκουρος.
ἢ τὸ τριχῇ διαστατόν, τουτέστι τὸ ἐκ μήκους καὶ πλάτους καὶ βάθους, καθάπερ οἱ μα-
θηματικοὶ λέγουσιν. ἢ τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας ὡς πάλιν Ἐπίκουρος
ἵνα τοῦτο διορίζῃ τοῦ κενοῦ. ἢ ὄγκος ἀντίτυπος ὡς ἄλλοι. ὅπως δ' ἂν ἔχοι, ἐπεὶ
καὶ σύνοδον πολλῶν ἰδιωμάτων νοεῖται. ἡ δὲ πλειόνων ἐπισύνθεσις, οὐχ ἁπλῆς
τινός ἐστιν ἀλόγου αἰσθήσεως ἔργον, ἀλλὰ λογικῆς διανοίας. εἰ δὲ λογικῆς διανοίας,
οὐκ ἔσται τῶν αἰσθητῶν τὸ σῶμα. καὶ αἰσθητὸν δὲ ἂν πάλιν αὐτὸ ὑποθώμεθα, πά-
λιν ἐστὶν ἀδίδακτον. τὸ γὰρ αἰσθητόν ἐστιν, οὐ διδάσκεται. οὐδεὶς γὰρ λευκὸν ὁρᾶν μαν-
θάνει. οὐδὲ γλυκέος γεύεσθαι. οὐδὲ θερμοῦ ἅπτεσθαι. οὐκ εὐώδους ὀσφραίνε-
σθαι. ἀλλ' ἔστι ταῦτα τῶν ἀδιδάκτων καὶ φυσικῶς ἡμῖν περιόντων. λείπεται οὖν νο-

ἤτοι τε λέγειν τὸ σῶμα, καὶ ταῦτα διδακτόν· ὅπως δ' οὐκ ἀληθὲς, ἐπισκοπῶμεν. εἰ γὰρ μήτε μῆκός ἐστι κατ' ἰδίαν τὸ σῶμα μήτε πλάτος ἢ βάθος, τὸ δὲ ἐξ ἁπάντων νοούμενον, ἀνάγκη πάντων ἀσωμάτων ὄντων, καὶ τὸ ἐξ αὐτῶν συνὸν ἀσώματον νοεῖν, καὶ οὐ σῶμα. διὰ δὲ τοῦτο καὶ ἀδίδακτον. πρὸς γὰρ τὸ νοοῦντα τὸ ἐκ τούτων συνεστὼς σῶμα, πρότερον ὀφείλειν αὐτὰ ταῦτα νοεῖν· ἵνα κἀκεῖνα δυνατὸν ᾖ νοεῖν. ἢ γὰρ περιπτωτικῶς αὐτὰ νοήσει, ἢ κατὰ μετάβασιν ἀπὸ περιπτώσεως. οὔτε δὲ περιπτωτικῶς, ἀσώματα γάρ ἐστι, καὶ τῶν ἀσωμάτων οὐκ ἀντιλαμβανόμεθα. περιπτωτικῶς γὰρ κατὰ θίξιν γινομένης τῆς περὶ τὴν αἴσθησιν ἀντιλήψεως. καὶ μὴν οὐδὲ κατὰ μετάβασιν ἀπὸ περιπτώσεως· οὐδὲν γὰρ μηδὲν ἔχειν αἰσθητὸν ἀφ' οὗ μεταβάντες ποιησόμεθα τούτων ἐπίνοιαν. εἰ μὴν οὐδὲ τὰ ἐξ ὧν τὸ σῶμα νοεῖν δυνάμενοι, πάντως οὐδὲ διδάσκειν τοῦτο ἰσχύομεν. ἀλλὰ περὶ μὲν τῆς τοῦ σώματος νοήσεώς τε καὶ ὑποστάσεως ἐν τοῖς σκεπτικοῖς ὑπεμνήσαμεν ἀκριβέστερον. νυνὶ δὲ ἀποστάντες τούτων τὸν ἔλεγχον, ἐκεῖνο λέγομεν ὅτι τῶν σωμάτων κατὰ τὸ ἀνωτάτω διττή τίς ἐστι διαφορά· τὰ μὲν γὰρ αὐτῶν αἰσθητὰ καθέστηκε· τὰ δὲ, νοητά· καὶ εἰ τὸ διδασκόμενόν ἐστι σῶμα, πάντως ἤτοι νοητόν ἐστιν, ἢ αἰσθητόν. ἀλλ' οὔτε αἰσθητὸν εἶναι δύναται διὰ τὸ ἀπὸ συνθέσεως ὀφείλειν φαίνεσθαι καὶ πρόδηλον ὑπάρχειν, οὔτε νοητὸν διὰ τὸ ἄδηλον εἶναι. καὶ αὐτὸ τοῦτο ἀνεπικρίτως διαφωνεῖσθαι παρὰ πᾶσι τοῖς φιλοσόφοις. τινῶν μὲν ἄτμητον τοῦτο λεγόντων ὑπάρχειν, τῶν δὲ τμητόν. καὶ τῶν τμητὸν φαμένων εἶναι, τινῶν μὲν εἰς ἄπειρον τέμνεσθαι τοῦτο ἀξιούντων, τινῶν δὲ εἰς ἐλάχιστον καὶ ἀμερὲς καταλήγειν. οὐκ ἄρα διδακτόν ἐστι τὸ σῶμα. καὶ μὴν οὐδὲ τὸ ἀσώματον. πᾶν γὰρ τὸ ὁποῖον ἄν τις ἀσώματον λέγῃ διδάσκεσθαι, ἐάν τε τὰς πλατωνικὰς ἰδέας, ἐάν τε τὸ παρὰ τοῖς στωϊκοῖς λεκτόν, ἐάν τε τόπον, ἢ κενόν, ἢ χρόνον, ἢ ἄλλο τι τῶν τοιούτων. ἵνα μηδὲν προπετὲς περὶ τῆς ὑποστάσεως αὐτῶν λέγωμεν, μηδὲ δι' ἑτέρας σκέψεως ἐν ἑτέροις διεξοδεύωμεν παριστάντες τὸ ἀνυπόστατον ἑκάστου. ὁ πρόδηλον ὅτι ἐπιζητεῖται, καὶ ἕως ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ ζητήσεται παρὰ τοῖς δογματικοῖς. τινῶν μὲν εἶναι ταῦτα διαβεβαιουμένων, τῶν δὲ μὴ εἶναι, τῶν δὲ ἐπεχόντων. τὸ δὲ τὰ ἐν ἐπιδίκῳ καὶ ἐν μετεώροις ἀμφισβητήσεσι κείμενα ὡς σύμφωνα καὶ ὁμόλογα διδάσκεσθαι λέγειν τῶν ἀτόπων ἐστίν. εἰ οὖν τῶν ὄντων τὰ μέν ἐστι σώματα, τὰ δὲ ἀσώματα, δέδεικται δὲ οὐδέτερα τούτων διδασκόμενα, οὐδὲν διδάσκεται. ἐπιχειρητέον δὲ οὕτως. εἰ διδάσκεταί τι, ἤτοι ἀληθές ἐστιν ἢ ψεῦδος. οὔτε δὲ ψεῦδος διδακτόν ἐστιν ὡς αὐτόθεν ὁμόλογον, οὔτε ἀληθές. τὸ γὰρ ἀληθὲς, ἄπορον ὡς ἐν τοῖς σκεπτικοῖς

ὑπομνήμασι δέδεικται· καὶ τῶν ἀπόρων οὐκ ἔστι μάθησις· οὐκ ἄρα ἐστὶ τὸ διδα-
σκόμενον· καθόλου τε εἰ διδάσκεταί τι, ἢ τεχνικόν ἐστιν ἢ ἄτεχνον· καὶ ἄτεχνον μὲν
ὄν, οὐκ ἔστι διδακτόν, τεχνικὸν δὲ εἴπερ καθέστηκεν· αὐτόθεν μὲν φαινόμενον οὔτε τε-
χνικόν ἐστιν οὔτε διδακτόν· ἄδηλον δὲ καθεστὼς διὰ τὸ ἀδηλεῖσθαι πάλιν ἐστὶν ἀδί-
δακτον ᾧ συναναιρεῖται καὶ ὁ διδάσκων· διὰ τὸ μὴ ἔχειν ὃ διδάξει ἢ ἄδηλόν ἐστιν
ὅτε μανθάνων διὰ τὸ μὴ ἔχειν ὃ μάθη· ὅμως δ᾽ οὖν καὶ περὶ ἑκατέρου τούτων καὶ ἰδί-
αν ἐπιζητοῦντες ἀπορήσωμεν:~

Εἰ γὰρ ἔστι τις τούτων, ἤτοι ὁ ἄτεχνος τὸν ὁμοίως ἄτεχνον διδάξει, ἢ ὁ τεχνίτης τὸν ὁμοί-
ως τεχνίτην· ἢ ὁ ἄτεχνος τὸν τεχνίτην, ἢ ἀνάπαλιν· οὔτε δὲ ὁ ἄτεχνος τὸν ἄτεχνον δύ-
ναται διδάσκειν, ὡς οὐδὲ ὁ τυφλὸς τὸν τυφλὸν ὁδηγεῖν· οὔτε ὁ τεχνίτης ὁμοίως τὸν τε-
χνίτην· οὐδέτερος γὰρ αὐτῶν ἐνδεὴς μαθήσεως· καὶ οὐ μᾶλλον οὗτος ἐκείνου, ἢ ἐκεῖ-
νος τούτου χρείαν ἔχει πρὸς τὸ μανθάνειν τοῖς ἴσοις περιουσιαζόμενοι· οὔτε ὁ ἄτε-
χνος τὸν τεχνίτην· ὅμοιον γὰρ ὡς εἴ τις λέγοι τὸν βλέποντα ὑπὸ τοῦ πεπηρωμέ-
νου ὁδηγεῖσθαι· καὶ γὰρ ὁ ἄτεχνος πρὸς τὰ τεχνικὰ τῶν θεωρημάτων πεπηρω-
μένος· οὐκ ἂν δύναιτό τινα διδάσκειν, ἃ μηδὲ τὴν ἀρχὴν οἶδε· καὶ ὁ τεχνίτης-
διαβλέπων ἐν τοῖς τεχνικοῖς θεωρήμασι καὶ τὴν γνῶσιν αὐτῶν ἐσχηκὼς οὐ δεῖται-
τοῦ διδάξοντος· λείπεται οὖν τὸν τεχνίτην διαβλέποντα ἐν τοῖς τεχνικοῖς θεωρήμα-
σι καὶ τυφλοῦ τοῦ ἀτέχνου διδάσκαλον εἶναι λέγειν· ὃ τῶν προτέρων ἐστὶν ἀτοπώ-
τερον· ὅτε γὰρ τεχνίτης συμπορίζεται ἤδη τοῖς τεχνικοῖς θεωρήμασιν, ἐπισκεπτέος ὁ
τε ἄτεχνος, οὔτε ὅτε ἐστὶν ἄτεχνος δύναται γενέσθαι τεχνίτης, οὔτε ὅτε ἐστὶ τεχνίτης
ἔτι γίνεται τεχνίτης ἀλλ᾽ ἔστιν· ἄτεχνος μὲν γὰρ ὤν, ὅμοιός ἐστι τοῖς ἐκ γενετῆς τυφλοῖς
ἢ κωφοῖς· καὶ ὡς τούτων οὐδέποτε ἢ εἰς χρωμάτων ἢ εἰς φωνῆς ἔννοιαν ἥκειν
πέφυκεν, οὕτως οὐδὲ ὁ ἄτεχνος ἐφ᾽ ὅσον ἐστὶν ἄτεχνος τετυφλωμένος καὶ κε-
κωφωμένος πρὸς τὰ τεχνικὰ θεωρήματα, οὔτ᾽ εἰδέναι οὔτε ἀκοῦσαί τι τούτων οἷ-
ός τε ἐστι· τεχνίτης τε γενόμενος, οὐκέτι διδάσκεται ἀλλὰ δεδίδακται· μετακτέον
δὲ τὰς ἀπορίας ταύτας περὶ μεταβολῆς καὶ πάθους, γενέσεώς τε καὶ φθορᾶς πε-
ριεκεχειρημένας ἡμῖν ἐν ταῖς πρὸς τοὺς φυσικοὺς ἀντιρρήσεσι· τὰ δὲ νῦν ζητῶ-
ρητέον τοῖς ἀπὸ τῶν μαθημάτων εἶναί τι τὸ διδασκόμενον πρᾶγμα, ἐὰν εἶναί
τι δυνατὸν ἐφηγούμενον, ὡς ταῦτα δὲ καὶ τὸν μανθάνοντα τὸ μὴ τοιοῦτο ἀπαιτεῖ-
ται τὸν τρόπον τῆς μαθήσεως· ἢ γὰρ ἐναργείᾳ γίνεται ἢ λόγῳ τὰ τῆς διδασκαλίας·
ἀλλὰ τούτων οὐ μὴ ἐναργείᾳ, οὐ δηλωτόν ἐστιν· τὸ δὲ δηλωτὸν φαινόμενον· τὸ δὲ φαι-
νόμενον ἢ φαίνεται, κοινῶς πᾶσι ληπτὸν ἀδίδακτον· οὐκ ἄρα τὸ ἐναργείᾳ δι-

κτόν, διδακτόν. ὁ δὲ λόγος ἤτοι σημαίνει τι καὶ μηδὲν σημαίνων, οὐδὲ διδάσκαλος τινός ἐστι. σημαίνων δ᾽ ἤτοι φύσει σημαίνει ἢ θέσει, καὶ φύσει μὲν οὐ σημαίνει διὰ τὸ μὴ πάντας πάντων ἀκούειν. ἕλληνας βαρβάρων, καὶ βαρβάρους ἑλλήνων. ἢ ἕλληνας ἑλλήνων. ἢ βαρβάρους βαρβάρων. θέσει δ᾽. εἴπερ σημαίνει δῆλον ὡς οἱ μὲν προκαταλαβόντες τὰ καθ᾽ ὧν αἱ λέξεις κεῖνται, καὶ ἀντιλήψονται τούτων. οὐ τὸ ἀγνοούμενον ἐξ αὐτῶν διδασκόμενοι. τὸ δ᾽ ὅπερ ᾔδεσαν ἀνανεούμενοι. οἱ δὲ χρῄζοντες τῆς τῶν ἀγνοουμένων μαθήσεως, οὐκέτι. εἰ οὖν οὔτε τὸ διδασκόμενόν ἐστιν, οὔτε ὁ διδάσκων οὔτε ὁ μανθάνων οὔτε ὁ τρόπος τῆς μαθήσεως δῆλον. ὡς οὐδὲ μάθημα οὐδὲ ὁ μαθηματικός ἐστιν. ἀλλ᾽ ἐπεὶ οὐ καθολικὴν μόνον πρὸς πάντας τοὺς μαθηματικοὺς ὑπεσχόμεθα ποιήσασθαι τὴν ἀντίρρησιν. ἀλλὰ καὶ ἰδικωτέραν πρὸς ἕκαστον, ὑποθέμενοι τὸ εἶναι τι μάθημα. καὶ δυνατὴν ὑπάρχειν τὴν μάθησιν, σκοπῶμεν εἰ καὶ τὸ ἑκάστου μαθήματος ἐπάγγελμα δυνατόν ἐστι, λαμβάνοντες πρὸς τοὺς ἐλέγχους μὴ πάντα τὰ παρὰ τοῖς ἐλεγχομένοις λεγόμενα. τοῦτο γὰρ μακρὸν καὶ περισκελὲς καὶ ἀμέθοδον, ἀλλὰ τὰ καὶ ἀδυνατεῖν ἐστι. συνεκτικὰ πάντων τὰ ὁποιασοῦν. τοῦτο γὰρ ἴσως οὐ καθήκει τοῖς αὐτοῖς. ἀλλὰ τούτων ἀναιρουμένων συναναιρεῖται πάντα, καὶ ὃν τρόπον οἱ πόλιν λαβεῖν σπεύδοντες ἐκεῖνο μάλιστα ἐγκρατεῖς γίνεσθαι σπουδάζουσιν. οὗ ἁλόντος καὶ ἡ πόλις ἑάλωκεν. οἷον τείχη καθαιροῦντες, ἢ σωλῆνα ἐμπιπλάντες, ἢ τὰς εἰς τὸ ζῆν ἀφορμὰς ἀποκλείοντες. οὕτω καὶ ἡμεῖς τοῖς ἀπὸ τῶν μαθημάτων διαγωνιζόμενοι τὰ τοιαῦτα πράγματα ἐξ ὧν αὐτοῖς δοκεῖ τὰ πάντα. οἷον τὰς ἀρχὰς ἢ τὰς ἐκ τῶν ἀρχῶν καθολικὰς μεθόδους ἢ τὰ τέλη. ἐν τούτοις γὰρ ἢ ἐκ τούτων συνίσταται πᾶν μάθημα:

Ἀρκτέον δ᾽ ἡμῖν εὐθὺς ἡ πρὸς γραμματικοὺς ζήτησις. πρῶτον μὲν ἐπείπερ ἀπὸ γραμματικῆς σχεδὸν καὶ ἐκ πρώτων σπαργάνων γραμματικῇ παραδιδόμεθα. ἐστὶ δ᾽ αὕτη οἷον ὠφελητικόν τι πρὸς τὴν τῶν ἄλλων μάθησιν. ἔτι δ᾽ ὅτι παρὰ πάσας θρασύνεται τὰς ἐπιστήμας σχεδόν τι τὴν τῶν σειρήνων ὑπόσχεσιν ὑπισχνουμένη. ἐκεῖναι μὲν γὰρ εἰδυῖαι ὅτι φύσει φιλοπευθής ἐστιν ἄνθρωπος, καὶ πολὺς αὐτῷ κατὰ στέρνων τῆς ἀληθείας ἵμερος ἐντέτηκεν. οὐ μόνον θεσπεσίοις μέλεσι κηλήσειν τοὺς παραπλέοντας ὑπισχνοῦνται, ἀλλὰ καὶ τὰ ὄντα αὐτοὺς διδάξειν. φασὶ γάρ.

δεῦρ᾽ ἄγ᾽ ἰὼν πολύαιν᾽ Ὀδυσσεῦ μέγα κῦδος ἀχαιῶν, νῆα κατάστησον, ἵνα νωιτέρην ὄπ᾽ ἀκούσῃς.
οὐ γάρ πώ τις τῇδε παρήλασε νηῒ μελαίνῃ. πρίν γ᾽ ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὄπ᾽ ἀκοῦσαι. ἀλλ᾽ ὅ γε τερψάμενος νεῖται καὶ πλείονα εἰδώς. ἴδμεν γάρ τοι πάνθ᾽ ὅσ᾽ ἐνὶ Τροίῃ εὐρείῃ ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν. ἴδμεν δ᾽ ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ.

ἡ δὲ γραμματικὴ ζητοῦμεν τὰ ἐν αὐτῇ μόνον τε καὶ ἰσοειδῆ λόγῳ δεικνύειν. καὶ ἐπεὶ
τὰς διαλέκτους καὶ τεχνολογίας καὶ ἀναγνώσεις περὶ γραμματικὴν ἀσχολεῖται, πολλῶν τε
αὐτῆς ἐργάζεται τοῖς ἀκούουσι πόθον· ἀλλ' ἵνα μὴ παρὰ θύραν πλανᾶσθαι δοκῶ-
μεν, ὑποδεικτέον πόσα τέ ἐστι γραμματικὴ καὶ περὶ τίνος αὐτῶν πρόκειται ζητεῖν:—

Γραμματικὴ τοίνυν λέγεται καθ' ὁμωνυμίαν κοινῶς τε καὶ ἰδίως. καὶ κοινῶς μὲν, ἡ οἱουδή-
ποτοῦν τῶν γραμμάτων εἴδησις ἐάν τε ἑλληνικῶν, ἐάν τε βαρβαρικῶν. ἣν
συνήθως γραμματιστικὴν καλοῦμεν. ἰδίως δὲ, ἡ ἐντελής, καὶ τοῖς περὶ Κράτητα
τὸν Μαλλώτην Ἀριστοφάνη τε καὶ Ἀρίσταρχον ἐκπονηθεῖσα. δοκεῖ δὲ τούτων ἑκά-
τερα, καθάπερ τινὸς ἐτύμου φερωνύμως προσαγορεύεσθαι. ἡ μὲν γὰρ πρώτη ἀπὸ
τῶν γραμμάτων οἷς σημειούμεθα τὰς ἐνάρθρους φωνάς. ἡ δὲ δευτέρα, τάχα μὲν
ὥς τινες ἠξιώκασι καταχρηστικώτερον ἀπὸ τῆς πρώτης. μοῖρα γὰρ ἔστιν αὐτῆς. ὃν τρό-
πον ἰατρικὴ εἴρηται μὲν ὁ ἰατρὸς ἀπὸ τῆς τῶν ἐξαιρέτως ἐπιτηδευθέν-
των καὶ τῶν ἄλλων παθῶν ἀνασκευῆς πολλὰ τεχνικωτέρας οὔσης. ἐν ὧ
γεωμετρία ἔσχε μὲν τὴν κλῆσιν ἀρχαϊκῶς ἀπὸ τῆς κατὰ τὴν γῆν καταμετρήσε-
ως. τέτευχε δὲ ἐπὶ τῶν παρόντων καὶ κατὰ τῆς τῶν φυσικωτέρων θεωρίας, οὕτω καὶ
ἡ τέχνη γραμματικὴ ἀπὸ τῆς τῶν γραμμάτων εἰδήσεως καταρχὰς ὀνομασθεῖσα
μετάγεται καὶ ἐπὶ τὴν ἐν τοῖς ποικιλωτέροις αὐτῆς καὶ τεχνικωτέροις θεω-
ρήμασι γνῶσιν. τάχα δὲ ὥς φασιν οἱ περὶ τὸν Ἀσκληπιάδην, καὶ αὐτὴ ἀπὸ τῶν
γραμμάτων ὠνόμασται. οὐκ ἀπὸ τούτων δ' ἀφ' ὧν καὶ ἡ γραμματιστική. ἀλλ'
ἐκείνη μὲν ὡς ἔφην ἀπὸ τῶν στοιχείων. αὕτη δὲ ἀπὸ τῶν συγγραμμάτων, περὶ ἃ πο-
νεῖται. γράμματα γὰρ καὶ ταῦτα προσαγορεύεται καθὰ καὶ δημόσια καλοῦμεν
γράμματα καὶ πολλῶν τινὰ γραμμάτων ἔμπειρον ὑπάρχειν φαμέν. τουτέστιν
οὐ τῶν στοιχείων, ἀλλὰ τῶν συγγραμμάτων. καὶ Καλλίμαχος δὲ ποτὲ μὲν τὸ ποίημα
καλεῖ γράμμα, ποτὲ δὲ τὸ καταλογάδην σύγγραμμα φησί. Κρεοφύλου πόνος
εἰμί. δόμῳ ποτὲ θεῖον ἀοιδὸν δεξάμενος. κλείω δ' Εὔρυτον ὅσσ' ἔπαθε καὶ ξαν-
θὴν Ἰόλειαν. Ὁμήρειον δὲ καλεῦμαι γράμμα Κρεοφύλου. Ζεῦ φίλε τοῦτο μέγα.
καὶ πάλιν εἴπας Ἥλιε χαῖρε Κλεόμβροτος Ὡμβρακιώτης, ἥλατ' ἀφ' ὑψηλοῦ
τείχεος εἰς Ἀΐδην. ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος ἓν τὸ περὶ ψυ-
χῆς γράμμ' ἀναλεξάμενος. πλὴν ὅτι γε τῆς οὔσης γραμματικῆς. τῆς μὲν τὰ στοιχεῖ-
α καὶ τὰς τούτων συμπλοκὰς διδάσκειν ἐπαγγελλομένης, καὶ καθόλου τέχνης
τινὸς οὔσης τοῦ γράφειν τε καὶ ἀναγινώσκειν. τῆς δὲ βαθυτέρας παρὰ ταύτην δυνά-
μεως οὐκ ἐν ψιλῇ γραμμάτων γνώσει κειμένης, ἀλλὰ καὶ τὸ ἐξετάζειν τὴν εὕρε

στιν αὐτὴν καὶ τὴν φύσιν. ἔτι δὲ τὰ συνθέντα συνεστῶτα λόγου μέρη, καὶ ἔτι τῆς αὐτῆς ἰδέας θεωρητικά. προκεῖται νῦν ἀντιλέγειν οὐ τῇ προτέρᾳ, συμφώνως γὰρ ἡ παντας ἐστὶ χρειώδης. ἐν οἷς θετέον καὶ τὸν ἐπίκουρον, εἰ καὶ δοκεῖ τοῖς ἀπὸ τῶν μαθημάτων διεχθραίνειν. ἐν γοῦν τῷ περὶ δώρων καὶ χάριτος ἱκανῶς πειρᾶται διδάσκειν ὅτι ἀναγκαῖόν ἐστι τοῖς σοφοῖς μανθάνειν γράμματα. καὶ ἄλλως εἴποιμεν ἄν, ἡμεῖς οὐ σοφοῖς μόνον, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις. ὅτι γὰρ πάσης τέχνης τὸ τέλος εὔχρηστόν ἐστι τῷ βίῳ φανερόν. δύο δὲ τεχνῶν αἱ μὲν προηγουμένως ὑπὲρ τῆς τοῦ ὀχληροῦ ἐκκλίσεως παρῆλθον. αἱ δὲ ὑπὲρ τῆς τοῦ ὠφελίμου εὑρέσεως. καὶ ἔστι τῆς μὲν πρώτης ἰδέας ἰατρική. παιωνίς τις οὖσα καὶ λυσίπονος τέχνη. τῆς δὲ δευτέρας, κυβερνητική. τῆς γὰρ ἀπὸ τῶν ἄλλων ἐθνῶν χρείας μάλιστα δέονται πάντες ἄνθρωποι. ἐπεὶ οὖν ἡ γραμματικὴ διὰ τῆς τῶν γραμμάτων ἐπινοίας ἰᾶται μὲν ἀργότατον πάθος τὴν λήθην. συνέχει δὲ ἀναγκαιοτάτην ἐνέργειαν τὴν μνήμην, τὰ πάντα ἐπ' αὐτῇ κεῖται σχεδόν. καὶ οὔτε ἄλλους τι ἔνεστι τῶν ἀναγκαιοτάτων διδάσκειν, οὔτε παρ' ἄλλου μαθεῖν τι τῶν λυσιτελῶν χωρὶς αὐτῆς δυνατόν ἐστι. οὐκοῦν τῶν χρησιμωτάτων ἡ γραμματική. ἀμέλει γοῦν οὐδὲ θέλοντες ταύτην δυνησόμεθα ἀπεριτρέπτως ἀθετεῖν. εἰ γὰρ αἱ ἄχρηστον διδάσκουσαι τὴν γραμματικὴν ἐπιχειρήσεις εἰσὶν ἄχρηστοι, οὔτε δὲ μνημονευθῆναι, οὔτε τοῖς αὖθις παραδοθῆναι χωρὶς αὐτῆς δυνατά, χρειώδης ἐστὶν ἡ γραμματική. καίτοι δόξῃ ἄλλοισιν ἐπὶ τῆς ἐναντίας εἶναι προλήψεως ὁ προφήτης τῶν πύρρωνος λόγων τίμων, ἐν οἷς φησί· γραμματικῆς, τῆς οὔτις ἀνασκοπὴ οὐδ' ἀνάθρησις, ἀνδρὶ διδασκομένῳ φοινικικὰ σήματα κάδμου, οὐ μὴν οὕτως ἔχειν φαίνεται. τὸ γὰρ ὑπ' αὐτοῦ λεγόμενον, οὐκ ἔστι τοιοῦτον κατ' αὐτῆς τῆς γραμματιστικῆς, καθ' ἣν διδάσκεται τὰ φοινικικὰ σήματα κάδμου, τὸ οὐδεμία ἐστὶν ἀνασκοπὴ οὐδ' ἀνάθρησις. πῶς γὰρ εἰ διδάσκεται τις αὐτήν. οὐδεμίαν ἔχει ἐπιστροφὴν αὐτῆς, ἀλλὰ μᾶλλον τοιοῦτο φησὶ διὰ τὸ τὰ φοινικικὰ σήματα κάδμου, οὐδεμιᾶς ἄλλης παρὰ τοῦτό ἐστι γραμματικῆς ἐπιστροφή. ὅπερ καταστρέφον οὐκ ἔστι τὸ ἄχρηστον ταύτην τὴν ἐν τοῖς στοιχείοις, ἐν τῷ διὰ τούτων γράφειν τε καὶ ἀναγινώσκειν θεωρουμένην, ἀλλὰ τὴν περιττοτέραν καὶ περιεργοτέραν. ἡ μὲν γὰρ τῶν στοιχείων χρεῖος ἢ πλέον ἐς τὴν τοῦ βίου διεξαγωγήν. τὸ δὲ μὴ ἀρκεῖσθαι τῇ ἐκ τῆς παραληρήσεως τούτων παραδόσει, προσεπιδεικνύναι δέ, ὅτι τάδε μὲν σύμφωνα καὶ τῶν φωνηέντων τὰ μὲν φύσει βραχέα. τὰ δὲ, μακρά. τὰ δὲ δίχρονα καὶ κοινὰ μήκους τε καὶ συστολῆς καὶ καθόλου τὰ λοιπά. περὶ ὧν οἱ τετυφωμένοι τῶν γραμματικῶν διδάσκουσιν. ὥστε τῆς μὲν γραμματιστικῆς

πρὸς τὸ μηδὲν ἐγκαλεῖν, ἔτι καὶ τὰς ἀνωτάτω χάριτας ὀφείλομεν· ἵνα δὲ λυπο-
μένη πρὸς τὸ ἁπλοϊκὸν τοῦ ἤθους. τοῦ δὲ ὅτι εὐγενοῦς ἡ τε ἔσω αὐτοῦ μάθησις ἂν
προσεξαπλώσειεν αὐτῆς τὸν χαρακτῆρα :·~

Ἐπεὶ οὔτε ζητεῖν οὔτε ἀπορεῖν ἐστι κατὰ τὸν σοφὸν Ἐπίκουρον ἄνευ προλήψεως, εὖ ἂν ἔχοι πρὸ τῶν ὅλων σκέψασθαι, τί τε ἐστὶν ἡ γραμματική, καὶ εἰ κατὰ τὴν ἀποδιδομένην ἀπὸ τῶν γραμματικῶν ἔννοιαν, δύναται συστατόν τι καὶ ὑπαρκτὸν νοεῖσθαι μάθημα. Διονύσιος μὲν οὖν ὁ Θρᾷξ ἐν τοῖς παραγγέλμασι, φησί, γραμματική ἐστιν ἐμπειρία ὡς ἐπὶ τὸ πλεῖστον, τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων· συγγραφεῖς καλῶν, ὡς ἔστιν ἐκ τῆς πρὸς τοὺς ποιητὰς ἀντιδιαστολῆς πρόδηλον· οὐκ ἄλλους τινὰς ἢ τοὺς κατὰ λογάδην πραγματευσαμένους. τά τε παρὰ τοῖς ποιηταῖς καὶ συγγραφεῦσιν ὁ γραμματικὸς ἑρμηνευτὴς φαίνεται· καθάπερ Ὁμήρῳ καὶ Ἡσιόδῳ· Πινδάρῳ τε καὶ Εὐριπίδῃ καὶ Μενάνδρῳ καὶ τοῖς ἄλλοις· τά τε παρὰ τοῖς συγγραφεῦσιν, οἷον Ἡροδότῳ καὶ Θουκυδίδῃ καὶ Πλάτωνι ὡς ἴδιον ἔργον μεταχειρίζεται. παρὸ καὶ οἱ χαριέντες αὐτῶν, περὶ πολλῶν ἐπραγματεύσαντο συγγραφέων· τοῦτο μὲν ἰσοκρατικῶν, τοῦτο δὲ ῥητορικῶν, καὶ ἤδη φιλοσόφων· ζητοῦντες τίνα τε ὀρθῶς καὶ ἀκολούθως ταῖς διαλέκτοις εἴρηται, καὶ τίνα παρέφθαρται. τί τε σημαίνει παρὰ μὲν Θουκυδίδῃ λόγου χάριν τὸ ζάμαλον καὶ βρυάζοντες· παρὰ δὲ Δημοσθένει, τὸ εὐοῖ ὥσπερ ἐξάμετρος· ἢ πῶς ἀναγνωστέον παρὰ Πλάτωνι τὴν πρώτην συλλαβήν, ἢ δασέως ἢ τὴν μὲν πρώτην ψιλῶς, τὴν δὲ δευτέραν δασέως· ἢ ἀμφοτέρας ψιλῶς, ἢ ἐναλλάξ. διὰ γὰρ τὰ τοιαῦτα εἴρηται ἡ γραμματικὴ ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων. οὗτος μὲν οὖν οὕτως. ἐγκαλεῖ δὲ αὐτῷ Πτολεμαῖος ὁ περιπατητικός, ὅτι οὐκ ἐχρῆν ἐμπειρίαν εἰρηκέναι τὴν γραμματικήν· αὐτὴ μὲν γὰρ ἡ ἐμπειρία τριβή τίς ἐστι, καὶ ἐργάτις ἄτεχνός τε καὶ ἄλογος· ἐν ψιλῇ παρατηρήσει καὶ συγγυμνασίᾳ κειμένη· ἡ δὲ γραμματικὴ τέχνη καθέστηκεν, οὐ συνορῶν ὅτι τέτακται μὲν ἐπὶ τέχνης τοὔνομα, καθὼς ἐν τοῖς ἐμπειρικοῖς ὑπομνήμασιν ἐδιδάξαμεν· ἀδιαφόρως τοῦ βίου τοὺς αὐτοὺς ἐμπείρους τε καὶ τεχνίτας καλοῦντος· ἀφ' ἧς προάγοντας καὶ ὁ Μητρόδωρος ἔφη, μηδεμίαν ἄλλην πραγμάτων ἐμπειρίαν ἑαυτῆς ἴσος συνορᾶν, ἢ φιλοσοφίαν· τουτέστι μηδεμίαν τέχνην. τάττεται δὲ ἐξοχῶς καὶ ἐπὶ τῆς τῶν πολλῶν καὶ ποικίλων πραγμάτων γνώσεως· καθὼς καὶ τοὺς πρεσβύτας, πολλὰ μὲν ἰδόντας, πολλὰ δὲ ἀκούσαντας, ἐμπείρους τοῦ βίου φαμέν, ὡς καὶ ὁ Εὐριπίδης, ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ Ἐτεόκλεες πρόσεστιν, ἀλλ' ἡ ἐμπειρία ἔχει τι λέξαι τῶν νέων σοφώτερον. ἐφ' ὅπερ ἴσως ὁ Θρᾷξ φερόμενος σημαινόμενον, ἐπεὶ πολυίστορά τινα καὶ πολυμαθῆ βούλεται εἶναι τὸν γραμμα-

ματικὸν, ἔφη· ἐμπειρίαν ὑπάρχειν τὴν γραμματικὴν, τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων· ἀλλὰ τοῦτο μὲν ὑπέλαβον. ἐκεῖνο δ' ἴσως τις γραμματικῇ καθ' ἑτέρας ἐρχόμενος ζητήσεως, ἐρεῖ πρὸς αὐτόν· ἤτοι γὰρ τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων μόνων ἐμπειρίαν συμβέβηκεν εἶναι τὴν γραμματικήν, ἢ καὶ τῶν μήτε παρὰ ποιηταῖς μήτε συγγραφεῦσιν· οὐκ ἂν εἴποιεν ἐμπειρίαν αὐτὴν ὑπάρχειν, διὰ τὸ πολλάκις καὶ τὰς ἀνὰ χεῖρα τῶν ἰδιωτῶν καὶ ἀνεπιστημόνων ὁμιλίας ἐφιστάναι, καὶ τὸ βάρβαρον καὶ τὸ ἑλληνικόν, τό τε σόλοικον καὶ τὸ μὴ τοιοῦτον ἐξετάζουσαν. εἰ δὲ καὶ τῶν μὴ παρὰ ποιηταῖς μήτε συγγραφεῦσι μόνον λεγομένων ἐμπειρία καθέστηκεν, οὐκέτι αὐτὴν εἶναι λέγειν ἀπὸ μέρους ἔχειν συμβέβηκος. ἀλλὰ παρέντες τὸ περὶ τῶν τοιούτων λεπτολογεῖν, σκοπῶμεν ὡς ὑπεσχόμεθα, εἰ δύναται πρὸς ὅσον ἐπὶ τῇ τοιαύτῃ ἐννοίᾳ ὑποστῆναι ἡ γραμματική. ὅταν οὖν λέγωσιν αὐτὴν ἐμπειρίαν κατὰ τὸ πλεῖστον τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων, φασὶ πάντων, ἢ τινῶν· καὶ ἁπάντων πρακτέον μὲν οὐκέτι κατὰ τὸ πλεῖστον, ἀλλὰ πάντων. καὶ εἰ πάντων καὶ τῶν ἀπείρων· ἄπειρα γάρ ἐστι ταῦτα. τῶν δ' ἀπείρων οὐκ ἔστιν ἐμπειρία· διόπερ οὐδ' ἡ γραμματική τις γενήσεται. εἰ δὲ τινῶν, ἐπεὶ καὶ οἱ ἰδιῶται τινὰ τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων εἰδότες, οὐκ ἔχουσι γραμματικὴν ἐμπειρίαν, οὐδὲ ταύτην εἶναι λεκτέον γραμματικήν. τινὲς δ' ἐμάτην διὰ τοῦτο κατὰ τὸ πλεῖστον εἰρῆσθαι φάσκουσιν· ἵνα τε πρὸς τὴν πάντων διαφύγωσιν ἀπορίαν, ἵνα τε πρὸς τοὺς ἰδιώτας διαφορὰν ἀποβάλλωνται. τοῦ μὲν γὰρ ἰδιώτου διενήνοχεν ὁ γραμματικός, παρ' ὅσον οὐκ ὀλίγων ὡς ἐκεῖνος, ἀλλὰ πλείστων τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων ἔμπειρός ἐστι. τῆς δὲ τῶν γνώσεως ἀδυνάτου τὰ ἄλλα καθεστῶτος κεχώρισται διὰ τὸ οὐ πάντα, τὰ δὲ πλεῖστα ἐξ αὐτοῦ ἐπαγγέλλεται γινώσκειν. ταῦτα δ' οὐκ ἀπολογουμένου τινός, ἀλλὰ κακοῖς ἐπιπληροῦντος κακά· καὶ μηκέτι μετρίως, ἀλλ' ἄρτι ἐπισεσωρευμένου τὰς ἀπορίας. πρῶτον μὲν οὖν ὡς τὰ πολλὰ ἀόριστά ἐστι καὶ τὴν αὐτὴν ἐπιδέχεται τινὰ ἀπορίαν, οὕτω καὶ τὰ πλεῖστα. ὅθεν ἡ περιγραφὴ καταφεύγεται αὐτὰ δι' ἑαυτῶν, ἄχρι πόσων γνώσεων τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων ῥητέον, ἢ εἴπερ ἐπὶ ἀορίστου μένουσιν ὑποσχέσεως τὰ πλεῖστα γινώσκειν λέγοντες, παραδεχέσθωσαν τὴν παρακειμένην ἐρώτησιν. τοῦ γὰρ πλείστου ὁ εἰρημένος ἀριθμός, ὁ ἑνὶ ἥττων, πλεῖστον ἀκμήν ἐστιν· ἐπεὶ τέως ἄτοπον, μονάδος προστεθείσης τὸ μὲν πλεῖστον λέγειν, τὸ δὲ μηδαμῶς· διόπερ ἀεὶ μονάδι πλεονεκτούμενος ὁ κατ' αὐτοὺς πλεῖστος ἀριθμός, ἥξουσι πάντως εἰς τὸ μηκέτι ἀριθμὸς πλεῖστος ὑπάρχειν. ἐξ αὐτοῦ μὲν δ' ἡ γραμματικὴ ὅπερ ἐν ταῖς σωρικαῖς ἀπορίας συμπέπτωκε. πᾶς

δ' οὐκ ὄντες γραμματικῆς παρ' αὐτοῖς, τὸ ἀνάπαλιν φ πλῆθος λέγειν πλεῖστα. ὡς γὰρ τὸ ὀ-
λίγον τινὸς πρός τί ἐστι, καὶ κατὰ τὴν πρὸς τὸ πλεῖον σχέσιν νοεῖται, οὕτω καὶ τὸ πλεῖον
κατὰ τὴν ὡς πρὸς τὸ ὀλίγον σχέσιν θεωρηθήσεται. εἰ οὖν τῶν πλείστων τῶν παρὰ ποιηταῖς τε
συγγραφεῦσι λεγομένων ἐμπειρίαν ἔχουσιν οἱ γραμματικοί, ὀλίγων δὲ τῶν λοιπῶν
οὐκ ἔχουσιν. εἰ δὲ καὶ τὸ λειφθέν ἐστι πλεῖον, καὶ τὸ καταληφθὲν ἧσσον, οὐκέτι τὸ
πᾶν γίνεται ἄπειρον. ὅμως δ' οὖν ἵνα μηδὲ περὶ τούτων ἀκριβολογώμεθα, ψεῦ-
δός ἐστι, τὸ τὰ πλεῖστα τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων γινώσκειν
τὸν γραμματικόν. ἥκιστα γάρ ἐστι, πολλαπλασιόνων ἀπολειπομένων ἃ οὐκ οἶδε,
καθὼς προβαινούσης τῆς ζητήσεως παραστήσομεν. τινὲς δ' ἄλλως ἀποδιδόντες θεωρητι-
οι. ἀσκληπιάδης τοίνυν μεταφέρει τὸν θρᾷκα διονύσιον ἐμπειρίαν λέγοντα τὴν-
γραμματικήν, διὰ ταύτην τὴν αἰτίαν ὁ πτολεμαῖος ἔφη ἐγκαλεῖ δ' αὐτῷ καὶ τὸ κατὰ τὸ πλεῖστον
ἐμπειρίαν αὐτὴν ἀποφαίνειν. τὸ δὲ τῆς γὰρ τοῦ στοχαστικοῦ καὶ ὑπὸ τὴν τέχνην πί-
πτουσάν ἐστι τεχνῶν. ὥσπερ κυβερνητικῆς καὶ ἰατρικῆς. γραμματικὴ δ', οὐκ ἔστι στο-
χαστική, ἀλλὰ μουσικῇ τε καὶ φιλοσοφίᾳ παραπλήσιος. εἰ μή τι δέδοικε φησὶ τὴν
ὀλιγότητα τοῦ βίου ὡς οὐχ ὑπάρχοντα ἱκανὸν πρὸς τὸ πάντα περιλαβεῖν, ὅπερ ἐστὶν ἀτό-
που γραμματικοῦ. ἄλλου γραμματικῆς ποιήσεται τὸν ὅρον. ἐπεὶ γὰρ οὐδὲ τὸ τυ-
χὸν ἴσως ἐπιστήμων ἐστὶ τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων, ὀλι-
γοχρόνιον καθεστὼς ζῷον, ἡ δὲ γραμματικὴ πάντων εἴδησις. ὅθεν τὸ ὡς, ἀλλάξας
τὸν ὅρον τοῦτον, τὸ λοιπόν, οὕτως ἀποδίδωσι τῆς γραμματικῆς τὴν ἔννοιαν. γραμ-
ματική ἐστι τέχνη τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων οὐκ ἀνέλυσε δ'
ὁ ἀνὴρ τὰς ἀπορίας, ἀλλ' ἐπέτεινε. καὶ ἐν οἷς θέλει τὴν γραμματικὴν αὔξειν, ἐν
τούτοις αὐτὴν ἀναιρεῖ. ἔστω γὰρ πάντων εἴδησις, τῶν παρὰ ποιηταῖς καὶ συγγρα-
φεῦσι λεγομένων. οὐκοῦν ἐπεὶ οὐδέν ἐστιν εἴδησις χωρὶς τοῦ εἰδότος γραμματικοῦ,
ὡς οὐδὲ περιπάτησις χωρὶς τοῦ περιπατοῦντος καὶ στάσις χωρὶς τοῦ ἑστῶτος, καὶ κατά-
κλισις χωρὶς τοῦ κατακειμένου, ὁμολογεῖται δ' ὁ γραμματικὸς μὴ ἔχειν πάντων
τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων. διὰ δὲ τοῦτο οὐδὲ γραμματική.
καὶ ἄλλως εἴπερ τέχνη ἐστὶν ἡ γραμματική, εἴδησις οὖσα πάντων τῶν παρὰ ποιηταῖς
τε καὶ συγγραφεῦσι λεγομένων. ἡ δὲ τέχνη σύστημα ἐκ καταλήψεων τῶν περὶ τὸν
γραμματικόν, ἐξ ἀνάγκης μηδενὸς ἔχοντος πάντων τῶν παρὰ ποιηταῖς καὶ συγ-
γραφεῦσι λεγομένων κατάληψιν, ἀνύπαρκτος γίνεται ἡ γραμματική. χάρης δ'
ἐν τῷ πρώτῳ περὶ γραμματικῆς, τὴν τελείαν φησὶ γραμματικὴν, ἕξιν εἶναι ἀπὸ
τέχνης διαγνωστικὴν τῶν παρ' ἕλλησι λεκτῶν καὶ νοητῶν ἐπὶ τὸ ἀκριβέστατον. πλὴν

ἐμπειρίαν

τῶν ὑπ' ἄλλαις τέχναις τὸ ἰσολαῖσον προσαπτέον, οὐ παρέργως. ἐπεὶ γὰρ τῶν παρ' Ἕλ-
λησι λεκτῶν καὶ νοητῶν, τὰ μέν ἐστιν ὑπὸ τέχναις, τὰ δ' οὔ. τῶν μὲν ὑπὸ τέχναις –
οὐκ οἴεται τέχνην εἶναι καὶ ἕξιν τὴν γραμματικήν. οἷον ἡ μὲν μουσική τῆς διὰ-
τεσσάρων συμφωνίας καὶ τῆς μεταβολῆς τῶν συστημάτων. ἡ δὲ μαθηματική ἐκλεί-
ψεως ἢ τῆς τῶν κύκλων θέσεως. τὰ δ' αὐτὰ καὶ ἐπὶ τῶν ἄλλων νοητέον τεχνῶν.
οὐδενὸς γὰρ τῶν ὑπ' αὐταῖς εἴδησις ἡ γραμματική, ἀλλὰ μέθοδός τίς ἐστι, τῶν παρὰ
ταύτας ἑτέρων λεκτῶν τε καὶ νοητῶν. νοητῶν μέν, ὡς ὅτι πίσυρες τέσσαρες εἶναι
καὶ ἄκρα οἱ βασιλικοὶ τόποι. λεκτῶν δ' ὥσπερ τῶν περὶ τὰς διαλέκτους. οἷον ὅτι τόδε μέν,
ἑτερίας δωρικῶς. τόδε δ' αἰολικῶς. καὶ οὐχ ὥσπερ οἱ στωϊκοί τὸ σημαινόμενον ἀ-
νάπαλιν τὸ σημαῖνον. τὸ γὰρ νοητόν, ἐπὶ τοῦ σημαινομένου μόνου παρείληπται.
ἔοικε δὲ καὶ κράτης τὸ ὅμοιον λόγον κινεῖν. καὶ γὰρ ἐκεῖνος ἔλεγε διαφέρειν τὸν κριτι-
κὸν τοῦ γραμματικοῦ. καὶ τὸν μὲν κριτικόν, πάσης φησὶ λογικῆς ἐπιστήμης-
ἔμπειρον εἶναι. τὸν δὲ γραμματικὸν ἁπλῶς γλωσσῶν ἐξηγητικόν, καὶ προσῳδίας
ἀποδοτικὸν καὶ τῶν τούτοις παραπλησίων εἰδήμονα. παρὸ καὶ ἐοικέναι ἐκεῖνον μὲν
ἀρχιτέκτονι, τὸν δὲ γραμματικὸν ὑπηρέτῃ. ἀλλὰ ταῦτα μὲν τῆς ἀποδόσεως, τοιαῦ-
τα. τῶν μὲν μετριώτερα τῶν Διονυσίου ἀθετημάτων, τὰ δὲ χείρονα. ὅτι μὲν γὰρ τὸ
θρᾳκὸς ἀπορίας ἐξέλυσε τὴν γραμματικήν, κατὰ τῶν ἀλλοτρίων κεχώρηκε θεωρη-
μάτων, μουσικῆς τε καὶ μαθηματικῆς ὡς μὴ προσηκόντων, αὐτόθεν συμφανές.
τὸ δὲ μὴ ἀνυπόστατον ὑπάρχειν, οὐδαμῶς αὐτὴν ἐρρύσατο. ἀλλὰ καὶ εἰς τὸ εἶ-
ναι τι αὐτὴν μᾶλλον συνηγωνίσατο. ὁ μὲν γὰρ Διονύσιος κατὰ τὸ διάρρησιν τὸν τῆς γραμ-
ματικῆς ὅρον. ἐπὶ μόνων αὐτὴν ποιητῶν τε καὶ συγγραφέων ἵστας. οὗτος δὲ περὶ
πᾶσαν Ἑλληνικὴν φωνὴν καὶ περὶ πᾶν σημαινόμενον κατατείνεσθαι ταύτην
θέλει. ὅπερ εἰ θεμιτὸν εἰπεῖν, οὐδὲ θεοῖς ἀνυστόν ἐστιν. ὡς γὰρ καὶ πρότερον ἐλέγο-
μεν, οὐδεμία μέθοδος συνίσταται περὶ τὴν ἄπειρον, ἀλλὰ καὶ μάλιστα αὐτὴ τοῦτο
περαιοῖ. τῶν γὰρ ἀορίστων ἡ ἐπιστήμη διασώς ἐστι, τὰ δὲ σημαίνοντα καὶ σημαινό-
μενα τῶν πραγμάτων ἐστὶν ἄπειρα. οὐκ ἄρα ἐστὶν ἡ γραμματικὴ τέχνη περὶ τὰ
σημαίνοντα καὶ σημαινόμενα, καὶ μὴν πάντοτε γίνονται τῶν φωνῶν μεταβολαί.
καὶ πρὸ τοῦ γεγόνασι, καὶ εἰσαῦθις γενήσονται. φιλομετάβολον γάρ τί ἐστιν ὁ αἰ-
ών. οὐκ εἰς φυτὰ μόνον καὶ ζῷα, ἀλλὰ καὶ εἰς ῥήματα. περιέσται δ' ἀπείρων
ὄντων τε καὶ μεταβαλλουσῶν, ἀμήχανόν ἐστι γνῶσιν ἀνθρωπίνην εὑρεῖν. οὐ δὲ κατὰ
τὸ παρὰ ἡ γραμματικὴ συνίσταται. ἀλλ' ὥστε ἤ τι τέχνην οἴεται εἶναι τὴν ἕξιν, ἢ ἄ-
τεχνον. καὶ εἰ μὲν τεχνικήν, πῶς οὐκ αὐτὴν εἶπε τὴν τέχνην, ἀλλὰ καὶ τὸ ἀφ' οὗ

ἐστιν. ὁ δ' ἄτεχνος, ὁ μὴ δυνάμενος λαβεῖν τὸ ἄτεχνον τὸ τεχνικὸν ὁρᾶσθαι, οὐ
συνίσταται τῆς γραμματικῆς ἕξις τεχνικῶς διακρίνουσα τὰ παρ' Ἕλλησι λεγόμενα
τά τε καὶ σημαινόμενα. Δημήτριος δ' ὁ ἐπικαλούμενος χλωρός, καὶ ἄλλοι τι-
νὲς τῶν γραμματικῶν, οὕτως ὁρίζονται. γραμματική ἐστι τέχνη τῶν παρὰ ποιη-
ταῖς τε καὶ τῶν κατὰ τὴν κοινὴν συνήθειαν λέξεων εἴδησις, μένουσι δὲ τούτοις
αἱ αὐταὶ αἰτίαι. οὔτε γὰρ πάντων τῶν παρὰ ποιηταῖς λεγομένων δύναται εἶναι
τέχνη γραμματική. οὔτε κοινῶν. ἐπεὶ πάντων ἂν αὐτὸ τὸ ἀδύνατον. εἴ τι ἐστὶ περὶ θεῶν
ἢ περὶ ἀρετῆς καὶ ψυχῆς λέγεται παρὰ τοῖς ποιηταῖς, ὧν ἀπείρως ἔχουσιν οἱ γραμ-
ματικοί. κοινὴν δὲ καὶ τὴν μὴ εἰς τοὺς γραμματικοὺς τὴν εἴδησιν πίπτειν μόνους, ἀλ-
λὰ καὶ ἄλλους τινὰς οἷον φιλοσόφους καὶ μουσικοὺς καὶ ἰατρούς. συνεώρων γὰρ
οὗτοί τινα τῶν παρὰ ποιηταῖς. πάλιν τε εἰ τὰς λέξεις καὶ τῶν κατὰ τὴν κοινὴν συνή-
θειαν λέξεων εἴδησιν εἶναι τὴν γραμματικήν. εἰ μὲν τὸ καθολικὸν λαμβάνοιεν τὸ
εἶναι τινος εἴδησις ἡ γραμματική, ἁμαρτάνουσιν. ἄπειροι γὰρ αἱ κατὰ τὴν κοινὴν
συνήθειαν λέξεις, καὶ τῶν ἀπείρων οὐκ ἔστιν εἴδησις. εἰ δ' ὅτι τὸ ἐπὶ μέρους φέ-
ρειν, ὅτι ἴδιόν ἐστι τὸ εἰδέναι τινὰς λέξεις κατὰ τὴν συνήθειαν τὴν κοινήν, ὧν εἴδη-
σίς ἐστιν ἡ γραμματική. οὐ τοῦτο ποιοῦσι τὴν γραμματικήν. καὶ γὰρ ὁ ἀθη-
ναῖος εἴδησιν ἔχει τῶν κατὰ τὴν ἀττικὴν συνήθειαν λέξεων. καὶ ὁ δωριεὺς τῶν
κατὰ τὴν δώριον. καὶ ὁ ῥήτωρ τῶν κατὰ τὴν ῥητορικήν. καὶ ὁ ἰατρὸς τῶν κατὰ τὴν ἰ-
ατρικήν. εἰ δὲ λέγοιεν, πασῶν τῶν κατὰ τὴν κοινὴν συνήθειαν αὐτὴν λέξεων εἴδησιν, οὐχ
ὡς τῶν καθ' ἕκαστα καὶ ἐν μέρει πασῶν. τοῦτο γὰρ ὅλως ἀδύνατον, ἀλλὰ τῶν
καθόλου παθῶν καὶ ἀναλογίας ἐν ταῖς διαλέκτοις. οἷον ὅτι δωριεῖς μὲν ἔστι τι
οὕτω προφέρεσθαι. ἴωνες δ' ἄλλως. τάχα μέντοι πιθανοὶ ἐροῦσιν. οὐ μὴν ἀλη-
θεῖς. οὔτε γὰρ εἶδός ἐστι καθ' ἑκάστην διάλεκτον, πολλαὶ γὰρ δυσειδεῖς καὶ ἀλλοειδεῖς,
οὔτε οἱ κανόνες οὓς δοκοῦσι παραδιδόναι πρὸς πᾶσαν ἀποτείνονται λέξιν. ἀλλ'
ἄχρι τινῶν προελθόντες καὶ ὁμοτόνων, οἷον ὀξυτόνων ἢ βαρυτόνων περικόπτουσι. πά-
σας δὲ περιλαβεῖν ἀδυνατοῦσι διὰ τὸ πλῆθος. τούτων χάριν ταῦτα εἰρήσθω πρὸς τὸ ἀνυπό-
στατον εἶναι τὴν γραμματικήν, ὅσον ἐπὶ τῇ παρὰ τοῖς γραμματικοῖς αὐτῆς ἐπινοίᾳ.
μετιόντες δ' ἀκολούθως κατὰ τὰ κυριώτατα τῶν ἐν αὐτῇ θεωρημάτων καὶ ἐξ ὧν
μάλιστα λαμβάνειν τὴν ὑπόστασιν βιάζονται :—

Πολλῆς οὔσης καὶ ἀνηνύτου παρὰ τοῖς γραμματικοῖς περὶ μερῶν γραμματικῆς
διαστάσεως ἵνα μήτε τὸ πάρεργον ἔργου χώραν ἐπέχειν ἡμῶν φαίνηται, μήτε
εἰς ἄλλο τι ἀναφέρειν καὶ ὡς πρὸς τὸ πλῆθος ἀναφθῆ ἐμβαίνοντες ἔχειν, ἀπολείπομεν

δὲ τῆς ἀναγκαιοτέρας αὐτερρίζως, ἀπαρκέσει λέγειν. ἃ οὖν φασὶ τρία εἶναι, ὡς ἄρα τῆς γραμματικῆς τὸ μέν ἐστιν ἱστορικόν, τὸ δὲ τεχνικόν, τὸ δὲ ἰδιαίτερον· δι' οὗ τὰ κατὰ τοὺς ποιητὰς καὶ συγγραφεῖς μεθοδεύεται· ὧν τεχνικὸν μέν ἐστιν, ἐν ᾧ περὶ τῶν στοιχείων καὶ τῶν τοῦ λόγου μερῶν, ὀρθογραφίας τε καὶ ἑλληνισμοῦ καὶ τῶν ἀκολούθων διατάττονται· ἱστορικὸν δέ, ὅπου περὶ προσώπων οἷον θείων τε καὶ ἀνθρωπίνων καὶ ἡρωικῶν διδάσκουσιν, ἢ περὶ τόπων διηγοῦνται, καθάπερ ὀρῶν ἢ ποταμῶν, ἢ περὶ πλασμάτων καὶ μύθων παραδιδόασιν, ἢ εἴ τι τῆς ἰδέας ἐστίν. ἰδιαίτερον δὲ τὸ κατὰ τοὺς ποιητὰς καὶ συγγραφεῖς ἐπισκοποῦσι, καθὸ τὰ ἀσαφῶς λεγόμενα ἐξηγοῦνται, τά τε ὑγιῆ καὶ τὰ μὴ τοιαῦτα κρίνουσι, τά τε γνήσια ἀπὸ τῶν νόθων διορίζουσι. ἀλλ' ὡς μὲν τύπῳ καὶ ὁλοσχερέστερον περιλαβεῖν, ταῦτά ἐστι τὰ τῆς γραμματικῆς μέρη· νοητέον δ' αὐτά, οὐ κατ' εἰλικρίνειαν· οὐδ' ὡς αὐτὰ ὁποῖ μέρη τοῦ ἀνθρώπου, ψυχὴ καὶ σῶμα· ταῦτα μὲν γὰρ ὡς ἕτερα ὄντα ἀλλήλων νοεῖται· τὸ δὲ τεχνικὸν καὶ ἱστορικὸν καὶ τὸ περὶ τοὺς ποιητὰς καὶ συγγραφεῖς τῆς γραμματικῆς μέρη, πολλὴν ἔχει συμπλοκὴν καὶ ἀνάκρισιν πρὸς τὰ λοιπά· καὶ γὰρ ἡ τῶν ποιητῶν ἐπίσκεψις, οὐ χωρὶς τοῦ τεχνικοῦ καὶ ἱστορικοῦ γίνεται μέρους· καὶ ἑκάτερον τούτων, οὐ δίχα τῆς τῶν ἄλλων παραπλοκῆς συνέστηκεν. ὥσπερ οὖν οἱ λέγοντες τῆς ἰατρικῆς μέρη, δίαιταν, χειρουργίαν, φαρμακείαν, οὕτω λέγουσιν ὡς πολλῆς οὔσης ἐν τοῖς θεωρήμασιν ἀλληλουχίας· καὶ γὰρ ἡ δίαιτα οὐ χωρὶς φαρμακείας καὶ χειρουργίας πρόεισι, καὶ ἡ φαρμακεία πάλιν περιέχει καὶ τὰς τῶν ἄλλων δυνάμεις. οὕτω καὶ ἐπὶ τοῦ παρόντος οὐκ ἀπολελυμένον ἐστὶν ἕκαστον μέρος, οὐδ' εἰλικρινὲς ἀπὸ τῆς τῶν ἄλλων ἐπιμιξίας. τοῦτο δὲ προδιηρθρώσαμεν οὐ παρέργως, ἀλλ' ἵνα εἰδῶμεν ὡς ἂν ἓν ἐξ αὐτῶν δειχθῇ ἀσύστατον, δυνάμει καὶ τὰ λοιπὰ ἀνῄρηται· ὧν ἑκάτερον οὐ χωρὶς τοῦ ἀναιρεθέντος ὑφίσταται. ὅμως δ' οὐ ποιησόμεθα τοῦτο, καίπερ οἷοί τε ὄντες. ἀλλὰ πειρασόμεθα πρὸς ἕκαστον ἀντιλέγειν, ὡς εἰ καὶ μὴ ἐξήρτηται τῆς τῶν λοιπῶν περιουσίας, τάξει δ' ἀρκτέον ἀπὸ τοῦ πρώτου :~

Διὰ πολλὰ μὲν καὶ ἄλλα δίκαιόν ἐστι μετὰ σπουδῆς ἐξετάζειν τὴν γραμματικὴν τεχνολογίαν· μάλιστα δ' ἁπάντων διὰ τὸ ἐπ' αὐτῇ κομᾶν καὶ μέγα φρονεῖν τοὺς γραμματικούς· ἀεὶ δὲ τῶν κατὰ τὰ λοιπὰ κοσμουμένων μαθήματα κατὰ τέχνην, ὡς μηδὲ τὴν κοινὴν τῶν ἑλλήνων συνήθειαν ἐπισταμένων. καὶ ἔτι διὰ τὸ εἴ ποτε θλίβοιντο ἐν ζητήσει μὴ ἄλλην εὑρίσκειν πολλάκις ἀποφυγὴν εἰς τὸ περισπᾶν τοὺς ζητοῦντας αὐτοῖς, ἢ τὸ ὅτι βάρβαρον ἢ σολοικόν ἐστι τὸ

ὑπ' αὐτοῦ λεχθέν. οὐκ ὀλίγην δ' ἂν ἔχοι μοῖραν εἰς προκοπήν. καθόλου βλέπω γὰρ τοὺς μηδὲ δύο ῥητοὺς ῥήματα λέξεως εἴρειν δυναμένους γραμματικούς, θέλοντας ἕκαστον τῶν μετὰ συνηθείας ἐν φράσει καὶ ἑλληνισμῷ παιδεύειν. καθάπερ Θουκυδίδην, Πλάτωνα, Δημοσθένην, ὡς βάρβαρον ἠλέγχθη. μία γὰρ αὐτῇ ἐπαίτων ἄμεινα γίνεσθαι πρὸς αὐτούς. αὐτὴν ψευδώνυμον αὐτῶν τεχνολογίαν, ἀτεχνο ἀποδείξεως. τάξει δὲ λεκτέον ἡμῖν πρῶτον περὶ τῶν στοιχείων, ἐξ ὧν τὰ πάντα καὶ αὐτοῖς συνέστηκεν καὶ ὧν ἀναιρεθέντων, ἀγραμμάτους ἀνάγκη γίνεσθαι τοὺς γραμματικούς. καὶ διχῶς λεγομένου τοῦ στοιχείου, τοῦ τε γραφομένου χαρακτῆρος καὶ τύπου καὶ τῆς τοῦ δυνάμεως καὶ ἐπὶ τοῦ ὀνόματος, περὶ ταύτης νῦν ἡ ζήτησις μάλιστα περὶ τῆς δυνάμεως. αὗται γὰρ καὶ κυρίως στοιχεῖα παρ' αὐτοῖς προσαγορεύονται. εἰκοσιτεσσάρων τοίνυν στοιχείων ὄντων τῆς ἐγγραμμάτου φωνῆς τούτων δίχα ὑποτίθενται κατὰ τὴν ἀνωτάτω τὴν φύσιν. τὰ μὲν γὰρ αὐτῶν φωνήεντα προσαγορεύουσι. τὰ δὲ σύμφωνα. καὶ φωνήεντα μὲν ἑπτά. α ε η ι ο υ ω. σύμφωνα δὲ τὰ λοιπά. τῶν δὲ φωνηέντων τρεῖς λέγουσι διαφοράς. δύο μὲν γὰρ αὐτῶν φύσει μακρὰ λέγουσι τυγχάνειν, τὸ η καὶ τὸ ω. ἴσα δὲ βραχέα, τὸ ε καὶ τὸ ο. τὰ δὲ κοινά, μήκους τε καὶ βραχύτητος, α ι υ. ἅπερ δίχρονα καὶ ὑγρὰ καὶ ἀμφίβολα καὶ μεταβολικὰ καλοῦσιν. ἕκαστον γὰρ αὐτῶν πέφυκεν, ὅτε μὲν ἐκτείνεσθαι. ὅτε δὲ, συστέλλεσθαι. οἷον τὸ μὲν α ἐπὶ τοῦ ἄρες ἄρες βροτολοιγὲ μιαιφόνε τειχεσιπλῆτα. τὸ δὲ ι, ἴλιον εἰς ἱερὴν ἢ δ' ἀντίους ὤρνυτ' ἀπόλλων. τῶν δὲ συμφώνων, τὰ μὲν, ἡμίφωνά ἐστι κατ' αὐτούς. τὰ δὲ, ἄφωνα. καὶ ἡμίφωνα μὲν, ὅσα δι' αὐτῶν ῥοῖζον, ἢ σιγμόν, ἢ μυγμόν, ἤ τινα παραπλήσιον ἦχον κατὰ τὴν ἐκφώνησιν ἀποτελεῖν πεφυκότα. καθάπερ τὸ ζ θ λ μ ν ξ ρ ς φ χ ψ. ἢ ὥς τινες χωρὶς τοῦ θ καὶ φ καὶ χ τὰ λειπόμενα ὀκτώ. ἄφωνα δὲ ὅσα τὰ μήτε συλλαβὰς καθ' ἑαυτὰ ποιεῖν δυνάμενα, μήτε ἦχον ἰδιότητας. αὐτὰ δὲ μόνον μετὰ τῶν ἄλλων συνεκφωνούμενα. καθάπερ β γ δ κ π τ. ἢ ὥς ἔνιοι καὶ τὸ θ φ χ. καὶ μὴν κοινῶς τῶν συμφώνων τὰ μέν, φασὶ δασέα λέγουσι. τὰ δὲ, ψιλά. καὶ δασέα μέν, θ φ χ. ψιλὰ δέ, κ π τ. μόνον δέ φασι τὸ ρ ἐπιδέχεσθαι ἑκάτερον δασύτητα καὶ ψιλότητα. λέγουσι δέ τινα τῶν συμφώνων καὶ διπλᾶ. καθάπερ τὸ ζ ξ ψ. συνεστηκέναι γάρ φασι τὸ μὲν ζ ἐκ τοῦ σ καὶ δ. τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ. τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ. τούτων δὴ προεστοιχειωμένων, φημὶ πρῶτον μὲν ἀδύνατον αὐτοῖς λέγεσθαι τῶν στοιχείων τινὰ εἶναι διπλᾶ. τὸ γὰρ διπλοῦν, σύστημά ἐστιν ἐκ δυοῖν. τὸ δὲ στοιχεῖον, οὐκ ἔστι σύστημα ἐκ τινῶν. ἁπλοῦν γὰρ ὂν τυγχάνει καὶ οὐκ ἐξ ἑτέ-

ρων συνεστώς· οὐκ ἄρα ἐστὶ διπλοῦν στοιχεῖον. ἀλλ' ὥσπερ εἰ τὰ συστατικὰ τοῦ διπλοῦ στοιχείου στοιχεῖα ἐστὶ, τὸ διπλοῦν, ἐκ τῶν στοιχείων συνεστώς, οὐκ ἔσται στοιχεῖον· ἀλλὰ μὴν τὰ συστατικὰ τοῦ διπλοῦ στοιχείου, στοιχεῖα ἐστί· οὐκ ἄρα τὸ διπλοῦν ἐστι στοιχεῖον. καὶ μὴν ὡς ταῦτα ἀναιρεῖται, οὕτω καὶ τὰ δίχρονα κοινὴν φύσιν μήκους τε καὶ βραχύτητος ἀξιούμενα ἔχειν. εἴπερ γὰρ τι αὐτά ἐστιν, ἤτοι αὐτὸ τὸ γράμμα κατ' ἰδίαν καὶ ὁ ψιλὸς εἰ τύχοι τοῦ α ι υ χαρακτήρ, ἐμφανιστικός ἐστι τῆς διχρόνου φύσεως, καὶ νῦν μὲν συστέλλεσθαι, νῦν δ' ἐκτείνεσθαι δυναμένου τῇ προσῳδίᾳ. ἀλλ' ὁ μὲν χαρακτὴρ κατ' ἰδίαν, οὐκ ἔστι κοινοῦ φύσει στοιχείου μηνυτικός· οὔτε γὰρ ὅτι μηκύνεται, οὔθ' ὅτι βραχύνεται ἐμφαίνει. ἀλλ' ὃν τρόπον ἡ δι' αὐτοῦ συλλαβὴ καθάπερ εἴρηται ἐπὶ τῆς ἄρες λέξεως, ἡ χωρὶς τῆς προστιθεμένης προσῳδίας, οὔτε ὅτι μακρά ἐστιν, οὔτε ὅτι βραχεῖα γινώσκεται· οὕτω καὶ τὸ α ι υ κατ' ἰδίαν λαμβανόμενα, οὐ κοινὰ ἑκατέρας ἔσται δυνάμεως, ἀλλ' οὐδετέρας. λείπεται οὖν μετὰ προσῳδίας λέγειν αὐτὸ κοινὸν ὑπάρχειν. ὃ πάλιν ἐστὶν ἀμήχανον, προσλαμβάνον γὰρ ταύτην ἢ μακρὸν γίνεται ὅτε ἐστὶ μακρά, ἢ βραχὺ ὅτε ἐστὶ βραχεῖα· κοινὸν δ' οὐδέποτε. οὐκ ἄρα ἐστὶ φύσει δίχρονα στοιχεῖα. εἰ δὲ λέγοιεν κοινὰ φύσει ὑπάρχειν ταῦτα τῷ ἐπιδεκτικά ἐστιν ἑκατέρου, μήκους τε καὶ συστολῆς, λήσονται σχεδὸν εἰς τὴν αὐτὴν ἐκκυλισθέντες ἀπορίαν. τὸ γὰρ ἐπιδεκτικόν τινος, οὐκ ἔσται ἐκεῖνο τοῦ οὗπερ ἐπιδεκτικόν ἐστιν. ὥσπερ γὰρ ὁ χαλκὸς ἐπιδεκτικὸς μὲν ἐστὶ τοῦ ἀνδριὰς γενέσθαι, οὐκ ἔστι δὲ ἀνδριάς, ἐφ' ὃ τοῦ δεκτικός ἐστι, καὶ ὃν τρόπον τὰ ξύλα ἐπιτήδειον μὲν ἔχει φύσιν εἰς τὸ ναῦς γενέσθαι, οὐ πάντως δ' ἐστὶ ναῦς, οὕτω καὶ τὰ τοιαῦτα τῶν στοιχείων, ἐπιδεκτικά ἐστι μήκους τε καὶ συστολῆς· οὔτε δὲ μακρά ἐστιν οὔτε βραχέα, οὐδὲ κοινά, πρὶν ἀπὸ προσῳδίας ποιωθῆναι. πρός τε μὴν τοῖς λεχθεῖσιν ἐναντίον ἐστὶν ἥ τε βραχύτης καὶ ἡ ἐπέκτασις· καὶ οὐ συνυφίσταται. καὶ ἀναιρουμένης μακρᾶς, βραχεῖα γίνεται παρὰ τὴν αἰτίαν ἀδύνατον. ἀδύνατον περισπωμένην βραχεῖαν γενέσθαι, διὰ τὸ τῷ περισπασμῷ κατ' ἀνάγκην συνυφίστασθαι τὴν ἐπέκτασιν. διόπερ εἰ φύσει τι δίχρονόν ἐστι στοιχεῖον, ἤτοι ὑφ' ἓν περὶ αὐτὸ ἥ τε τῆς βραχύτητος καὶ ἡ τῆς ἐπεκτάσεως ὑποστήσεται δύναμις, ἢ παρὰ μέρος. ἀλλ' ὑφ' ἓν μὲν, ἀμήχανον· περὶ γὰρ τὴν αὐτὴν ἐκφώνησιν κατὰ τὸ αὐτὸ ἀναιρετικαὶ ἀλλήλων δυνάμεις οὐκ ἂν ὑποσταῖεν. λείπεται ἄρα παρὰ μέρος, ὃ πάλιν ἐστὶν ἀπίθανον. ὅτε γὰρ ἐστὶ μακρόν, τότε οὐκ ἔστι κοινὸν στοιχεῖον βραχύτητος καὶ μήκους, ἀλλὰ βραχύ μόνον. ὁ δ' αὐτὸς τῆς ἐπιχειρήσεως τρόπος γενέσθω καὶ ἐπὶ τῶν φύσει ψιλῶν ἢ δασέων, ἢ καθ' ἑκάτερον κοινῶν· ἡμῖν δ' ἀπόχρη τὸ γένος τῆς ἐπιχειρήσεως ὑποδεῖξαι. καὶ μὴν ἐπεὶ ἀναιρεῖται τὰ κοινά, καὶ δέδεικται τὸ ἐκτείνεσθαι μόνον αὐτὰ ἢ συστέλλεσθαι,

ἀκολούθως καὶ τὰ δίχρονα· ὑπάρχον ἕκαστον τὸ μὲν φύσει μακρόν, τὸ δ᾽ αὖ φύσει βραχύ· διπλοῦσθαι ὀφείλει τὸ α καὶ ι καὶ υ. οὐκ ἔτι ἑπτὰ γενήσεται μόνον στοιχεῖα φωνήεντα, ἀλλὰ δύο μὲν μακρά, τό τε η καὶ ω· δύο δὲ βραχέα τό τε ε καὶ τὸ ο· τρία δὲ δίχρονα τὸ α καὶ ι καὶ υ, ἀλλὰ τὰ σύμπαντα δέκα· καὶ τούτων τὰ πέντε μὲν μακρά· τό τε η καὶ τὸ ω· καὶ τὸ μακρὸν α καὶ ι καὶ υ. ἴσα εἰσὶ δὲ τὰ βραχέα τὸ ο καὶ τὸ ε· καὶ τὸ βραχὺ α καὶ ι καὶ υ. ἀλλ᾽ ἐπεὶ οὐ δύο μόνον ὑπειλήφασιν εἶναι προσῳδίας γραμματικῶν παῖδες τήν τε μακρὰν καὶ βραχεῖαν, ἀλλὰ καὶ ὀξεῖαν, βαρεῖαν, περισπωμένην, δασεῖαν, ψιλήν· ἕκαστον τῶν ὑποδεδειγμένων φωνηέντων ἔχον τινὰ τούτων καὶ ἰδίαν προσῳδίαν γενήσεται στοιχεῖον. καὶ γὰρ ὡς οὐδὲν ἦν κοινὸν μήκους τε καὶ βραχύτητος στοιχεῖον, ἀλλ᾽ ἢ μακρὸν μόνον ὅτ᾽ εἶχε τὴν μακράν, ἢ βραχὺ ὅτ᾽ εἶχε τὴν βραχεῖαν, τῷ αὐτῷ λόγῳ οὐδὲν ἔσται κοινὸν ὀξύτητος καὶ βαρύτητος· ἀλλ᾽ ἢ ὀξὺ μόνον ὅτε προσειλήφει τὴν ὀξεῖαν, ἢ βαρὺ ὅτε τὴν βαρεῖαν· καὶ ἐπὶ τῶν ἄλλων τὸ ἀνάλογον. ἐπεὶ οὖν τὰ μὲν βραχέα δύο ὄντα ἀνὰ πέντε ἐπιδέχεται προσῳδίας, βραχεῖαν, ὀξεῖαν, βαρεῖαν, δασεῖαν, ψιλήν, δέκα γενήσεται· τὰ δὲ μακρὰ πάλιν δύο ὄντα ἐκ περισσοῦ προσλαμβάνει καὶ τὴν προσῳδίαν τὴν περισπωμένην, μηκύνεται γὰρ ταῦτα καὶ ὀξύνεται καὶ βαρύνεται, καὶ δασύνεται καὶ ψιλοῦται, καὶ ἰδίως ἔτι περισπᾶσθαι πέφυκε· γενήσεται δώδεκα. τὰ δὲ κοινὰ τρία καθεστῶτα τὰς ἑπτὰ προσῳδίας καθ᾽ ἕκαστον ἐπιδέχεται· καὶ ταῦτα γίνεται εἴκοσι καὶ ἕν· ὥστε πάντα τεσσαράκοντα καὶ τρία τυγχάνειν· οἷς τῶν δεκαεπτὰ συμφώνων προστεθειμένων, ἑξήκοντα γίνεσθαι στοιχεῖα, ἀλλ᾽ οὐκ εἴκοσι τέσσαρα. ἔστι δὲ καὶ ἕτερος λόγος, καθ᾽ ὃν ἀξιοῦσι διαφόρως τὰ φωνήεντα πάλιν στοιχεῖα, ἢ ἐλάσσονα εἶναι τῶν παρὰ τοῖς γραμματικοῖς θρυλουμένων ἑπτά· εἰ γὰρ τὸ α καὶ αὐτὸ ἐκτεινόμενον καὶ συστελλόμενον, οὐχ ἕτερον ἐστι στοιχεῖον, ἀλλ᾽ ἓν κοινόν· ὡσαύτως δὲ καὶ τὸ ι καὶ τὸ υ. ἀκολούθως καὶ τὸ ε καὶ τὸ η ἓν εἶναι στοιχεῖον κατὰ τὴν αὐτὴν δύναμιν κοινόν· ἡ γὰρ αὐτὴ δύναμις ἐπ᾽ ἀμφοτέρων ἐστί. συσταλὲν τὸ η γίνεται ε· ἐκταθὲν δὲ τὸ ε, γίνεται η· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ ο καὶ τὸ ω μίαν

.d.

Imp. leo De re milit. G.